Les Bibliothèques Virtuelles Humanistes

Extrait de la convention établie avec les établissements partenaires :

- ces établissements autorisent la numérisation des ouvrages dont ils sont dépositaires (fonds d'Etat ou autres) sous réserve du respect des conditions de conservation et de manipulation des documents anciens ou fragiles. Ils en conservent la propriété et le copyright, et les images résultant de la numérisation seront dûment référencées.
- le travail effectué par les laboratoires étant considéré comme une « oeuvre » (numérisation, traitement des images, description des ouvrages, constitution de la base de données, gestion technique et administrative du serveur), il relève aussi du droit de la propriété intellectuelle et toute utilisation ou reproduction est soumise à autorisation.
- toute utilisation commerciale restera soumise à autorisation particulière demandée par l'éditeur aux établissements détenteurs des droits (que ce soit pour un ouvrage édité sur papier ou une autre base de données).
- les bases de données sont déposées auprès des services juridiques compétents.

Copyright - © Bibliothèques Virtuelles Humanistes

© Centre d'Études Supérieures de la Renaissance - Tours

© Centre d'Études Supérieures de la Renaissance - Tours

© Centre d'Études Supérieures de la Renaissance - Tours

Theocritus scripsit dorica dialecto, sed longe puriori quam fuit antiquus dorismus tempore ptolemaei philadelphi (cujus mandato facta est versio V. Testamenti graeca) olymp. 124 seu anno 281 ante christum. dorica dialectus comparari potest cum hispanica, ut Ionica cum Italica. Hunc stylo bucolico virgilium illius imitatorem superavit quantum lingua Graeca excellit latinam. vixit in ipsa aula philadelphi, quem Egregio poemate laudavit. ut habet Tanaquillus faber in libello de poetis graecis.

Juxta Utrumque Capellum philadelphus coe-
anno Iphiti pit regnare olymp. 124 anno orbis 470
496 ante christum ~~[illegible]~~ 281, aut 84
et Juxta Lud. Cappellum 130 annis ante regiam dignitatem Jonathae maccabaei seu finem regni Graecorum. Eodem tempore regnabat syracusis hiero Junior quo philadelphus in aegypto, Theocritus autem erat origine syracusanus.

Rapinus Jesuita in eo laudat omnia sed speciatim Idyll. 5um, 3um

heinsius vocat Bionem et moschum Nectareos fratres.

© Centre d'Études Supérieures de la Renaissance - Tours

© Centre d'Études Supérieures de la Renaissance - Tours

# ΘΕΟΚΡΙΤΟΥ

ΤΟΥ ΣΥΡΑΚΟΥΣΙΟΥ

ΕΙΔΥΛΛΙΑ ΚΑΙ

ἐπιγράμματα.

ΜΟΣΧΟΥ Συρακουσίου,
ΒΙΩΝΟΣ Σμυρναίου,
ΣΙΜΜΙΟΥ Ῥοδίου
τὰ σωζόμενα.

9246
9250

# THEOCRITI

SYRACVSII

IDYLLIA & EPIGRAMMATA
cum mss. PALAT. collata.

*MOSCHI, BIONIS, SIMMII*
*opera quæ exstant.*

IOSEPHI SCALIGERI & ISAACI CASAVBONI
Emendationes seorsim dabuntur.



E Typographio Hieronymi Commelini,
ANNO CIↃ IↃ XCVI.

© Centre d'Études Supérieures de la Renaissance - Tours

© Centre d'Études Supérieures de la Renaissance - Tours

## ΘΕΟΚΡΙΤΟΣ ΕΙΣ ΤΗΝ ἑαυτοῦ βίβλον.

Ἄλλος ὁ Χῖος· ἐγὼ δὲ Θεόκριτος ὃς τάδε γράψα,
Εἷς ἀπὸ τῶν πολλῶν εἰμὶ Συρηκοσίων·
Υἱὸς Πραξαγόραο περικλειτῆς τε Φιλίνης·
Μοῦσαν δ' ὀθνείην οὔποτ' ἐφελκυσάμην.

## THEOCRITVS IN SVVM ipsius librum.

*Hæc ego composui, non ille Theocritus, ortu*
*Chius, at e media plebe Syracusius,*
*Praxagora genitore satus claraque Philina*
*Externo cecini carmina nulla sono.*



© Centre d'Études Supérieures de la Renaissance - Tours

# ΓΕΝΟΣ ΘΕΟΚΡΙΤΟΥ.

Θεόκριτος ὁ τῶν βουκολικῶν ποιητὴς, Συρρακούσιος ἦν τὸ γένος, πατρὸς Σιμιχίδου, ὥς αὐτός φησι·

Σιμιχίδα, πᾷ δὴ τὺ μεσαμέριον πόδας ἕλκεις;

Ἔνιοι δὲ τὸ Σιμιχίδα ἐπώνυμον εἶναι λέγουσι. δοκεῖ γὰρ σιμός τις τὴν πρόσοψιν εἶναι. πατέρα δὲ ἐσχηκέναι Πραξαγόραν, καὶ μητέρα Φιλῖναν. ἀκουστὴς δὲ γέγονε Φιλιππίδου, καὶ Ἀσκληπιάδου, ὧν μνημονεύει. ἤκμασε δὲ κατὰ τὸν Πτολεμαῖον, τὸν ἐπικληθέντα Λαγωόν. περὶ δὲ τὴν τῶν βουκολικῶν ποίησιν εὐφυὴς γενόμενος, πολλῆς δόξης ἐκ τούτων ἐπέτυχε. κατὰ γοῦν τινας Μόσχος καλούμενος, Θεόκριτος ἐπεκλήθη.

## ΠΕΡΙ ΤΟΥ ΠΟΥ ΚΑΙ ΠΩΣ εὑρέθη τὰ βουκολικά.

Τὰ βουκολικά φασιν ἐν Λακεδαίμονι εὑρεθῆναι, καὶ περισσῶς προκοπῆς τυχεῖν. τῶν γὰρ Περσικῶν ἐνεστώτων ἔτι, καὶ φόβῳ πᾶσαν τὴν ἑλλάδα ταρασσόντων, ἐνέστη καὶ ἑορτὴ Ἀρτέμιδος Καρυάτιδος. τῶν δὲ παρθένων ἀποκεκρυμμένων διὰ τὴν ἐκ τοῦ πολέμου ταραχὴν, ἀγροῖκοί τινες εἰσελθόντες εἰς τὸ ἱερὸν, ἰδίαις ᾠδαῖς τὴν Ἄρτεμιν ὕμνησαν. τῆς δὲ τούτων μούσης δεξι-



© Centre d'Études Supérieures de la Renaissance - Tours

# THEOCRITI SYRACVSANI
## GENVS AC VITA.

THEOCRITVS *Bucolicorum Poeta, Syracusanus fuit genere, patre Simichide, quemadmodum & ipse affirmat:*

*Simichida unde venis, medio dum Phœbus in axe est?*

*Sunt tamen, qui id cognominis ei fuisse, quod sima esse facie videretur, patremque habuisse Praxagoram, & matrem Philinam, asserere non dubitant. Cæterum Philippiadis auditor fuit & Asclepiadis, quorum etiam mentionem facit. Floruit autem sub Ptolemæo, Lagi cognomento: & Bucolico carmine, quum bonæ esset indolis, non paruam sibi gloriam parauit. Vnde secundum aliquos, qui Moschus alias appellatur, Theocritus vocatus est.*

## VBI ET QVA RATIONE inuenta Bucolica.

*Bucolica ferunt Lacedæmone inuenta esse, inque magno precio habita. Quum enim Persæ instarēt, ac vniuersam prope Græciam metu perturbarent, instituit simul etiam Dianæ Caryatidis festum. ibi tum virginibus ob belli tumultum abscondentibus sese, agricolæ quidam templum ingressi, singularibus quibusdam cantilenis Dianam celebrarunt. Horum igi-*



© Centre d'Études Supérieures de la Renaissance - Tours

tur cantu neutiquam ingrato existente, inoleuit consuetudo isthæc, ac posteriori etiam ætati deinde seruata est. Alij vero ad hunc modum in Tyndaride Siciliæ vrbe introducta esse Bucolica testantur: Quum Orestes Dianæ simulacrum e Tauris Scythiæ extulisset, oraculo admonitus est, vt septem fluminibus vno ex fonte promanantibus ablueretur. Itaq; Rhegium, qui Italiæ locus est, profectus, scelus abluit, separatis istis, quibus de iam dictum est, fluminibus. Demum vero Tyndaridē Siciliæ peruenit: vbi eius loci incolæ deam propriis quibusdam cantilenis collaudantes, primam consuetudini inuentionem tradiderunt.

## ALTERVM VERIVS.

Vero tamen similius hoc videtur, quod quidam tradunt: seditione quadam apud Syracusanos orta, ac plerisque ciuium, ita vt fit, corruptis, Dianam sedulo effecisse, ne quæ restabat multitudo, ac indies confluebat magis, simili discordia periclitaretur, sed in gratiam redirent potius: vnde agricolæ oblatis Deæ muneribus, ac hymnis, rusticisque poematis læti gratantes, consuetudini locum fecerunt.

## DE CARMINVM BVCOLICOrum discrimine.

Nonnihil inter se differunt Bucolica, idque iuxta Poematum inscriptionem. Etenim & capraria sunt, & pastoralia, & mixta. Inscriptionem vero ἀπὸ τ̃ βοῶν, hoc est a bobus, velut præcipuo animante, sortiuntur,

© Centre d'Études Supérieures de la Renaissance - Tours

της γινομένης, παρέμεινε τὸ ἔθος καὶ ἐφυλάχθη. Ἄλλοι δὲ τοῦτον τὸν τρόπον ἐν Τυνδαρίδι τῆς Σικελίας ἀχθῆναι λέγουσι τὰ βουκολικά. Ὀρέστη γὰρ ἐκκομίζοντι τὸ τῆς Ἀρτέμιδος ξόανον, ἐκ ταύρων τῆς Σκυθίας χρησμὸς ἐξέπεσεν, ἐν ἑπτὰ ποταμοῖς ἐκ μιᾶς πηγῆς ῥέουσιν, ἀπολούσασθαι. ὁ δὲ προσελθεὶς εἰς Ῥήγιον τῆς Ἰταλίας, τὸ ἄγος ἀπενίψατο ἐν τοῖς λεγομένοις διαχώροις ποταμοῖς. ἔπειτα εἰς τὴν Τυνδαρίδα τῆς Σικελίας ἦλθεν. οἱ δὲ ἐπιχώριοι τὴν θεὸν ἰδίοις ᾄσμασιν καθυμνήσαντες, ἔθει τὴν πρώτην παρέδωκαν εὕρεσιν.

## ΕΤΕΡΟΝ ΑΛΗΘΕΣΤΕΡΟΝ.

Ὁ δὲ ἀληθὴς λόγος τοιοῦτος. Στάσεώς ποτε γινομένης ἐν ταῖς Συρρακούσαις, καὶ πολλῶν πολιτῶν φθαρέντων, εἰς ὁμόνοιαν τοῦ πλήθους λοιπὸν ἐλθόντος, ἔδοξεν Ἄρτεμις αἰτία γεγονέναι τῆς διαλλαγῆς. οἱ δὲ ἀγροῖκοι δῶρον ἐκόμισαν, καὶ τὴν θεὸν γεγηθότες ἀνύμνησαν. ἔπειτα δὲ ταῖς ἀγροίκοις ᾠδαῖς, τόπον ἔδοσαν συνήθη.

## ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ τῶν βουκολικῶν.

Τὰ βουκολικὰ ἔχει διαφορὰν, τὴν τῶν ποιημάτων ἐπιγραφήν. καὶ γὰρ αἰπολικά ἐστι, καὶ ποιμενικὰ, καὶ μικτά. τὴν μέν τι ἀπὸ τῶν βοῶν ἔληφεν

ἐπιγραφ-

ἐπιγραφὴν, ὡς ἀρεστὸν τοῦ ζώου. διὸ καὶ βουκολικὰ εἴρηται πάντα. λέγεται δὲ βουκόλος, παρὰ τὸ τὰς βόας ἐλαύνειν ἢ ἀπὸ τοῦ τὰς βόας καλυειν ατιμαγελώζας, ἢ τῶν βοῶν κηρεῖν καὶ ἐπιμελεῖσθαι, τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον. ᾄδειν δέ φασιν αὐτοὺς ἄρτον ἐξηρτημένους, θηρίων ἐν ἑαυτῷ τύπους ἔχοντα, καὶ πήραν πανσπερμίας ἀνάπλεων, καὶ οἶνον ἐν αἰγείῳ ἀσκῷ, σπονδὴν νέμοντας τοῖς ὑπαντῶσι, στέφανόν τε περικεῖσθαι, καὶ κέρατα ἐλάφων προσκεῖσθαι, καὶ μετὰ χεῖρας ἔχειν λαγωβόλον. τὸν δὲ νικήσαντα, λαμβάνειν τὸν τοῦ νενικημένου ἄρτον. κἀκεῖνον μὲν ἐπὶ τῆς τῶν Συρρακουσίων μένειν πόλεως, τοὺς δὲ νενικημένους εἰς τὰς περιοικίδας χωρεῖν, ἀγείραντας ἑαυτοῖς τὰς τροφάς διδόναι δὲ καὶ ἄλλα τινὰ, παιδιᾶς καὶ γέλωτος ἐχόμενα, καὶ εὐφημοῦντας ἐπιλέγειν,

Δέξαι τὰν ἀγαθὰν τύχαν, δέξαι τὰν ὑγίειαν,
Ἂν φέρομεν παρὰ τῆς θεοῦ, ἂν ἐκαλέσατο τήνα.

## ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΒΟΥ-κολικῶν ἐπιγραφῆς.

Εἰδύλλιον λέγεται, ὅτι εἶδός ἐστιν, ὁποῖόν ἐστι λόγος. ὑποκοριστικῶς δὲ εἴρηται εἰδύλλιον.



© Centre d'Études Supérieures de la Renaissance - Tours

*tiuntur, quapropter etiam Bucolica dicta sunt omnia. Bucolos enim παρὰ τὸ τὰς βόας ἐλαύνειν, hoc est, ab agendis bobus nomē habet: siue ἀπὸ τοῦ τὰς βόας κωλύειν ἀλιμαγελώσας, id est a bobus prohibendis, ne a reliquo armēto secedant: aut ἀπὸ τῶν βοῶν κορεῖν καὶ ἐπιμελεῖσθαι quod curare boues, ac pascere in primis ipsorum interest: mutatione scilicet liquidæ, in aliam sui generis λ. Canere autē ipsos, pastores nempe, aiunt panē claua suspensum tenentes ferarum vel pecorum in se figuras repræsentātem, ac peram circumferre omnis generis leguminibus refertam: item vinum in caprino vtre libationum obuiis distribuere, coronamque circundatam & ceruina sibi cornua addita habere, & manu quidem pedum gestare. Eum quoque qui vicerit, deuicti panem accipere Et eundem morem Syracusis etiamnum perdurare. Eos autem qui victi fuerint, ad vicinos abire, sibiipsis nutrimenta colligentes. Exhibere vero & alia quædam, ludicrum ac risum habētia, & fausta ominantes insuper adiicere: Accipe bonam fortunam, accipe sanitatem, quam a dea ferimus, quam vocauit isthæc.*

## DE BVCOLICORVM inscriptione.

*Idyllion dicitur, quod εἶδος, hoc est forma quædam, ac velut idea sermonis sit: & diminutiue εἰδύλλιον, quasi paruum carmen appellatur.*



© Centre d'Études Supérieures de la Renaissance - Tours

## De poeseos hvivs dicendi generibus.

*Tres habet omne Poema dicendi formas. aut enim est enarratiuum, quod διηγηματικὸν Graeci vocant: aut actiuum, quod δραματικὸν: aut mixtū. Omnium vero harum specierum mixtura quaedam est Bucolicum, quasiq́ contemperatum: quapropter & gratiosum in primis, maxime ob mixtam elocutionis varietatem. Interdum enim enarratiuo constat genere: quandoque vero dramatico: nonnunquam autem mixto, hoc est illorum vtroq́, prout occasio tulerit. Caeterum quatenus fieri potest, id genus Poematis rusticorum mores exprimit: eleganter omnino horridam ipsorum & incultam viuendi rationem, quam corrigere ob rusticitatem ignorāt, delineans. Ab eo autem quod Poeseos nimium grande ac turgidum est, pulchre sibi cauet.*

© Centre d'Études Supérieures de la Renaissance - Tours

## ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΠΟΙΗ-σεως χαρακτήρων.

Πᾶσα ποίησις τρεῖς ἔχει χαρακτῆρας, διηγηματικὸν, δραματικὸν, καὶ μικτόν. τὸ δὲ βουκολικὸν ποίημα, μῖγμα ἐστὶ παντὸς εἴδους, καθάπερ συγκεκραμένον. διὸ καὶ χαριέστατον, τῇ ποικιλίᾳ τῆς φράσεως, μᾶλλον δὲ τῆς κράσεως. ποτὲ μὲν συγκείμενον ἐκ διηγηματικοῦ, ποτὲ δὲ ἐκ δραματικοῦ, ποτὲ δὲ ἐκ μικτοῦ, ἤγουν διηγηματικοῦ καὶ δραματικοῦ· ὅτε δὲ ὡς ἂν τύχῃ. Εἰς ὅσον δ' οἷόν τέ ἐστι, αὕτη ἡ ποίησις τὰ τῶν ἀγροίκων ἤθη ἐκμάσσεται, τερπνῶς πάνυ τοὺς τῇ ἀγροικίᾳ σκυθρωποὺς τὸν βίον χαρακτηρίζουσα. Ἐκπέφευγε δὲ καὶ τὸ ἄγαν ἁδρὸν καὶ ὑπέρογκον τῆς ποιήσεως.

© Centre d'Études Supérieures de la Renaissance - Tours

# THEOCRITI IDYLLIORVM INDEX.


| | | | |
|---|---|---|---|
| α' Εἰδύλλιον, Θύρσις, ἢ Ὠιδή. | 3 | 1 *Idyllion, Thyrsis seu Cantio.* | *f.2* |
| β' Φαρμακεύτρια. | 15 | 2 *Pharmaceutria.* | 14 |
| γ' Αἰπόλος ἢ Ἀμαρυλλὶς, ἢ Κωμαστής. | 27 | 3 *Caprarius vel Amaryllis, vel Comastes.* | 26 |
| δ' Νομεῖς. | 32 | 4 *Pastores.* | 33 |
| ε' Ὁδοιπόροι, ἢ Βουκολιασταί. | 40 | 5 *Viatores seu Bucoliastæ.* | 41 |
| ϛ' Βουκολιασταί. | 56 | 6 *Bucolici cantores.* | 57 |
| ζ' Θαλύσια, ἢ Ἐαρινὴ ὁδοιπορία. | 60 | 7 *Thalysia, seu Vernum iter.* | 61 |
| η' Βουκολιασταί. | 72 | 8 *Bucolici carminis cantores.* | 73 |
| θ' Νομεὺς, ἢ Βουκόλοι. | 80 | 9 *Pastor, siue Bubulci.* | 81 |
| ι' Ἐργατῖναι, ἢ Θερισταί. | 84 | 10 *Operarii, siue Messores.* | 85 |
| ια' Κύκλωψ. | 91 | 11 *Cyclops.* | 90 |
| ιβ' Αἴτης. | 96 | 12 *Aites.* | 97 |
| ιγ' Ὕλας. | 100 | 13 *Hylas.* | 101 |
| ιδ' Κυνίσκας Ἔρως, ἢ Θυώνιχος. | 107 | 14 *Cyniscæ amor, vel Thyonichus.* | 106 |
| ιε' Συρακούσιαι, ἢ Ἀδωνιάζουσαι. | 112 | 15 *Syracusiæ seu Adonidis festum celebrantes.* | 113 |


© Centre d'Études Supérieures de la Renaissance - Tours

| | |
|---|---|
| ις' Χάριτες, ἢ Ἱέρων. 127 | *16 Charites siue Hieron. 126* |
| ιζ' Ἐγκώμιον εἰς Πτολεμαῖον. 136 | *17 Laudatio Ptolemai. 137* |
| ιη' Ἑλένης ἐπιθαλάμιος. 147 | *18 Helenæ epithalamion. 146* |
| ιθ' Κηριοκλέπτης. 151 | *19 Fauorum fur. 150* |
| κ' Βουκολίσκος. 152 | *20 Bubulcus. 153* |
| κα' Ἁλιεῖς. 156 | *21 Piscatores. 157* |
| κβ' Διόσκουροι. 163 | *22 Gemini. 162* |
| κγ' Ἐραστής, ἢ Δύσερως. 179 | *23 Amator, vel Infelix Amator. 178* |
| κδ' Ἡρακλίσκος. 184 | *24 Herculiscus. 185* |
| κε' Ἡρακλῆς λεοντοφόνος, ἢ κατά τινα ἀντίγραφα, Αὐγείου κλῆρος. 196 | *25 Hercules leonis interfector, vel secundũ quædã exemplaria, Augiæ opulentia. 197* |
| κς' Ληναί, ἢ Βάκχαι. 216 | *26 Lenæ, seu Bacchæ. 217* |
| κζ' Ὀαριστὺς Δάφνιδος καὶ Κόρης. 220 | *27 Colloquium Daphnidis & puellæ. 221* |
| κη' Ἠλακάτη. 227 | *28 Colus. 226* |
| κθ' Παιδικά. 228 | *29 Amores. 229* |
| λ' Εἰς νεκρὸν Ἄδωνιν. 231. | *30 In mortuum Adonidem. 230.* |


MO-

© Centre d'Études Supérieures de la Renaissance - Tours

# MOSCHI IDYLLIORVM INDEX.


| | |
|---|---|
| α΄ Ἔρως δραπέτης. 251 | 1 Amor fugitiuus. 250 |
| β΄ Εὐρώπη. 252 | 2 Europa. 253 |
| γ΄ Ἐπιτάφιος Βίωνος βουκόλου ἐρωτικοῦ. 264 | 3 Epitaphium Bionis Bubulci amatoris. 265 |
| δ΄ Μεγάρα, γυνὴ Ἡρακλέους. 275 | 4 Megara vxor Herculis. 274 |
| ε΄ 283 | V 282 |
| ϛ΄ 284 | VI 285 |
| ζ΄ 284 | VII 285 |
| η΄ 284 | VIII 285 |
| Ἐπίγραμμα εἰς Ἔρωτα ἀροτριῶντα. 287. | Epigramma in Amorem arantem. 286. |


# BIONIS IDYLLIORVM.


| | |
|---|---|
| α΄ Ἐπιτάφιος Ἀδώνιδος. 288 | 1 Epitaphium Adonidis. 289 |
| β΄ 295 | II 294 |
| γ΄ 296 | III 297 |
| δ΄ 296 | IIII 297 |
| ε΄ 299 | V 298 |
| Κλεόδαμος καὶ Μύρσων. 299 | Cleodamus & Myrson. 298 |
| Τοῦ αὐτοῦ εἰς Ὑάκινθον. 300. | Eiusd. in Hyacinthum, fragmentum. 301. |


SIM-

© Centre d'Études Supérieures de la Renaissance - Tours

## SIMMIAE RHODII.


| | | | |
|---|---|---|---|
| Ὠόν | 307, 308, 310, 311 | *Ouum* | 309 |
| Πτερύγιον | 312 | *Ala* | 313 |
| Πέλεκυς | 315 | *Securis* | 314 |
| Σύριγξ | 316 | *Syrinx* | 317 |
| Βωμός | 319 | *Ara* | 318. |


ΤΕΛΟΣ.

© Centre d'Études Supérieures de la Renaissance - Tours

© Centre d'Études Supérieures de la Renaissance - Tours

# ΘΕΟΚΡΙΤΟΥ
## ΤΟΥ ΣΥΡΑΚΟΥΣΙΟΥ
Εἰδύλλια καὶ ἐπιγράμματα
τὰ σωζόμενα.

# THEOCRITI
## SYRACVSII
Idyllia & Epigrammata
quæ extant.

© Centre d'Études Supérieures de la Renaissance - Tours

## ARGVMENTVM PRIMI Idyllii.

In hoc Idyllio colloquuntur inter se Thyrsis pastor, & Caprarius. Thyrsis autem Bucolico carmine canit Daphnidem præ amore contabescentem atque morientem: & pro eo capram ter mulgendam, & pulchrum pastorale poculum a Caprario præmii loco refert.

## THYRSIS, seu CANTIO, Idyllion primum.

THYRSIS PASTOR, & CAPRARIVS.

DVLCEM susurrum & pinus ista, o pastor caprarie,
Quę est iuxta fontes, resonat: suauiter vero & tu [res.
Fistula canis: secũdum Pana proximum præmiũ fe-
Si ille acceperit cornutum hircũ, tu capram capies:
Si vero caprã acceperit ille præmiũ, ad te defluet
Capella. Capellæ autem caro bona est, donec mulseris.

*Caprarius.*

Dulcius, o pastor, tuum carmen est, quam effusa
Illa quæ de rupe ex alto defluit vnda.
Si Musę ouiculam præmium abducant,
Agnum tu stabularium pro præmio accipies. Si vero placuerit
Illis agnum capere, tunc tu postea ouem abduces.

*Thyrsis.*

Visne per Nymphas, visne Caprarie hic assidens,
Accliuem hunc tumulum, vbi *sunt* myricæ,
Canere fistula? ego autem interea capellas pascam.

*Capra-*

© Centre d'Études Supérieures de la Renaissance - Tours

# ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΩΤΟΥ Εἰδυλλίου.

Ἐν τούτῳ τῷ εἰδυλλίῳ διαλέγονται πρὸς ἀλλήλους Θύρσις ποιμὴν καὶ Αἰπόλος. ὁ δὲ Θύρσις βουκολικῶς ᾄδει τὸν ὑπ' ἔρωτος τηκόμενον καὶ ἀποθνήσκοντα Δάφνιδα· καὶ ἀντὶ τούτου αἶγα ἐς τρὶς ἀμέλξαι, καὶ καλὸν κισσύβιον παρὰ τοῦ Αἰπόλου γέρας λαμβάνει.

## ΘΥΡΣΙΣ, ἢ ᾨΔΗ, Εἰδύλλιον α'.

### ΘΥΡΣΙΣ ΠΟΙΜΗΝ, καὶ ΑΙΠΟΛΟΣ.

Ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς αἰπόλε τήνα,
Ἁ ποτὶ ταῖς παγαῖσι μελίσδεται· ἁδὺ δὲ καὶ τὺ
Συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ.
Αἴκα τῆνος ἕλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ·
Αἴκα δ' αἶγα λάβῃ τῆνος γέρας, ἐς τὲ καταρρεῖ
Ἁ χίμαρος· χιμάρω δὲ καλὸν κρῆς, ἔστε κ' ἀμέλξῃς.

Αἰπόλος.

Ἅδιον ὦ ποιμὰν τὸ τεὸν μέλος ἢ τὸ καταχὲς
Τῆν' ἀπὸ τᾶς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ.
Αἴκα ταὶ μῶσαι τὰν οἶδα δῶρον ἄγωνται,
Ἄρνα τὺ σακίταν λαψῇ γέρας· αἰ δέ κ' ἀρέσκῃ
Τήναις ἄρνα λαβεῖν, τὺ δὲ τὰν οἶν ὕστερον ἀξῇς.

Θύρσις.

Λῇς ποτὶ τᾶν νυμφᾶν, λῇς αἰπόλε τῇδε καθίξας,
Ὡς τὸ κάταντες τοῦτο γεώλοφον, αἵ τε μυρῖκαι,
Συρίσδεν; τὰς δ' αἶγας ἐγὼν ἐν τῷδε νομευσῶ.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Αἰπόλος.

Οὐ θέμις ὦ ποιμὰν, τὸ μεσαμβρινὸν, οὐ θέμις ἄμμιν
Συρίσδεν· τὸν Πᾶνα δεδοίκαμες. ἦ γὰρ ἀπ' ἄγρας
Τανίκα κεκμακὼς ἀμπαύεται· ἔντι γε πικρὸς,
Καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.
Ἀλλὰ (τὺ γὰρ δὴ Θύρσι τὰ Δάφνιδος ἄλγεα εἶδες,
Καὶ τᾶς βουκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο μώσας,)
Δεῦρ' ὑπὸ τὰν πτελέαν ἑσδώμεθα, τῶ τε Πριήπω
Καὶ τᾶν κρανιάδων κατεναντίον, ᾇπερ ὁ θῶκος
Τῆνος ὁ ποιμενικὸς καὶ ταὶ δρύες. αἰ δέ κ' ἀείσης,
Ὡς ποκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ᾆσας ἐρίσδων,
Αἶγά τέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι·
Ἃ δύ' ἔχοισ' ἐρίφως, ποταμέλγεται ἐς δύο πέλλας·
Καὶ βαθὺ κισσύβιον κεκλυσμένον ἁδέι καρῷ,
Ἀμφῶες, νεοτευχὲς, ἔτι γλυφάνοιο ποτόσδον·
Τῶ περὶ μὲν χείλη μαρύεται ὑψόθι κισσὸς,
Κισσὸς ἑλιχρύσῳ κεκονισμένος· ἁ δὲ κατ' αὐτὸν
Καρπῷ ἕλιξ εἱλεῖται ἀγαλλομένα κροκόεντι.
Ἔντοσθεν δὲ γυνὰ, τι θεῶν δαίδαλμα, τέτυκται,
Ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι· πὰρ δέ οἱ ἄνδρες
Καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
Νεικείουσ' ἐπέεσσι· τὰ δ' οὐ φρενὸς ἅπτεται αὐτᾶς.
Ἄλλοκα μὲν τῆνον ποτιδέρκεται ἄνδρα γελεῦσα,
Ἄλλοκα δ' αὖ ποτὶ τὸν ῥιπτεῖ νόον. οἱ δ' ὑπ' ἔρωτος
Δηθὰ κυλοιδιόωντες ἐτώσια μοχθίζοντι.
Τοῖς δὲ μέτα, γριπεύς τε γέρων πέτρα τε τέτυκται
Λεπρὰς, ἐφ' ᾇ σπεύδων, μέγα δίκτυον ἐς βόλον ἕλκει
Ὁ πρέσβυς, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς·

Φαίης

© Centre d'Études Supérieures de la Renaissance - Tours

*Caprarius.*

Non fas est,o pastor,iam circa meridiem,non fas est nobis
Fistula canere: Pana metuimus:namq; is a venatione
Tunc fessus requiescere solet, estq; amarulentus,
Et illi semper acerba bilis in naribus sedet.
Verum, (tu enim o Thyrsi Daphnidis dolores nosti,
Et bucolicæ ad summum peruenisti Musæ)
Huc age,sub vlmo consideamus,Priapi
Et fontanarũ Nympharum ex aduerso, vbi sedes est
Illa pastoralis & quercus. Si vero cecineris
Sicut olim cum Libyco pastore Chromide cantasti certans,
Tunc & capram tibi dabo gemellorum matrem, vt ter mulgeas, [lacte complet.
Quæ geminos hædos lactans,duas interea mulctras
Et profundum poculũ dabo dulci cera collutum,
Geminis ansulis,nouũ,recentẽ adhuc sculpturã re-
Cui circũ labra innectitur superne,hedera, [dolẽs;
Hedera helichryso adglutinata:& circa illam
Fructu capreolus voluitur gestiens croceo.
Intus vero mulier, diuina quædã imago, sculpta est,
Ornata peplo reticuloque: iuxta vero ipsam viri
Pulchris capillis vicissim,hinc ille,inde alter,
Verbis altercantur.id vero nihil mouet ipsam:
Verum iam hunc aspicit virum ridens,
Iam vero ad alterum applicat se.Illi v.præ amore
Diu oculis tumentes,incassum laborant.
Inter hæc piscator senex, & rupes fabrefacta est,
Aspera, in qua festinans magnum rete ad iactum trahit
Senex,valde laboranti viro similis:



© Centre d'Études Supérieures de la Renaissance - Tours

Diceres ipsum totis membrorum viribus piscari.
Nam venæ illi vndique in collo tument,
Quanuis iam cano: robur v. illi est etiã iuuẽta dignũ.
Non procul inde ab isto marino sene,
Rubris vuis pulchre grauatur vinea.
Eam paruus quidam puer iuxta sepes custodit
Sedẽs: quem circum duæ vulpes; altera per ordines
Incedit lædens maturas vuas; altera peræ [vitium
Insidias struit, nec prius puerum se relicturam
Affirmat, quam eũ sine ientaculo in sicco collocarit.
Sed ille ex culmis pulchram cicadis capiendis decipulam nectit
Iunco concinnans: neque vero illi vel pera curę est,
Vel fructus vineę tantum quantum opere suo, quod nectit, delectatur.
Vndiq; v. circa poculũ circũuolat mollis acanthus,
Æolicum spectaculum, quod operis miraculo animum tuum obstupefaciat,
Pro hoc ego nautæ Calydonio capram dedi,
Precium, & grandem caseum candidi lactis:
Necdum adhuc labra mea attigit. sed adhuc iacet
Intactum: quo tibi valde lubens gratificabor,
Si mihi, amice, illud amabile carmen cecineris.
Nec inuideo tibi, age o bone: cantum enim
Non ad Plutonem obliuiosum reseruabis.

*Thyrsis.*

Incipite Bucolicũ, o dulces Musæ, incipite carmẽ.
Thyrsis hic ille ab Ætna, & Thyrsidis hęc vox est.
Vbi tandem fuistis o Nymphæ, cum Daphnis amore tabesceret?
Anne apud Penei pulchra Tempe, vel circa Pindũ?
Neque enim Anapi magnum flumen tenuistis,

Ne-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Φαίης κεν γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν·
Αἱ δέ οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες,
Καὶ πολιῷ περ ἐόντι· τὸ δὲ σθένος ἄξιον ἅβας.
Τυτθὸν δ' ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος,
Πυρναίαις σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά·
Τὰν ὀλίγος τις κῶρος ἐφ' αἱμασιαῖσι φυλάσσει
Ἥμενος. ἀμφὶ δέ μιν δύ' ἀλώπεκες· ἁ μὲν, ἀν' ὄρχως
Φοιτῇ, σινομένα τὰν τρώξιμον· ἁ δ', ἐπὶ πήρᾳ
Πάντα δόλον τεύχοισα, τὸ παιδίον οὐ πρὶν ἀνάσειν
Φατὶ πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξῃ.
Αὐτὰρ ὅγ' ἀνθερίκεσσι καλὰν πλέκει ἀκριδοθήραν,
Σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ οὔτέ τι πήρης,
Οὔτε φυτῶν τοσσῆνον ὅσον περὶ πλέγματι γαθεῖ.
Παντᾷ δ' ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος,
Αἰπολικόν τι θάημα· τέρας κέ τυ θυμὸν ἀτύξαι.
Τῶ μὲν, ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγά τ' ἔδωκα
Ὦνον, καὶ τυρόεντα μέγαν λευκοῖο γάλακτος.
Οὐδέ τι πω ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ' ἔτι κεῖται
Ἄχραντον· τῷ κέν τυ μάλα πρόφρων ἀρεσαίμαν,
Αἴ κέν μοι τὺ φίλος τὸν ἐφίμερον ὕμνον ἀείσῃς.
Κοὔ τοι τι φθονέω· πόταγ' ὦ 'γαθέ. τὰν γὰρ ἀοιδὰν
Οὔτι πω εἰς Ἀΐδαν γε τὸν ἐκλελάθοντα φυλαξεῖς.

Θύρσις.

Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Θύρσις ὅδ' ὡξ Αἴτνας, καὶ Θύρσιδος ἁδέα φωνά.
Πᾶ ποκ' ἄρ' ἦσθ' ὅκα Δάφνις ἐτάκετο; πᾶ ποκα νύμφαι;
Ἢ κατὰ Πηνειῶ καλὰ τέμπεα; ἢ κατὰ Πίνδω;
Οὐ γὰρ δὴ ποταμοῖο μέγαν ῥόον εἴχετ' Ἀνάπω.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Οὐδ' Αἴτνας σκοπιὰν, οὐδ' Ἄκιδος ἱερὸν ὕδωρ.
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,
Τῆνον χὠκ δρυμοῖο λέων ἀνέκλαυσε θανόντα.
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Πολλαί οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
Πολλαὶ δ' αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο.
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθ' Ἑρμᾶς πράτιστος ἀπ' οὔρεος· εἶπε δὲ, Δάφνι,
Τίς τυ κατατρύχει; τίνος ὦ 'γαθὲ τόσσον ἔρασαι;
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθον τοὶ βῶται, τοὶ ποιμένες, ᾡπόλοι ἦνθον·
Πάντες ἀνηρώτευν τί πάθοι κακόν. ἦνθ' ὁ Πρίηπος,
Κἤφα, Δάφνι τάλαν, τί τὺ τάκεαι; ἁ δέ τε κώρα
Πάσας ἀνὰ κράνας, πάντ' ἄλσεα ποσσὶ φορεῖται,
(Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς)
Ζατεῦσ'· ἆ δύσερώς τις ἄγαν καὶ ἀμήχανος ἐσσί.
Βούτας μὲν ἐλέγευ· νῦν δ' αἰπόλῳ ἀνδρὶ ἔοικας.
Ὡιπόλος ὅκκ' ἐσορῇ τὰς μηκάδας, οἷα βατεῦνται,
Τάκεται ὀφθαλμὼς, ὅτι οὐ τράγος αὐτὸς ἔγεντο.
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Καὶ τὺ δ', ἐπεί κ' ἐσορῇς τὰς παρθένος, οἷα γελῶντι,
Τάκεται ὀφθαλμὼς, ὅτι οὐ μετὰ ταῖσι χορεύεις.
Τὼς δ' οὐδὲν ποτελέξαθ' ὁ βούκολος· ἀλλὰ τὸν αὐτῶ
Ἄνυε πικρὸν ἔρωτα, καὶ ἐς τέλος ἄνυε μοίρας.
Ἄρχετε βουκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθέ γε μὰν ἁδεῖα καὶ ἁ Κύπρις γελάοισα,
Λάθρη μὲν γελάοισα, βαρὺν δ' ἀνὰ θυμὸν ἔχοισα·

Κῆπε,

© Centre d'Études Supérieures de la Renaissance - Tours

Neque Ætnæ cacumen, nec ſacram Acidis vndam.
Incipite Bucolicũ, o dulces Muſę, incipite carmẽ.
Illum ſane lupi ceruarii, aliiq. lupi rugitu deplorauerunt,
Et mortem ipſius leo in ſilua degens fleuiſſet.
Incipite Bucolicum, o dulces Muſæ, incipite carmẽ,
Multæ ei ad pedes vaccæ, multi item tauri,
Multæ iuuencæ & vitulæ luxerunt.
Incipite Bucolicũ, o dulces Muſæ, incipite carmẽ.
Mercurius primus ex monte venit, & inquit: o Daphni,
Quis te ita cõficit? cuius obſecro amore adeo ardes?
Incipite Bucolicũ, o dulces Muſæ, incipite carmẽ.
Venerunt bubulci, paſtores, caprarii venerunt,
Omnes rogabant, quo malo laboraret. venit Priap⁹,
Et ait: Daphni miſer, quid ita tabeſcis? ipſa vero puella
Per fontes omnes, ſyluaſq. pedibus diſcurrit
(Incipite Bucolicũ, o dulces Muſæ, incipite carmẽ)
Quærẽs: Ah nimis infelix es amator, & cõſilii inops.
Hactenus dictus es bubulcus, nunc vero caprario ſimilis es,
Caprarius, cum capras intuetur quando coeunt,
Oculis tabeſcit, quod non ipſe hircus eſt.
Incipite Bucolicũ, o dulces Muſæ, incipite carmẽ.
Sic tu cum aſpicis virgines, quomodo rideant,
Tabeſcis oculis, quod non cum illis choreas ducis.
His vero nihil quidquã reſpondit bubulcus, ſed ſuũ
Perficiebat acerbum amorem vſque ad finem vitæ.
Incipite Bucolicũ o dulces Muſæ, incipite carmẽ.
Tandem venit & dulcis Venus arridens: [erat:
Occulte quidem ridebat, animo vero grauiter irata



© Centre d'Études Supérieures de la Renaissance - Tours

Et ait: Tu ſane Daphni gloriabaris te amorẽ flexurũ.
Nonne vero nunc ipſe ab amore graui ſuperatus es?
Incipite Bucolicũ, o dulces Muſæ, incipite carmen.
Huic Daphnis reſpondit: O triſtis Venus,
Venus odioſa, Venus hominibus inimica.
Iam ergo ais omnem ſolem nobis occidiſſe?
Daphnis, & apud inferos etiam erit dolor amoris.
Incipite Bucolicum, o dulces Muſæ, incipite carmẽ.
Ad Idam montẽ vade, vbi paſtor Venerẽ, vt fama eſt:
Vade ad Anchiſem; ibi quercus ſunt, hic cyperus eſt,
Hic ſuauiter apes circum aluearia ſuſurrant.
Incipite Bucolicum, o dulces Muſæ, incipite carmẽ.
Formoſ⁹ & Adonis eſt: etenim & ipſe pecora paſcit,
Et lepores figit, & feras alias perſequitur.
Incipite Bucolicum, o dulces Muſæ, incipite carmẽ.
Age, conſiſte iterum ad Diomedem prope accedẽs,
Et dic, paſtorem vici Daphnidem: ſed pugna mecum.
Incipite Bucolicum, o dulces Muſæ, incipite carmẽ.
Vos o lupi, vos ceruarii lupi, & in luſtris degẽtes vrſi,
Valete, ego Daphnis bubulcus vobiſcum non amplius in ſiluis,
Non inter arbuſta, nec nemora ero. vale Arethuſa,
Et vos fluuii, qui iuxta pulchram Thymbridis vndam fluitis,
Incipite Bucolicum, o dulces Muſæ, incipite carmẽ.
Daphnis ego ille, qui boues hic paſcebam:
Daphnis ego qui tauros, qui vitulos hic potabam.
Incipite Bucolicum, o dulces Muſæ, incipite carmẽ.
O Pan, Pan, ſiue nunc es in monte alto Lycæo,
Seu per magnum Mænalum obambulas, veni in inſulam

Sicu-

© Centre d'Études Supérieures de la Renaissance - Tours

expl. part.

Κῆπε, Τὺ θὴν τὸν ἔρωτα κατεύχεο Δάφνι λυγιξεῖν;
Ἆρ' οὐκ αὐτὸς ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης;
Ἀρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Τὰν δ' ἄρα χὠ Δάφνις ποταμείψατο, Κύπρι βαρεῖα
Κύπρι νεμεσσατά, Κύπρι θνατοῖσιν ἀπεχθής.
Ἤδη γὰρ φράσδῃ πάνθ' ἄλιος ἄμμι δεδύκειν
Δάφνις, κὴν ἀΐδα κακὸν ἔσσεται ἄλγος ἔρωτος.
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Οὐ λέγεται τὰν Κύπριν ὁ βωκόλος, ἕρπε ποτ' Ἴδαν,
Ἕρπε ποτ' Ἀγχίσαν. τηνεῖ δρύες, ὧδε κύπειρος,
Ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι.
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὡραῖος χὤδωνις, ἐπεὶ καὶ μᾶλα νομεύει,
Καὶ πτῶκας βάλλει, καὶ θηρία τἄλλα διώκει.
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Αὖτις ὅπως στάσῃ Διομήδεος ἆσσον ἰοῖσα,
Καὶ λέγε, Τὸν βώταν νικῶ Δάφνιν, ἀλλὰ μάχευ μοι.
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὦ λύκοι, ὦ θῶες, ὦ ἀν' ὤρεα φωλάδες ἄρκτοι,
Χαίρεθ'· ὁ βωκόλος ὔμμιν ἐγὼ Δάφνις οὐκέτ' ἀν' ὕλαν,
Οὐκέτ' ἀνὰ δρυμώς, οὐκ ἄλσεα. χαῖρ' Ἀρέθοισα,
Καὶ ποταμοὶ τοὶ χεῖτε καλὸν κατὰ Θύμβριδος ὕδωρ. Vid. Boch. Phal. p. 399.
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Δάφνις ἐγὼν ὅδε τῆνος ὁ τὰς βόας ὧδε νομεύων,
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὦ Πὰν Πάν, εἴτ' ἐσσὶ κατ' ὤρεα μακρὰ Λυκαίω,
Εἴτε τύ γ' ἀμφιπολεῖς μέγα Μαίναλον· ἔνθ' ἐπὶ νᾶσον

Τὰν

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ταὶ Σικελαὶ, Ἑλίκας δὲ λίπε ῥίον, αἰπύ τε σᾶμα
Τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγαστόν.
Λήγετε βωκολικᾶς μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Ἔνθ' ὦναξ, καὶ τάνδε φέρ' εὐπάκτοιο μελίπνουν
Ἐκ κηρῶ σύριγγα καλὰν, περὶ χεῖλος ἑλικτάν.
Ἦ γὰρ ἐγὼν ὑπ' ἔρωτος ἐς ἅδαν ἕλκομαι ἤδη.
Λήγετε βωκολικᾶς μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Νῦν ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ' ἄκανθαι·
Ἁ δὲ καλὰ νάρκισσος ἐπ' ἀρκεύθοισι κομάσαι·
Πάντα δ' ἔναλλα γένοιτο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι·
Δάφνις ἐπεὶ θνάσκει· καὶ τὼς κύνας ὥλαφος ἕλκοι,
Κὴξ ὀρέων τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.
Λήγετε βωκολικᾶς μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Χὼ μὲν, τόσσ' εἰπὼν ἀπεπαύσατο· τὸν δ' Ἀφροδίτα
Ἤθελ' ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπει
Ἐκ Μοιρᾶν· χὼ Δάφνις ἔβα ῥόον, ἔκλυσε δίνα
Τὸν μώσαις φίλον ἄνδρα, τὸν οὐ νύμφαισιν ἀπεχθῆ.
Λήγετε βωκολικᾶς μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς·
Καὶ τὺ δίδου τὰν αἶγα, τό τε σκύφος, ὥς μιν ἀμέλξας,
Σπείσω ταῖς μοίσαις. ὦ χαίρετε πολλάκι μοῖσαι,
Χαίρετ'· ἐγὼ δ' ὔμμιν καὶ ἐς ὕστερον ἅδιον ᾀσῶ.

Αἰπόλος.

Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα Θύρσι γένοιτο,
Πλῆρες δὲ σχαδόνων· καὶ ἀπ' Αἰγίλω ἰσχάδα τρώγοις
Ἁδεῖαν· τέττιγος ἐπεὶ τύγε φέρτερον ᾄδεις.
Ἠνὶ δέ τοι τὸ δέπας· θᾶσαι φίλος ὡς καλὸν ὄσδει·
Ὡρᾶν πεπλύσθαί νιν ἐπὶ κράναισι δοκασεῖς.
Ὧδ' ἴθι Κισσαίθα. τὺ δ' ἄμελγέ νιν. αἱ δὲ χίμαιραι

Οὐ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Siculam, & relinque promõtorium Helices, & sublime sepulcrum
Illud Lycaonidæ quod & diis beatis *est* venerabile.
Desinite Bucolicũ carmẽ, Musæ agite, iã desinite.
Veni rex, & hanc aufer dulcem bene compactam
E cera fistulam pulchram, circa labrum apte inflexã.
Nam ego certe ab amore iam trahor ad orcum.
Desinite Bucolicũ carmen, Musæ, agite iã desinite.
Nunc violas feratis rubi, vos spinæ feratis,
Pulchra narcissus iuniperis floreat:
Omnia deniq. contraria fiant; & iam pin' pira ferat,
Daphnis postquam moritur: Iam ceruus canes trahat captiuos,
Et ex montibus vlulæ cum lusciniis cantu certent.
Desinite Bucolicũ carmẽ Musę, agite iam desinite.
Et ille quidem tantum locutus desiit. At Venus
Volebat ipsum erigere: verum omnia fila defecerãt
A Parcis. sic Daphnis transiit flumẽ, & vnda obruit
Musis dilectum virum neque Nymphis ingratum.
Desinite Bucolicũ carmẽ Musæ, agite iã desinite.
Et tu da capram, atq; poculum: vt ipsam mulgeam
Ac Musis libem. o saluete plurimum Musæ,
Saluete, ego vero vobis & posthac dulcius canam.

*Caprarius.*

Vtinam tibi melle plenum sit pulchrum os,
Plenum & fauis: atque comedas ficum ex Ægilo decerptam
Dulcem: suauius enim canis quam cicada.
En tibi poculum, contemplare amice, quam suauiter olet.
Horarum in fontibus ipsum collutum esse dices.
Huc veni Cissætha: iã tu mulge hãc: vos vero capellę
Nolite

© Centre d'Études Supérieures de la Renaissance - Tours

Nolite saltare, ne forte hircus in vos insurgat.

## ARGVMENTVM IDYLLII secundi.

Inducitur Simætha, Delphidis cuiusdam Myndii amore correpta: quem ex palæstra amatoriis incantationibus & veneficiis, Thestylidis cuiusdam ancillæ ministerio, ad se traducere conatur, aduocatis in auxilium Luna & Hecate, vtpote Deabus nocturnis amorem adiuuantibus. Thestylida vero Theocritus ex Sophronis Mimis desumpsit.

## PHARMACEVTRIA, Idyllium secundum.

Vbi mihi *sunt* lauri, Thestyli? vbi sunt philtra?
Cinge calicem hunc purpurea ouis lana,
Vt amatorẽ meum, qui me excruciat, carmine magico persequar,
Qui miser iam totos duodecim dies à me abest,
Neq; scit vtrum mortui simus, an viui.
Nec fores pulsando fregit crudelis: nimirum illi alio
Abiit habens Amor leuem animum, & Venus.
Ibo ad Timageti gymnasium [ita mecum agit.
Cras, vt ipsum videam, & cum eo expostulabo, quod
Nũc magicis sacris ipsum incãtabo. Sed tu o Luna
Luceas pulchre: ad te enim conuertã carmina placide, o dea,
Et ad Hecatẽ subterraneam, quã etiam catuli timẽt,
Cum incedit p mortuorũ sepulcra, & atrũ sanguinẽ.
Salue Hecate terribilis, & ad finem vsq; nobiscũ sis,
Efficiens hæc venena non inferiora neque Circes,
Nec Medeæ, neque flauæ Perimedæ *venenis*.

Iynx

© Centre d'Études Supérieures de la Renaissance - Tours

Οὐ μὴ σκιρτασῆτε, μὴ ὁ τράγος ὔμμιν ἀναστῇ.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ Εἰδυλλίου.

ΥΠΟΚΕΙΤΑΙ Σιμαίθα, Δέλφιδος Μυνδίου τινὸς ἐρῶσα· ὃν ἐκ παλαίστρας φίλτροις τε καὶ φαρμάκοις, διά τινος θεραπαίνης Θεστύλιδος ὑποδιακονουμένη, ἐφ' ἑαυτὴν πειρᾶται μετάγειν· ἐπικαλουμένη τὴν Σελήνην καὶ τὴν Ἑκάτην, ὡς ἐπὶ τῷ ἔρωτι συμβαλλομένας νυκτερινὰς θεάς. τὴν δὲ Θεστύλιδα ὁ Θεόκριτος ἐκ τῶν Σώφρονος μετήνεγκε μίμων.

## ΦΑΡΜΑΚΕΥΤΡΙΑ, Εἰδύλλιον β'.

Πᾶ μοι ταὶ δάφναι; φέρε Θεστυλί· πᾶ δὲ τὰ φίλτρα;
Στέψον τὰν κελέβαν φοινικέῳ οἰὸς ἀώτῳ,
Ὡς τὸν ἐμὸν βαρὺν εὖντα φίλον καταθύσομαι ἄνδρα,
Ὅς μοι δωδεκαταῖος ἀφ' ὧ τάλας οὐδέποθ' ἥκει,
Οὐδ' ἔγνω πότερον τεθνάκαμες ἢ ζοοὶ εἰμές,
Οὐδὲ θύρας ἄρραξεν ἀνάρσιος. ἦ ῥά οἱ ἄλλᾳ
Ὤιχετ' ἔχων ὅ τ' Ἔρως ταχινὰς φρένας, ἅ τ' Ἀφροδίτα.
Βασεῦμαι ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν
Αὔριον, ὥς νιν ἴδω, καὶ μέμψωμ' οἷά με ποιεῖ.
Νῦν δέ νιν ἐκ θυέων καταθύσομαι. ἀλλὰ Σελάνα
Φαῖνε καλόν· τὶν γὰρ ποταείσομαι ἅσυχα δαῖμον,
Τᾷ χθονίᾳ θ' Ἑκάτᾳ, τὰν καὶ σκύλακες τρομέοντι
Ἐρχομέναν νεκύων ἀνά τ' ἠρία καὶ μέλαν αἷμα.
Χαῖρ' Ἑκάτα δασπλῆτι, καὶ ἐς τέλος ἄμμιν ὀπήδει,
Φάρμακα ταῦθ' ἔρδοισα χερείονα μήτε τι Κίρκης,
Μήτε τι Μηδείας, μήτε ξανθᾶς Περιμήδας.

Ἴυγξ

Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ἄλφιτά τοι πρῶτον πυρὶ τάκεται. ἀλλ' ἐπίπασσε
Θέστυλι δειλαία· πᾷ τὰς φρένας ἐκπεπότασαι;
Ἦ ῥά γέ τοι μυσαρὰ καὶ τὶν ἐπίχαρμα τέτυγμαι;
Πάσσ' ἅμα καὶ λέγε ταῦτα, Τὰ Δέλφιδος ὀστέα πάσσω.
Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Δέλφις ἔμ' ἀνίασεν· ἐγὼ δ' ἐπὶ Δέλφιδι δάφναν
Αἴθω χὠς αὕτα λακέει, μέγα καππυρίσασα,
Κἠξαπίνης ἅφθη, κοὐδὲ σποδὸν εἴδομες αὐτῆς,
Οὕτω τοι καὶ Δέλφις ἐνὶ φλογὶ σάρκ' ἀμαθύνοι.
Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ὡς τοῦτον τὸν κηρὸν ἐγὼ σὺν δαίμονι τάκω,
Ὣς τάκοιθ' ὑπ' ἔρωτος ὁ Μύνδιος αὐτίκα Δέλφις·
Χὠς δινεῖθ' ὅδε ῥόμβος ὁ χάλκεος, ἐξ Ἀφροδίτας,
Ὣς κεῖνος δινοῖτο ποθ' ἁμετέρῃσι θύρῃσιν.
Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Νῦν θυσῶ τὰ πίτυρα. τὺ δ' Ἄρτεμι καὶ τὸν ἐν ᾅδᾳ
Κινήσαις Ῥαδάμανθα, καὶ εἴ τί περ ἀσφαλὲς ἄλλο.
Θέστυλι ταὶ κύνες ἄμμιν ἀνὰ πτόλιν ὠρύονται.
Ἁ θεὸς ἐν τριόδοισι· τὸ χαλκίον ὡς τάχος ἄχει.
Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ἠνὶ δὲ, σιγᾷ μὲν πόντος, σιγῶντι δ' ἀῆται·
Ἁ δ' ἐμὰ οὐ σιγᾷ στέρνων ἔντοσθεν ἀνία.
Ἀλλ' ἐπὶ τήνῳ πᾶσα καταίθομαι, ὅς με τάλαιναν
Ἀντὶ γυναικὸς ἔθηκε κακὰν καὶ ἀπάρθενον ἦμεν.
Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ἐς τρὶς ἀποσπένδω, καὶ τρὶς τάδε πότνια φωνῶ·
Εἴτε γυνὰ τήνῳ παρακέκλιται, εἴτε καὶ ἀνήρ,

Τόσσον

© Centre d'Études Supérieures de la Renaissance - Tours

Iynx trahe tu illum meam ad domum virum.
Mola quidem in igne consumitur, sed asperge
Thestyli infelix: quo tibi mens auolauit?
An vero scelesta tibi quoque ludibrio sum?
Sparge simul & hæc dicas, Delphidis ossa spargo.
Iynx trahe tu illum meam ad domum virum.
Delphis me cruciat: ego vero in Delphide hãc laurũ
Vro: & sicut illa crepat valde inflammata,
Vt subito cõflagrauit, vt neq. cinis de ea appareat:
Ita etiam Delphidis caro in flamma consumatur.
Iynx trahe tu illum meam ad domum virum.
Sicut hanc ceram ego, Deo adiuuante, liquefacio,
Ita præ amore statim liquescat Myndius Delphis.
Vtque voluitur hic æneus orbis, ope Veneris,
Sic ille voluatur ante nostras fores.
Iynx trahe tu illum meam ad domum virum.
Nunc furfures sacrificabo: tu vero Diana etiam illũ qui apud inferos est,
Adamantẽ mouere posses, & si quid aliud firmũ est.
Thestyli, canes nobis per vrbem latrant;
Dea adest in triuiis; vas æneum quam primum pulsa.
Iynx trahe tu illum meam ad domum virum.
Ecce iam mare silet, silent & venti;
Sed meus dolor in pectore non quiescit.
Verum amore erga illum tota comburor, qui me miseram
Pro coniuge infamem fecit, & vt non sim amplius virgo.
Iynx trahe tu illum meam ad domum virum.
Ter libo, & ter hæc, o reuerenda, dico.
Siue mulier illi accubat, siue vir,



© Centre d'Études Supérieures de la Renaissance - Tours

Tantum obliuiscatur, quantum olim Thesea dicũt,
In Dia oblitum esse pulchricomæ Ariadnes.
Iynx trahe tu illum meam ad domum virum.
Hippomanes planta est apud Arcades, qua concitati omnes
Et equulei insaniunt in montibus, & celeres equæ.
Vtinam sic & Delphidem videam ad hanc domum venire,
Insano similem, ex nitida palæstra.
Iynx trahe tu illum meam ad domum virum.
Hanc a vestimento fimbriam amisit Delphis,
Quam ego nunc diuellens in sæuum ignem spargo.
Hei mihi tristis amor: quam mihi atrum e corpore sanguinem,
Veluti palustris hirudo inhærens, omnem exuxisti.
Iynx trahe tu illum meam ad domum virum.
Lacertam tibi tenens malam potionem cras afferã.
Thestyli, nunc capiens hæc venena, ea illine
Limini illius, ad quod limen etiam nunc
Animo alligata sum: ille vero me nihil curat.
Et inspuens dicito, Nunc Delphidis ossa spargo.
Iynx trahe tu illum meam ad domum virum.
Nunc sola relicta, vnde amorem meum deplorare incipiam?
Vnde exordiar? quis mihi hoc malum attulit?
Venit ad nos Anaxo Eubuli filia sportulam ferens,
Ad lucum Dianæ: quo in loco & multæ aliæ
Feræ in põpa ducebãtur vndiq;, inter quas erat leęna.
Dic amorẽ meum, vnde venerit, veneranda Luna.
Meq. adeo Theucharilę nutrix Thressa felicis me-
Vicina prope habitans, orauit & obsecrauit [morię
Vt pompam spectarem. Ego vero insigniter infelix
Seque-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Τόσσον ἔχοι λάθας, ὅσσον ποκὰ Θασέα φαντὶ
Ἐν Δίᾳ λασθῆμεν εὐπλοκάμου Ἀριάδνας.
Ἴϋγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ἱππομανὲς φυτόν ἐστι παρ' Ἀρκάσι, τῷ δ' ἐπὶ πᾶσαι
Καὶ πῶλοι μαίνονται ἀν' ὤρεα καὶ θοαὶ ἵπποι·
Ὡς καὶ Δέλφιν ἴδοιμι καὶ ἐς τόδε δῶμα περῆσαι
Μαινομένῳ ἴκελον, λιπαρᾶς ἔκτοσθε παλαίστρας.
Ἴϋγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Τοῦτ' ἀπὸ τᾶς χλαίνας τὸ κράσπεδον ὤλεσε Δέλφις,
Ὡγὼν νῦν τίλλοισα κατ' ἀγρίῳ ἐν πυρὶ βάλλω.
Αἰαῖ Ἔρως ἀνιηρὲ, τί μευ μέλαν ἐκ χροὸς αἷμα
Ἐμφὺς, ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας;
Ἴϋγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Σαύραν τοι τρίψασα, κακὸν ποτὸν αὔριον οἰσῶ.
Θέστυλι, νῦν δὲ λαβοῖσα τὺ τὰ θρόνα ταῦθ' ὑπόμαξον
Τᾶς τήνω φλιᾶς καθυπέρτερον· ἇς ἔτι καὶ νῦν
Ἐκ θυμῶ δέδεμαι· ὁ δέ μευ λόγον οὐδένα ποιεῖ.
Καὶ λέγ' ἐπιφθύσδοισα, Τὰ Δέλφιδος ὀστέα πάσσω.
Ἴϋγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Νῦν δὴ μουνὴ ἐοῖσα πόθεν τὸν ἔρωτα δακρύσω;
Ἐκ τίνος ἄρξωμαι ἐγώ; τίς μοι κακὸν ἄγαγε τοῦτο;
Ἦνθ' ἁ τῶ 'ὐβούλοιο κανηφόρος ἄμμιν Ἀναξὼ
Ἄλσος ἐπ' Ἀρτέμιδος· τᾷ δή ποκα πολλὰ μὲν ἄλλα
Θηρία πομπεύεσκε περισταδὸν, ἐν δὲ λέαινα.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Καί μ' ἁ Θευχαρίλα Θρᾷσσα τροφὸς ἁ μακαρῖτις
Ἀγχίθυρος ναίοισα κατεύξατο καὶ λιτάνευσε
Τὰν πομπὰν θάσασθαι· ἐγὼ δέ οἱ ἁ μεγάλοιτος



© Centre d'Études Supérieures de la Renaissance - Tours

Ὠμάρτευν, βύσσοιο καλὸν σύροισα χιτῶνα,
Κἀμφιστειλαμένα τὰν ξυστίδα τὰν Κλεαρίστας.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελαία.
Ἤδη δ' εὖσα μέσον κατ' ἀμαξιτὸν, ᾇ τὰ Λύκωνος,
Εἶδον Δέλφιν ὁμοῦ τε καὶ Εὐδάμιππον ἰόντας.
Τοῖς δ' ἦν ξανθοτέρα μὲν ἑλιχρύσοιο γένεια,
Στήθεα δὲ στίλβοντα πολὺ πλέον ἢ τὺ Σελαία,
Ὡς ἀπὸ γυμνασίοιο καλὸν πόνον ἄρτι λιποῦσι.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελαία.
Χὡς ἴδον, ὡς ἐμάνην, ὥς μευ περὶ θυμὸς ἰάφθη
Δειλαίας. τὸ δὲ κάλλος ἐτάκετο, κοὐδ' ἔτι πομπᾶς
Τήνας ἐφρασάμαν, οὐδ' ὡς πάλιν οἴκαδ' ἀπῆνθον,
Ἔγνων· ἀλλά με τις καπυρὰ νόσος ἐξαλάπαξε·
Κείμαν δ' ἐν κλιντῆρι δέκ' ἄματα καὶ δέκα νύκτας.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελαία.
Καί μευ χρὼς μὲν ὁμοῖος ἐγίνετο πολλάκι θάψῳ·
Ἔρρευν δ' ἐκ κεφαλῆς πᾶσαι τρίχες· αὐτὰ δὲ λοιπὰ
Ὀστέ' ἔτ' ἦς καὶ δέρμα. καὶ ἐς τίνος οὐκ ἐπέρησα,
Ἢ ποίας ἔλιπον γραίας δόμον, ἅτις ἐπᾷδεν;
Ἀλλ' ἦς οὐδὲν ἐλαφρόν· ὁ δὲ χρόνος ἄνυτο φεύγων.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελαία.
Χὤτω τᾷ δούλᾳ τὸν ἀλαθέα μῦθον ἔλεξα,
Εἰ δ' ἄγε Θεστυλί μοι χαλεπᾶς νόσω εὑρέ τι μᾶχος.
Πᾶσαν ἔχει με τάλαιναν ὁ Μύνδιος· ἀλλὰ μολοῖσα
Τήρησον ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν.
Τηνεῖ γὰρ φοιτῇ, τηνεῖ δέ οἱ ἁδὺ καθῆσθαι.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελαία.
Κἠπεί κά νιν ἐόντα μάθοις μόνον, ἄσυχα νεῦσον.

Κἠφ'

© Centre d'Études Supérieures de la Renaissance - Tours

Sequebar, trahens pulchram ex bysso tunicam,
Et induta xystide Clearistæ.
Dic amorem meũ, vnde venerit, veneranda Luna.
Cum itaque iam incederem per mediam orbitam, vbi *ædes* Lyconis,
Ibi Delphidem vidi, & simul Eudamippum, euntes.
His erat helichryso flauior barbæ lanugo,
Pectora vero splendebãt multo magis quam Lunę,
Vt e gymnasio *redeuntibus* relicto pulchro labore.
Dic amorẽ meum, vnde venerit, veneranda Luna.
Atque vt vidi, vt insanii, vt animus mihi male affectus est
Miseræ: forma mea tabescebat, neq. amplius põpam
Illam curabam, neque quomodo domum redierim,
Noui: sed me ardens quidam morbus conficiebat,
Decubui v. in lecto dies decem, & noctes decem.
Dic amorẽ meum, vnde venerit, veneranda Luna.
Et corpus meum admodum simile fiebat thapso:
Defluebant v. e capite omnes capilli, ipsaq. sola reli- [qua
Ossa erant & cutis: ad cuius v. *ædes* non iui?
Aut cuius aniculæ domũ prætermisi quæ incãtaret?
Sed nihil erat leue, & tempus interea cõsumebatur fugiens.
Dic amorem meũ, vnde venerit, veneranda Luna.
Tandem ancillæ verum sermonem dixi;
Eia age, Thestyli, mihi grauis morbi aliquod remedium inueni,
Totam me cepit miserã Myndius ille. Sed profecto,
Obserua circa Timageti Palæstram:
Eo enim commeare solet, ibiq. ei *est* gratũ desideriũ.
Dic amorem meũ, vnde venerit, veneranda Luna.
Cumq; ipsum senties esse solum, occulte innue,



© Centre d'Études Supérieures de la Renaissance - Tours

Et dic, Simætha te vocat: atque huc ad me adducito.
Sic dixeram. ipsa v. abiit, & adduxit nitidum illum
Delphidem ad ædes nostras. at ego vt ipsum aspexi
Iam portæ limen superantem pede celeri,
(Dic amorē meum, vnde venerit, veneranda Luna.)
Tota quidem obrigui, plus niue: ex fronte vero
Mea, sudor abūde defluebat similis australibus pruinis,
Neque quicquam eloqui poteram, ne tantum quidem quantum in somnis
Murmurant clamantes caram ad matrem pueri:
Sed obrigui toto corpore, sicut monile riget.
Dic amorem meum, vnde venerit, veneranda Luna.
Et crudelis ille me intuens, oculos in terram defixit,
Asseditq. in sella, atque sedens sic ait:
Certe me Simætha tantum anteuertisti, quantum ego
Nuper currens formosum anteuerti Philinum,
Cum me ad tectum tuum vocasti, vt certo venirē.
Dic amorem meum, vnde venerit, veneranda Luna.
Venissem enim ego, per dulcem amorem, venissem
Vel duobus vel tribus comitatus de nocte amans:
Mala quidem in sinu Bacchi habens,
In capite a. habēs populum, Herculi sacram plantā,
Vndique purpureis lemniscis inuolutam.
Dic amorem meum, vnde venerit, veneranda Luna.
Et si me admisissetis, id gratum fuisset. nam celer
Et formosus inter omnes iuuenes vocor.
Quieuissem v. si tantum os tuum pulchrum osculatus fuissem.
Sin alio repulissetis me, & fores pessulo occlusę fuissent,
Omnino & secures & faces ad vos venissent.

Dic

© Centre d'Études Supérieures de la Renaissance - Tours

Κἠφ' ὅτι Σιμαίθα τὺ καλεῖ· καὶ ὑφάγεο τᾷδε.
Ὡς ἔφαμαν· ἁ δ' ἦνθε, καὶ ἄγαγε τὸν λιπαρόχρων
Εἰς ἐμὰ δώματα Δέλφιν. ἐγὼ δέ μιν ὡς ἐνόησα
Ἄρτι θύρας ὑπὲρ οὐδὸν ἀμειβόμενον ποδὶ κούφῳ,
(Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.)
Πᾶσα μὲν ἐψύχθην χιόνος πλέον, ἐκ δὲ μετώπω
Ἱδρώς μευ κοχύεσκεν ἴσον νοτίαισιν ἐέρσαις.
Οὐδέ τι φωνᾶσαι δυνάμαν, οὐδ' ὅσσον ἐν ὕπνῳ
Κνυζῶνται φωνεῦντα φίλαν ποτὶ ματέρα τέκνα·
Ἀλλ' ἐπάγην δαγῦδι καλὸν χρόα πάντοθεν ἴσα.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Καί μ' ἐσιδὼν ὥστοργος, ἐπὶ χθονὸς ὄμματα πήξας,
Ἕζετ' ἐπὶ κλιντῆρι, καὶ ἑζόμενος φάτο μῦθον,
Ἦ ῥά με Σιμαίθα τόσον ἔφθασας, ὅσσον ἐγώ θην
Πρᾶν ποκα τὸν χαρίεντα τρέχων ἔφθαξα Φιλῖνον,
Ἐς τὸ τεὸν καλέσασα τόδε στέγος, ἢ με παρῆμεν.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Ἦνθον γὰρ κἠγὼ, ναὶ τὸν γλυκὺν ἦνθον ἔρωτα,
Ἢ τρίτος ἠὲ τέταρτος ἐὼν φίλος αὐτίκα νυκτὸς,
Μᾶλα μὲν ἐν κόλποισι Διωνύσοιο φυλάσσων,
Κρατὶ δ' ἔχων λεύκαν, Ἡρακλέος ἱερὸν ἔρνος,
Πάντοτε πορφυρέῃσι περιζώστρῃσιν ἑλικτάν.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Καί μ'. εἰ μέν κ' ἐδέχεσθε, τάδ' ἦς φίλα· καὶ γὰρ ἐλαφρὸς
Καὶ καλὸς πάντεσσι μετ' ἠιθέοισι καλεῦμαι·
Εὗδόν τ' εἴ κε μόνον τὸ καλὸν στόμα τεῦ ἐφίλασα·
Εἰ δ' ἄλλᾳ μ' ὠθεῖτε, καὶ ἁ θύρα εἴχετο μοχλῷ,
Πάντως καὶ πελέκεις καὶ λαμπάδες ἦνθον ἐφ' ὑμέας.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Νῦν δὲ χάριν μὲν ἔφαν τᾷ Κύπριδι πρᾶτον ὀφείλειν·
Καὶ μετὰ τὰν Κύπριν, τύ με δευτέρα ἐκ πυρὸς εἵλευ,
Ὦ γύναι, ἐσκαλέσασα τεὸν ποτὶ τοῦτο μέλαθρον,
Αὔτως ἡμίφλεκτον. Ἔρως δ' ἄρα καὶ Λιπαραίου
Πολλάκις Ἁφαίστοιο σέλας φλογερώτερον αἴθει.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Σὺν δὲ κακαῖς μανίαις καὶ παρθένον ἐκ θαλάμοιο
Καὶ νύμφαν ἐφόβησ' ἔπι δέμνια θερμὰ λιποῖσαν
Ἀνέρος. ὡς ὁ μὲν εἶπεν· ἐγὼ δέ οἱ ἁ ταχυπειθὴς
Χειρὸς ἐφαψαμένα μαλακῶν ἔκλιν' ἐπὶ λέκτρων·
Καὶ ταχὺ χρὼς ἐπὶ χρωτὶ πεπαίνετο, καὶ τὰ πρόσωπα
Θερμότερ' ἦς ἢ πρόσθε· καὶ ἐψιθυρίσδομες ἁδύ.
Χώς κα τοι μὴ μακρὰ φίλα θρυλέοιμι Σελάνα,
Ἐπράχθη τὰ μέγιστα, καὶ ἐς πόθον ἤνθομες ἄμφω.
Κοὔτε τι τῆνος ἐμὶν ἐπεμέμψατο μέσφα τοι ἐχθές,
Οὔτ' ἐγὼ αὖ τήνῳ. ἀλλ' ἦνθέ μοι ἅ τε Φιλίστας
Μάτηρ τᾶς γ' ἐμᾶς αὐλητρίδος, ἅ τε Μελιξοῦς
Σάμερον, ἀνίκα πέρ τε ποτ' οὐρανὸν ἔτρεχον ἵπποι,
Ἀῶ τὰν ῥοδόπαχυν ἀπ' Ὠκεανοῖο φέροισαι·
Κεἶπέ μοι ἄλλα τε πολλά, καὶ ὡς ἄρα Δέλφις ἔραται.
Κἤτε μιν αὖτε γυναικὸς ἔχει πόθος, εἴτε καὶ ἀνδρός,
Οὐκ ἔφατ' ἀτρεκὲς ἴδμεν· ἀτὰρ τόσον, αἰὲν ἔρωτος
Ἀκράτω ἐπεχεῖτο, καὶ ἐς τέλος ᾤχετο φεύγων·
Καὶ φάτο οἱ στεφάνοισι τὰ δώματα τῆνα πυκάσδεν.
Ταῦτά μοι ἁ ξείνα μυθήσατο· ἔστι δ' ἀλαθής.
Ἦ γάρ μοι καὶ τρὶς καὶ τετράκις ἄλλοτ' ἐφοίτη,
Καὶ παρ' ἐμὶν ἐτίθει τὰν Δωρίδα πολλάκις ὄλπαν.

Νῦν

© Centre d'Études Supérieures de la Renaissance - Tours

Dic amorẽ meum, vnde venerit, veneranda Luna.
Nũc v. affirmo, me hãc gratiã primũ Veneri debere:
Et post Venerem, secundo tu ex flamma me eripuisti
O mulier, quæ me huc ad ædes tuas vocasti,
Prorsus semustum: nam amor sæpe Liparæo
Vulcano ardentiorem flammam incendere solet.
Dic amorẽ meum, vnde venerit, veneranda Luna.
Ille enim obiecto furore malo, virginẽ ex thalamo,
Et sponsam expulit ex thoro tepido adhuc relicto,
Viri. Sic ille dixit, ego vero illi facile credula,
Manu prehendens in mollem lectum inclinaui;
Et mox corpore corpus calefiebat, ora vero
Calidiora erant quam prius, & mussitabamus vna suauiter.
Ac ne tibi diu garriam o cara Luna,
Res maxima peracta est, & voto vterq. potiti sumus.
Neque post id tempus me ille culpauit vsque in hesternum diem;
Neque ipsum ego: sed venit ad me Philistæ
Mater meæ tibicinæ, atq; eadem mater Melixonis,
Hodie cum ad cælum ascenderent *Solis* equi,
Roseam auroram ab Oceano subuehentes.
Ea inter alia multa narrauit mihi, quod Delphis amet,
Vtrum vero mulieris amore teneatur an viri,
Non certum se scire ait; sed quod multum semper amoris
Mero infuderit. & tandem fugiens abierit;
Et dixit domum illi refertam esse coronis.
Hæc mihi narrauit hospita: est autem verax.
Nam ad me prius ter aut quater commeare solebat,
Et sæpe apud me deposuit Doricam pyxidem;

Nunc

Nunc vero dies duodecimus ex quo ipſum nõ vidi.
Num alias nũc habet delicias, & noſtri oblitus eſt?
Quare ipſum veneficiis amatoriis aggrediar. Sin a. me
Magis offenderit, Orci fores (per Parcas) pulſabit.
Talia in ciſtella venena me dico ſeruare,
Quæ, o domina, ab Aſſyrio hoſpite conficere didici.
Verum tu vale, atq. ad Oceanum equos flecte
Veneranda: ego vero dolorẽ meũ ferã ſicut ſuſcepi.
Vale Luna nitido corpore: valete & alia
Sidera, quæ placidæ noctis currum comitari ſoletis.

## ARGVMENTVM IDYLLII Tertii.

Inſcribitur hoc Idyllion Caprarius, a perſona amatoris: vel Amaryllis, a nomine puellæ quæ amatur: vel Comaſtes, ab actione ipſa. Cantu enim quidam blanditur amicæ Amaryllidi, non expreſſo nomine. Poſſet autem quis coniicere Battum eſſe: eum enim paſtorem caprarium fingit Theocritus alibi Corydoni colloquentem, & ſuum erga Amaryllida amorem declarantem. Quidam vero Theocritum eſſe putant, ex eo quod dicitur, *Num tibi ſimus videor?* Simichidem eũ vocantes. Tityrum alii proprium nomen, alii Satyrum ſignificare dicunt. Res autem tranſacta videtur in Italia iuxta Crotonem.

## CAPRARIVS vel AMARYLLIS, vel COMASTES, Idyll. tertium.

Vado ad Amaryllida: ſed mihi, capræ
In monte paſcuntur, & Tityrus eas agit.
O Tityre, mihi bene care, paſce capellas,

Et

© Centre d'Études Supérieures de la Renaissance - Tours

Νῦν δέ τε δωδεκαταῖος ἀφ' ὧτε νιν οὐδέ ποκ' εἶδον.
Ἦ ῥ' οὐκ ἄλλο τι τερπνὸν ἔχει, ἁμῶν δὲ λέλασται; οὖν
Νῦν μὲν τοῖς φίλτροις καταθύσομαι· αἰ δ' ἔτι κήμὲ fors. μιν
Λυπῇ, τὰν ἀΐδαο πύλαν (ναὶ μοίρας) ἀραξεῖ.
Τοῖά οἱ ἐν κίστᾳ κακὰ φάρμακα φαμὶ φυλάσσειν,
Ἀσσυρίω δέσποινα παρὰ ξείνοιο μαθοῖσα.
Ἀλλὰ τὺ μὲν χαίροισα, ποτ' Ὠκεανὸν τρέπε πώλους
Πότνι'· ἐγὼ δ' οἰσῶ τὸν ἐμὸν πόνον, ὥσπερ ὑπέσταν.
Χαῖρε Σελαναία λιπαρόχροε· χαίρετε δ' ἄλλοι
Ἀστέρες, εὐκήλοιο κατ' ἄντυγα νυκτὸς ὀπαδοί.

---

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΤΡΙΤΟΥ Εἰδυλλίου.

Ἐπιγράφεται μὲν τὸ Εἰδύλλιον ἀπὸ τοῦ Αἰπόλου, ἀπὸ τοῦ ἐρῶντος· ἢ Ἀμαρυλλίς, ἀπὸ τῆς κόρης τῆς ἐρωμένης· ἢ Κωμαστής, ἀπ' αὐτοῦ τοῦ πράγματος. ἐπικωμάζει γάρ τις τῇ Ἀμαρυλλίδι, τοῦ ὀνόματος μὴ δηλουμένου. εἰκάσειε δ' ἄν τις Βάττον εἶναι. τοῦτον γὰρ αἰπόλον ὄντα, δι' ἑτέρου ποιεῖ ὁ Θεόκριτος πρὸς διαλεγόμενον Κορύδωνι, καὶ τὸν ἔρωτα ὃν εἶχε πρὸς τὴν Ἀμαρυλλίδα, ἐμφαίνοντα. Τινὲς δὲ τὸν Θεόκριτον εἶναι νομίζουσιν· ἐκ τοῦ, Ἦ ῥά γέ τοι σιμὸς καταφαίνομαι; Σιμιχίδην αὐτὸν καλοῦντες. Τὸν Τίτυρον οἱ μὲν κύριον, οἱ δὲ σάτυρον εἶναί φασι. Τὰ δὲ πράγματα εἴη ἂν ἐπὶ Ἰταλίας περὶ Κρότωνα.

## ΑΙΠΟΣΟΣ ἢ ΑΜΑΡΥΛΛΙΣ, ἢ ΚΩΜΑΣΤΗΣ, Εἰδύλλιον γ'.

Κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα· ταὶ δέ μοι αἶγες
Βόσκονται κατ' ὄρος, καὶ ὁ Τίτυρος αὐτὰς ἐλαύνει.
Τίτυρ' ἐμὶν τὸ καλὸν πεφιλαμένε, βόσκε τὰς αἶγας.

Καὶ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Καὶ ποτὶ τὰν κρήναν ἄγε Τίτυρε· καὶ τὸν ἐνόρχαν
Τὸν Λιβυκὸν κνάκωνα φυλάσσεο, μή τυ κορύψῃ.
Ὦ χαρίεσσ' Ἀμαρυλλὶ, τί μ' οὐκέτι τοῦτο κατ' ἄντρον
Παρκύπτοισα καλεῖς τὸν ἐρωτύλον; ἦ ῥά με μισεῖς;
Ἦ ῥά γέ τοι σιμὸς καταφαίνομαι ἐγγύθεν ἦμεν,
Νύμφα, καὶ προγένειος; ἀπάγξασθαί με ποιησεῖς.
Ἠνὶ δέ τοι δέκα μᾶλα φέρω· τηνῶθε καθεῖλον,
Ὦ μ' ἐκέλευ καθελεῖν τύ· καὶ αὔριον ἄλλα τοι οἰσῶ.
Θᾶσαι μὰν θυμαλγὲς ἐμὸν ἄχος. αἴθε γενοίμαν
Ἁ βομβεῦσα μέλισσα, καὶ ἐς τεὸν ἄντρον ἱκοίμαν,
Τὸν κισσὸν διαδὺς, καὶ τὰν πτέριν ᾇ τὺ πυκάσδῃ.
Νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεός· ἦ ῥα λεαίνας
Μασδὸν ἐθήλαζε, δρυμῷ τέ μιν ἔτρεφε μάτηρ·
Ὅς με κατασμύχων καὶ ἐς ὀστέον ἄχρις ἰάπτει.
Ὦ τὸ καλὸν ποθορεῦσα· τὸ πᾶν, λίθος· ὦ κυάνοφρυ
Νύμφα, πρόσπτυξαί με τὸν αἰπόλον, ὥς τυ φιλάσω.
Ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.
Τὸν στέφανον τιλαί με καταυτίκα λεπτὰ ποιησεῖς,
Τόν τοι ἐγὼν Ἀμαρυλλὶ φίλα κισσοῖο φυλάσσω,
Ἐμπλέξας καλύκεσσι καὶ εὐόδμοισι σελίνοις.
Ὤ μοι ἐγὼ, τί πάθω; τί ὁ δύσσοος οὐχ ὑπακούεις;
Τὰν βαίταν ἀποδὺς, ἐς κύματα τηνῶ ἁλεῦμαι
Ὥπερ τὼς θύννως σκοπιάζεται Ὄλπις ὁ γριπεύς.
Κἤκα μὴ ἀποθάνω, τό γε μὰν τεὸν ἁδὺ τέτυκται.
Ἔγνων πρᾶν, ὅκα μευ μεμναμένω εἰ φιλέεις με,
Οὐδὲ τὸ τηλέφιλον ποτεμάξατο τὸ πλατάγημα,
Ἀλλ' αὔτως ἁπαλῶ ποτὶ πάχεϊ ἐξεμαράνθη.
Εἶπε καὶ Ἀγροιὼ, τἀλαθέα κοσκινόμαντις,

Ἁ πρᾶν

© Centre d'Études Supérieures de la Renaissance - Tours

Et ad fontem duc o Tityre: & illum coleatum hircũ
Libycum Cnaconem caueto, ne te cornu feriat.
O dulcis Amarylli, quare me nõ amplius prope hoc antrum
Prospectans vocas amatorculum tuum? num me odisti?
Num tibi simus videor, cum prope adsum,
O Nympha, & barbatus? efficies vt me suspendam.
Ecce mala decem affero tibi, ex eo loco decerpta
Vnde me iussisti decerpere: cras alia afferam.
Respice quæso acerbum dolorẽ meum: vtinã fierẽ
Susurrans apicula, atque in tuum antrum venirem,
Penetrãs per hederã & filicem, quæ te circundant.
Nunc scio quid sit amor, sæuus est deus: certe leænę
Mammã suxit, & in saltibus ipsum educauit mater:
Qui me velut ignis comburẽs, vsque ad ossa cõficit.
O puella dulci aspectu, tota saxea, o nigris decora superciliis
Nympha amplectere me caprarium, vt te deosculer.
Inest & in osculis inanibus dulcis voluptas.
Facies vt statim coronam hanc in minutas partes discerpam,
Quã tua causa, o cara Amarylli, ex hedera nexã ge- [ro,
Implexis folliculis, & odorato apio.
Hei mihi, de me q̃d fiet? mihi infelici quid accidit?
Exuto pelliceo in hos fluct⁹ me cõiiciã, [nõ exaudis?
Vbi thynnis insidiatur Olpis piscator.
Et quãuis non fuero mortuus, tu tamẽ voluptatẽ ca-
Intellexi nuper, cum quęrerem an me amares, [pies.
Telephilon allisum non edidit sonum,
Sed frustra in tenero cubito exaruit.
Dixit & Agrœo verum, cribellaria vates,

Quæ

© Centre d'Études Supérieures de la Renaissance - Tours

tempestatis mulatus
Quæ nuper ſpicas legebat, mercede cōducta, quod ego quidem
Tibi totus incumberem, tu vero me nihili faceres.
Certe tibi ſeruo capram albam geminorum matrē:
Eam a me filia Mermnonis nigella Erithacis
Petit; & dabo ei, quoniam tu me ludificaris.
Saltat mihi oculus dexter. Num nam videbo
Ipſam? cantabo ad pinum hic reclinatus.
Et forte me aſpiciet, quoniam non adamantina eſt.
Hippomenes cum virginem cuperet ducere,
Poma in manus accipiens, curſum perfecit. verum Atalanta
Vt vidit, vt inſaniit, vt in profundum incidit amorē!
Egit & vates Melampus armentum ab Othry mōte,
In Pylum. in amplexu vero Biantis iacuit
Pulcherrima *Pero*. mater ſapientis Alpheſibœæ.
Formoſam vero Venerem, cum in montibus pecora paſceret,
Nonne Adonis ita grauiter inſanire fecit,
Vt ne mortuum quidem ab amplexu ſuo dimittat?
Beat⁹ meo iudicio eſt, qui ęterno ſomno ſopit⁹ iacet,
Endymion. Beatum etiam iudico, o cara mulier, Iaſionem,
Qui ea conſecutus eſt quæ non audietis prophani.
Doleo caput: tu vero non curas: non amplius canā.
Iacebo hic ſtratus, & lupi hic me comedent,
Vt iſtud tibi mel dulce ſit in gutture.

ARGVMENTVM IDYLLII quarti.

Hoc Idyllion Bucolicum eſt. Porro Battus paſtor capratius & Corydon bubulcus alternis verſibus inter ſe colloquuntur. Inducit autē Theocritus Corydonē paſcentē

vac-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἁ πρᾶν ποιολογεῦσα παραιβάτις, οὕνεκ' ἐγὼ μὲν
Τὶν ὅλος ἔγκειμαι· τὺ δέ μευ λόγον οὐδένα ποιῇ.
Ἦ μάν τοι λευκὰν διδυματόκον αἶγα φυλάσσω,
Τάν με καὶ ἁ Μέρμνωνος Ἐριθακὶς ἁ μελανόχρως
Αἰτεῖ· καὶ δωσῶ οἱ, ἐπεὶ τύ μοι ἐνδιαθρύπτη.
Ἄλλεται ὀφθαλμός μευ ὁ δεξιός· ἆρά γ' ἰδησῶ
Αὐτάν; ἀσεῦμαι ποτὶ τὰν πίτυν ὧδ' ἀποκλινθείς·
Καί κέ μ' ἴσως ποτίδῃ· ἐπεὶ οὐκ ἀδαμαντίνα ἐντί.
Ἱππομένης ὄκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι,
Μᾶλ' ἐνὶ χερσὶν ἑλὼν, δρόμον ἄνυεν· ἁ δ' Ἀταλάντα
Ὡς ἴδεν, ὡς ἐμάνη, ὡς ἐς βαθὺν ἅλλετ' ἔρωτα!
Τὰν ἀγέλαν χὠ μάντις ἀπ' Ὄθρυος ἆγε Μελάμπους
Ἐς Πύλον· ἁ δὲ Βίαντος ἐν ἀγκοίνῃσιν ἐκλίνθη
Μάτηρ ἁ χαρίεσσα περίφρονος Ἀλφεσιβοίας.
Τὰν δὲ καλὰν Κυθέρειαν ἐν οὔρεσι μᾶλα νομεύων
Οὐχ οὕτως ὥδωνις ἐπὶ πλέον ἄγαγε λύσσας,
Ὥστ' οὐδὲ φθίμενόν μιν ἄτερ μασδοῖο τίθητι;
Ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων
Ἐνδυμίων, ζαλῶ δὲ φίλα γύναι Ἰασίωνα,
Ὃς τόσσων ἐκύρησεν ὅσ' οὐ πευσεῖσθε βέβαλοι.
Ἀλγέω τὰν κεφαλάν· τὶν δ' οὐ μέλει. οὐκέτ' ἀείδω,
Κεισεῦμαι δὲ πεσών, καὶ τοὶ λύκοι ὧδέ μ' ἔδονται·
Ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γένοιτο.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ Εἰδυλλίου.

Τοῦτο τὸ Εἰδύλλιον βουκολικόν ἐστι. Βάττος μὲν οὖν, αἰπόλος· Κορύδων δὲ, βουκόλος, πρὸς ἀλλήλους διαλέγονται ἀμοιβαίως. ὑποτίθεται δὲ ὁ Θεόκριτος τὸν Κορύδωνα βοῦς νέμοντα

© Centre d'Études Supérieures de la Renaissance - Tours

νέμοντα βουκόλου τινὸς Αἴγωνος, ὅν φησιν εἰς Ὀλυμπίαν ὑπὸ Μίλωνος παλαιστοῦ ἀχθῆναι, ἰσχυρὸν ὄντα, ὡς ἀγωνίσται· τὸν δὲ Βάττον ζῶντα πυνθανόμενον, καὶ λέγοντα ὅτι κακοῦ αἱ βόες ἔτυχον βουκόλου, καὶ εἰσὶ λεπταί. Τὰ δὲ πράγματα διάκεινται ἐν Κρότωνι τῆς Ἰταλίας.

## ΝΟΜΕΙΣ·

## ΒΑΤΤΟΣ ΚΑΙ ΚΟΡΥΔΩΝ·

### Εἰδύλλιον δ΄.

Βάττος.

Εἰπέ μοι ὦ Κορύδων, τίνος αἱ βόες; ἢ ῥα Φιλώνδα;

Κορύδων.

Οὔκ· ἀλλ' Αἴγωνος· βόσκειν δέ μοι αὐτὰς ἔδωκεν.

Βάττος.

Ἦ πᾶ ψε κρύβδαν τὰ ποθέσπερα πάσας ἀμέλγες;

Κορύδων.

Ἀλλ' ὁ γέρων ὑφίητι τὰ μοσχία, κἠμὲ φυλάσσει.

Βάττος.

Αὐτὸς δ' ἐς τίν' ἄφαντος ὁ βωκόλος ᾤχετο χώραν;

Κορύδων.

Οὐκ ἄκουσας; ἄγων νιν ἐπ' Ἀλφεὸν ᾤχετο Μίλων.

Βάττος.

Καὶ πόκα τῆνος ἔλαιον ἐν ὀφθαλμοῖσιν ὀπώπει;

Κορύδων.

Φαντί νιν Ἡρακλῆι βίαν καὶ κάρτος ἐρίσδειν.

Βάττος.

Κἠμ' ἔφαθ' ἁ μάτηρ Πολυδεύκεος ἦμεν ἀμείνω.

Κορύδων.

Κᾤχετ' ἔχων σκαπάναν τε καὶ εἴκατι τουτόθε μᾶλα.

Βάττος.

© Centre d'Études Supérieures de la Renaissance - Tours

vaccas bubulci cuiusdam Ægonis, quem dicit robustũ existentem a luctatore Milone Olympiam abductum esse certandi causa: Battum vero hęc interrogantẽ, & dicentem vaccas malum pastorem nactas, atque propterea macilentas esse. Res autem transacta est in Crotone Italię.

## PASTORES, IDYLLION quartum.

### BATTVS ET CORYDON.

Dic mihi o Corydon, cuius sunt hæ vaccæ? an Philondæ?

*Corydon.*

Non, verum Ægonis: mihi vero vt pascam eas mandauit.

*Battus.*

An alicubi eas clam vespere omnes mulges?

*Corydon.*

Atqui senex submittit vitulos, meque obseruat.

*Battus.*

Ipse vero bubulcus absens quo tandem abiit?

*Corydon.*

An non audisti? Milon ipsum ad Alpheum secum abduxit.

*Battus.*

Et quando ille vnquam oleum oculis suis vidit?

*Corydon.*

Aiunt eum vel cum Hercule viribus & robore certare posse.

*Battus.*

Et me mater dixit Polluce præstantiorem esse.

*Corydon.*

Et abiit hinc ligonem secũ ferẽs, atque viginti oues.



© Centre d'Études Supérieures de la Renaissance - Tours

*Battus.*

Persuaserit credo Milon lupis, vt statim rabiosi fiant.

*Corydon.*

Iuuencæ vero ipsum hic mugientes desiderant.

*Battus.*

Miseræ illæ, pastorem quam malum nactæ sunt.

*Corydon.*

Sane miseræ, & non amplius volunt pasci.

*Battus.*

Huic quidem vitulæ ipsa tantum reliqua sunt
Ossa. numquid hæc rore victitat, sicut cicadæ

*Corydon.*

Non per terram. nam aliquando ipsam ad Æsarum pasco:
Et mollis fœni pulchrum fasciculum præbeo:
Aliquando vero saltat circa vmbrosum Latymnum.

*Battus.*

Macilentus quidem & iste rufus taurus est. vtinam sortiantur
Lampriadæ tribules, quando sacrificant
Iunoni talem: improbus enim est populus.

*Corydon.*

Et is quidem ad paludis ostium agitur, inque loca circa Physcum,
Et ad Neæthum, vbi omnia præclare nascuntur,
Ægipyrus, & cnyza, & odorifera melitea.

*Battus.*

Heu, heu, ibunt & boues, o miser Ægon,
Ad Orcum, interea dum tu appetis infelicem victoriam.
Et fistula situ fœdatur, quam olim compegisti.

Cory-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Βάττος.

Πείσαι τοι Μίλων καὶ τὼς λύκος αὐτίκα λυσσῆν.

Κορύδων.

Ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι ὧδε ποθεῦντι.

Βάττος.

Δειλαῖαί γ' αὗται, τὸν βωκόλον ὡς κακὸν εὗρον.

Κορύδων.

Ἦ μὰν δειλαῖαί γε, καὶ οὐκέτι λῶντι νέμεσθαι.

Βάττος.

Τήνας μὲν δή τοι τᾶς πόρτιος αὐτὰ λέλειπται
Τὠστέα. μὴ πρῴκας σιτίζεται, ὥσπερ ὁ τέττιξ;

Κορύδων.

Οὐ δᾶν, ἀλλόκα μέν μιν ἐπ' Αἰσάροιο νομεύω,
Καὶ μαλακῶ χόρτοιο καλὰν κώμυθα δίδωμι·
Ἄλλοκα δὲ σκαίρει τὸ βαθύσκιον ἀμφὶ Λάτυμνον.

Βάττος.

Λεπτὸς μὰν χὠ ταῦρος ὁ πύρριχος· εἴθε λάχοιεν
Τοὶ τῶ Λαμπριάδα τοὶ δαμόται, ὅκκα θύοντι
Τᾷ Ἥρᾳ τοιόνδε. κακοχράσμων γὰρ ὁ δᾶμος.

Κορύδων.

Καὶ μὰν ἐς στομάλιμνον ἐλαύνεται, ἔς τε τὰ Φύσκω,
Καὶ ποτὶ τὸν Νήαιθον· ὅπα καλὰ πάντα φύοντι,
Αἰγίπυρος, καὶ κνύζα, καὶ εὐώδης μελίττα·

Βάττος.

Φεῦ φεῦ· βασεῦνται καὶ ταὶ βόες, ὦ τάλαν Αἴγων,
Εἰς ἀΐδαν, ὅκα καὶ τὺ κακᾶς ἠράσσαο νίκας.
Χἀ σύριγξ εὐρῶτι παλύνεται, ἅν ποτ' ἐπάξω.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Κορύδων.

Οὐ τήνα γ', οὐ νύμφας· ἐπεὶ ποτὶ Πῖσαν ἀφέρπων,
Δῶρον ἐμίν νιν ἔλειπεν. ἐγὼ δέ τις εἰμὶ μελικτὰς,
Κἦν μὲν τὰ Γλαύκας ἀγκρούομαι, εὖ δὲ τὰ Πύῤῥω.
Αἰνέω τάν τε Κρότωνα· καλὰ πόλις, ἅ τε Ζάκυνθος·
Καὶ τὸ ποτῷον τὸ Λακίνιον, ἅπερ ὁ πύκτας
Αἴγων ὀγδώκοντα μόνος κατεδαίσατο μάσδας·
Τηνεὶ καὶ τὸν ταῦρον ἀπ' ὤρεος ἆγε πιάξας
Τᾶς ὁπλᾶς, κἤδωκ' Ἀμαρυλλίδι· ταὶ δὲ γυναῖκες
Μακρὸν ἀΰσαν, χὼ βωκόλος ἐξεγέλασσεν.

Βάττος.

Ὦ χαρίεσσ' Ἀμαρυλλὶ, μόνας σέθεν οὐδὲ θανοίσας
Λασεύμεσθ'. ὅσον αἶγες ἐμὶν φίλαι, ὅσσον ἀπέσβας.
Αἰαῖ τῶ σκληρῶ μάλα δαίμονος, ὅς με λελόγχει.

Κορύδων.

Θαρσεῖν χρὴ φίλε Βάττε· τάχ' αὔριον ἔσσετ' ἄμεινον.
Ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες.
Χὼ Ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὕει.
Βάττ. Θαρσέω· βάλλε κάτωθε τὰ μοσχία. τᾶς γὰρ ἐλαίας
Τὸν θαλλὸν τρώγοντι τὰ δύσσοα. σίτθ' ὁ λέπαργος.

Κορύδων.

Σίτθ' ἁ Κυμαίθα ποτὶ τὸν λόφον· οὐκ ἐσακούεις;
Ἤξω ναὶ τὸν Πᾶνα, κακὸν τέλος αὐτίκα δωσῶν,
Εἰ μὴ ἀπεὶ τουτῶθεν. ἴδ' αὖ πάλιν ἅδε ποθέρπει.
Εἴθ' ἦν μοι ῥοικὸν τὸ λαγωβόλον, ὥς τυ πατάξω.

Βάττος.

Θᾶσαί μ' ὦ Κορύδων ποτὶ τῶ Διός. ἁ γὰρ ἄκανθα
Ἁρμοῖ μ' ὧδ' ἐπάταξ' ὑπὸ τὸ σφυρόν· ὡς δὲ βαθεῖαι

Ταί

© Centre d'Études Supérieures de la Renaissance - Tours

*Corydon.*

Non illa, nõ per Nymphas: nam cum ad Pisam proficisceretur,
Dono mihi eã reliquit. nam & ego quidã cãtor sum,
Et pulchre accino carmina Glaucæ, pulchre etiã Pyr
Laudo & Crotonẽ: pulchra vrbs est Zacynth': [thi.
Et orientale promontorium Lacinium, vbi pugil
Ægon octoginta solus comedit placentas.
Illic & taurum a monte duxit prehensum
Vngula, & Amaryllidi donauit: mulieres vero
Procul acclamauerunt; pastor autem risit.

*Battus.*

O dulcis Amarylli, tui ne mortuæ quidem
Obliuiscemur: quam mihi capræ caræ, tam tu cara interiisti.
Heu, heu, durum valde fatũ, quod mihi sortito obuenit.

*Corydon.*

Fidere decet care Batte: forsan cras melius erit.
Spes sunt inter viuos, expertes aũt spei sunt mortui.
Et Iupiter interdum serenus est, interdũ vero pluit.

*Battus.*

Animum recipio. pelle deorsum vitulos: nam oleæ
Ramos rodunt infelices. Heus, abi hinc tu albe.

*Corydon.*

Heus, abi Cymætha ad tumulum: an non audis?
Veniam, per Pana, malam rem tibi daturus,
Nisi abis isthinc. ecce iterum huc accedit.
Vtinam mihi esset curuum pedũ, vt te verberarem.

*Battus.*

Aspice me o Corydon, per Iouem. nam spina
Modo hic me sauciauit sub malleolo. quã vero altæ



© Centre d'Études Supérieures de la Renaissance - Tours

Attractylides sunt? male pereat vitula.
In hanc enim inhians sauciatus sum. nũquid cernis?

*Corydon.*

Certe certe, & vnguibus eam teneo: atque hæc ipsa est.

*Battus.*

Quam exigua plaga est: & quantum virum superat?

*Corydon.*

In monte cum ambulas, ne discalceatus eas Batte:
In montibus enim rubi & tribuli virent.

*Battus.*

Dic age mihi Corydon, senecio ille nũ adhuc molit
Illud nigro supercilio scortillum quod olim deperibat?

*Corydon.*

Admodum quidem, o miser. nuper ipse interueniẽs
Iuxta speluncam deprehendi.

*Battus*

Euge, o homo lasciue: natura quidem tua aut cum Satyris
Proxime, aut cum Panibus, quibus exilia crura sunt, certat.

---

ARGVMENTVM IDYLLII quinti.

Hoc Idyllion magis Dramaticum est. Colloquuntur autẽ inter se in Italia, & de præstantia in arte Musica certant, caprarius Comates, qui Eumaræ Sybaritæ capras pascit; & pastor Lacon, qui Thurii Sybaritæ pecora pascit. Habet autem Comatas puellam amasiam Alcippen nomine: Lacon vero amasium Eumedem. Et præmiũ certaminis constituunt, caprarius hircum, pastor autẽ agnum. Morsonem vero cantionum iudicem deligũt. Finito certamine, iudex Morson caprario victoriã tribuit. Inscribitur igitur hoc Idyllion Viatores, quod in via rixentur: Bucoliastæ vero, quod carmen Bucolicum canant.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Ταὶ ἀτρακτυλίδες ἐντί· κακῶς ἁ πόρτις ὄλοιτο.
Εἰς ταύταν ἐτύπην χασμεύμενος. ἦ ῥά γε λεύσσεις;

Κορύδων.

Ναὶ ναί, τοῖς ὀνύχεσσιν ἔχω γέ νιν. ἅδε καὶ αὐτά.

Βάττος.

Ὁσσίχον ἐστὶ τὸ τύμμα, καὶ ἁλίκον ἄνδρα δαμάσδει.

Κορύδων.

Εἰς ὄρος ὄκχ' ἕρπῃς, μὴ ἀνάλιπος ἔρχεο Βάττε·
Ἐν γὰρ ὄρει ῥάμνοι τε καὶ ἀσπάλαθοι κομόωντι.

Βάττος.

Εἴπ' ἄγε μοι Κορύδων, τὸ γερόντιον ἦ ῥ' ἔτι μύλλει
Τήναν τὰν κυάνοφρυν ἐρωτίδα, τᾶς ποτ' ἐκνίσθη;

Κορύδων.

Ἀκμάν γ' ὦ δειλαῖε. πρᾶν γε μὲν αὐτὸς ἐπενθὼν,
Καὶ ποτὶ τὰν μάνδραν κατελάμβανον, ἆμος ἐνήργει.

Βάττος.

Εὖ γ' ὤνθρωπε φιλοῖφα· τό τοι γένος ἢ σατυρίσκοις
Ἐγγύθεν ἢ Πάνεσσι κακοκνάμοισιν ἐρίσδει.

---

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ε' Εἰδυλλίου.

Τοῦτο τὸ Εἰδύλλιον δραματικώτερόν ἐστι. προσδιαλέγονται δὲ ἀλλήλοις ἐπὶ Ἰταλίας, καὶ περὶ δὴ μουσίας ἐρίζουσιν, ὅ τε αἰπόλος Κομάτας, ὃς Εὐμάρᾳ τῷ Συβαρίτᾳ νέμει τὰς αἶγας· καὶ ὁ ποιμὴν Λάκων ὃς Θουρίου τοῦ Συβαρίτα νέμει τὰ θρέμματα. Ἔχει δὲ ὁ μὲν Κομάτας κόρην ἐρωμένην Ἀλκίππην τοὔνομα· ὁ δὲ Λάκων, ἐρώμενον Εὐμήδην. καὶ ἔπαθλον τῆς νίκης τίθενται, ὁ μὲν αἰπόλος τράγον, ὁ δὲ ποιμὴν ἀμνόν. Μόρσωνα δὲ τῶν ᾠδῶν κριτὴν αἱροῦνται. Τελεσάντων δὲ τὴν ἅμιλλαν, ὁ κριτὴς Μόρσων τῷ αἰπόλῳ τὴν νίκην ἀπονέμει. Ἐπιγράφεται μὲν οὖν τοῦτο τὸ Εἰδύλλιον, Ὁδοιπόροι μὲν, διὰ τὸ ἐν ὁδῷ φιλονεικεῖν· Βουκολιασταὶ δὲ, διὰ τὸ βουκολιάζεσθαι, ἤγουν βουκολικῶς ᾄδειν αὐτούς.



© Centre d'Études Supérieures de la Renaissance - Tours

# ΟΔΟΙΠΟΡΟΙ ἢ ΒΟΥΚΟΛΙΑΣΤΑΙ, Εἰδύλλιον ε'.

## ΚΟΜΑΤΑΣ καὶ ΛΑΚΩΝ.

Αἶγες ἐμαὶ τῆνον τὸν ποιμένα τὸν Συβαρίταν
Φεύγετε τὸν Λάκωνα· τό μευ νάκος ἐχθὲς ἔκλεψεν.

Λάκων.

Οὐκ ἀπὸ τᾶς κράνας σίττ' ἀμνίδες; οὐκ ἐσορῆτε
Τόν μευ τὰν σύριγγα πρώαν κλέψαντα Κομάταν;

Κομάτας.

Τὰν ποίαν σύριγγα; τὺ γάρ ποκα δῶλε Συβάρτα
Ἐκ τάσω σύριγγα; τί δ'; οὐκέτι σὺν Κορύδωνι
Ἀρκεῖ τοι καλάμας αὐλὸν ποππύσδεν ἔχοντι;

Λάκων.

Τάν μοι ἔδωκε Λύκων, ὦ 'λεύθερε. τὶν δὲ τὸ ποῖον
Λάκων ἐκκλέψας ποκ' ἔβα νάκος; εἰπὲ Κομάτα·
Οὐδὲ γὰρ Εὐμάρᾳ τῷ δεσπότῃ ἦς τοι ἐνεύδειν.

Κομάτας.

Τὸ Κροκύλος μοι ἔδωκε, τὸ ποικίλον, ἀνίκ' ἔθυσε
Ταῖς νύμφαις τὰν αἶγα. τὺ δ' ὦ κακὲ καὶ τότ' ἐτάκευ
Βασκαίνων, καὶ νῦν με τὰ λοίσθια γυμνὸν ἔθηκας.

Λάκων.

Οὔ, μ' αὐτὸν τὸν Πᾶνα τὸν ἄκτιον, οὔ σέ γε Λάκων
Τὰν βαίταν ἀπέδυσ' ὁ Καλαίθιδος· ἢ κατὰ τήνας
Τᾶς πέτρας, ὤνθρωπε, μανεὶς ἐς Κρᾶθιν ἁλοίμαν.

Κομάτας.

Οὐ μὰν οὔτ' αὐτὰς τὰς λιμνάδας ὦ 'γαθὲ νύμφας,
(Αἵτ' ἐμὶν ἵλαοί τε καὶ εὐμενέες τελέθοιεν)

Οὔ τευ

© Centre d'Études Supérieures de la Renaissance - Tours

# VIATORES, seu BVCOLIASTAE, Idyllion quintum.

## COMATES ET LACON.

Capræ meæ, pastorem illum Sybaritam
Fugite Laconẽ: is enim meam pellem heri furat' est.

*Lacon.*

An non a fonte fugitis oues? non videtis
Comatem qui mihi nuper fistulam furatus est?

*Comates.*

Quam fistulam? tu enim serue Sybarita,
Quando possedisti fistulam? Quid? annon cum Corydone
Tibi satis fuit, sibilare arundinis cannulam tenenti?

*Lacon.*

Quam mihi dedit Lycon, o ingenue. tibi vero quam tandem
Lacon furatus pellem quondam abiit, dic Comata?
Neque enim Eumaræ hero tuo fuit *pellis* in qua dormiret.

*Comatas.*

Quã Crocylus mihi dedit, discolorẽ, tunc cũ sacrificaret
Nymphis caprã: tu v. improbe & tunc cõtabescebas
Inuidens, & nunc postremo nudum me fecisti.

*Lacon.*

Non, per ipsum Pana litoralem, non tibi Lacon
Pelliceum exuit filius Calæthidis: aut *si fallo, vtinam* de hac
Rupe, o amice, furore correptus, in Crathin saliam.

*Comatas.*

Non certe, nõ, per ipsas nymphas palustres, o bone:
(Quæ mihi placatæ & beneuolæ sint,)

Non

© Centre d'Études Supérieures de la Renaissance - Tours

Non tuam fistulam furtim sustulit Comatas.

*Lacon.*

Si tibi credam, dolores Daphnidis perferam.
Sed enim, si vis hædum deponere, (nihil enim est
Sacrum) cantu quidem tecum certabo, donec ipse
recuses.

*Comatas.*

Sus contra Mineruã certamẽ certauit: ecce depositus est
Hædus: age, tu quoque pinguem agnum depone.

*Lacon.*

Quomodo, o asture, recte hæc erũt ex æquo nobis?
Quis pilos pro lana detondeat? quis, cum adsit
Capra quæ primum peperit, malam canem velit mulgere?

*Comatas.*

Ille, inquam, qui sicut tu propinquum se superaturum confidit:
Vespa strepens contra cicadam. Sed non *sit sane*
Hædus par: tu vero (ecce hircus iste) certa.

*Lacon.*

Ne festina: neque enim igni vreris. Suauius cantabis
Hic sub oleastro, & ad syluam hanc assidens.
Gelida vnda illic fluit, hic enata est
Herba, & thorus hic, & locustæ hic murmurant.

*Comatas.*

Atqui nõ festino: sed moleste admodum fero, quod tu me audes
Oculis rectis aspicere: quem olim, cum esses
Puer adhuc, ego docui. en gratia quo recidit.
Nutri catulos lupinos, nutri canes, vt te deuorent.

*Lacon.*

Quando vnquam a te boni aliquid didici, vel audiui



© Centre d'Études Supérieures de la Renaissance - Tours

Οὔ πυ τὰν σύριγγα λαθὼν ἔκλεψε Κομάτας.

Λάκων.

Αἴ τοι πιστεύσαιμι, τὰ Δάφνιδος ἄλγε' ἀροίμαν.
Ἀλλ' οὖν αἴκα λῇς ἔριφον θέμεν (ἐντὶ μὲν οὐδὲν
Ἱερόν) ἀλλά γέ τοι διαείσομαι, ἔστε κ' ἀπείπῃς.

Κομάτας.

Ὗς ποτ' Ἀθηναίαν ἔριν ἤρισεν· ἠνὶ δὲ κεῖται
Ὥριφος· ἀλλ' ἄγε καὶ τὺ τὸν εὔβοτον ἀμνὸν ἔρειδε.

Λάκων.

Καὶ πῶς ὦ κίναδ', εὖ τάδε γ' ἔσσετ' ἐξ ἴσου ἄμμιν;
Τίς τρίχας ἀντ' ἐρίων ἐποκίξατο; τίς δὲ παρεῦσας
Αἰγὸς πρωτοτόκοιο, κακὰν κύνα δήλετ' ἀμέλγειν;

Κομάτας.

Ὅστις νικασεῖν τὸν πλατίον, ὡς τὺ πεποίθεις·
Σφὰξ βομβῶν τέττιγος ἐναντίον. ἀλλὰ γὰρ οὔτι
Ὥριφος ἰσοπαλής· τὺ (ἴδ' ὁ τράγος οὗτος) ἔρισδε.

Λάκων.

Μὴ σπεῦδ'· οὐ γάρ τοι πυρὶ θάλπεαι· ἅδιον ᾀσῇ
Τᾷδ' ὑπὸ τὰν κότινον καὶ τἄλσεα ταῦτα καθίξας.
Ψυχρὸν ὕδωρ τηνεὶ καταλείβεται· ὧδε πεφύκει
Ποία, χὰ στιβὰς ἅδε, καὶ ἀκρίδες ὧδε λαλεῦντι.

Κομάτας.

Ἀλλ' οὔτι σπεύδω· μέγα δ' ἄχθομαι εἰ τύ με τολμῇς
Ὄμμασι τοῖς ὀρθοῖσι ποτιβλέπεν, ὅν ποκ' ἐόντα
Παῖδ' ἔτ' ἐγὼν ἐδίδασκον. ἴδ' ἁ χάρις ἐς τί ποθέρπει.
Θρέψαι καὶ λυκιδεῖς, θρέψαι κύνας, ὥς τυ φάγωντι.

Λάκων.

Καὶ πόκ' ἐγὼ παρὰ τεῦ τι μαθὼν καλὸν ἢ καὶ ἀκούσας

Μέμναμ'

© Centre d'Études Supérieures de la Renaissance - Tours

Μέμναμ', ὦ φθονερὸν τὺ καὶ ἀπρεπὲς ἀνδρίον αὔτως;

Κομάτας.

Ἀνίκ' ἐπύγιζόν τυ, τὺ δ' ἄλγεες. αἱ δὲ χίμαιραι
Αἵδε κατεβληχῶντο, καὶ ὁ τράγος αὐτὰς ἐτρύπη.

Λάκων.

Μὴ βάθιον τήνω πυγίσματος ὗβε ταφείης.
Ἀλλὰ γὰρ ἕρφ' ὧδ', ἕρπε, καὶ ὕστερα βωκολιαξεῖς.

Κομάτας.

Οὐχ ἑρψῶ τηνεί· τουτῷ δρύες, ὧδε κύπερος,
Ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι·
Ἔνθ' ὕδατος ψυχρῶ κρᾶναι δύο· ταὶ δ' ἐπὶ δένδρῳ
Ὄρνιχες λαλαγεῦντι· καὶ ἁ σκιὰ οὐδὲν ὁμοία
Τᾷ παρὰ τίν· βάλλει δὲ καὶ ἁ πίτυς ὑψόθε κώνους.

Λάκων.

Ἦ μὰν ἀρνακίδας τε καὶ εἴρια τᾷδε πατησεῖς,
Αἴκ' ἔνθῃς, ὕπνῳ μαλακώτερα. ταὶ δὲ τραγεῖαι
Ταὶ παρὰ τίν, ὄσδοντι κακώτερον ἢ τύπερ ὄσδεις.
Στασῶ δὲ κρητῆρα μέγαν λευκοῖο γάλακτος
Ταῖς νύμφαις· στασῶ δὲ καὶ ἁδέος ἄλλον ἐλαίω.

Κομάτας.

Αἰ δέ κε καὶ τὺ μόλῃς, ἁπαλὰν πτέριν ὧδε πατησεῖς,
Καὶ γλάχων' ἀνθεῦσαν. ὑπεσσεῖται δὲ χιμαιρᾶν
Δέρματα, τᾶν παρὰ τὶν μαλακώτερα τετράκις ἀρνῶν.
Στασῶ δ' ὀκτὼ μὲν γαυλὼς τῷ Πανὶ γάλακτος,
Ὀκτὼ δὲ σκαφίδας μέλιτος πλέα κηρί' ἐχοίσας.

Λάκων.

Αὐτόθε μοι ποτέρισδε, καὶ αὐτόθι βωκολιάσδευ·
Τὰν σαυτῶ πατέων, ἔχε τὰς δρύας. ἀλλὰ τίς ἄμμε

Τίς

© Centre d'Études Supérieures de la Renaissance - Tours

Quod meminerim, o tu inuide, & prorsus inepte homuncio?

*Comatas.*

Tunc cum pedicabam te, & tu dolebas. capellæ autem
Istæ balabant; caper v. eas premebat.

*Lacon.*

Ne profundius illo pedio, o gibbose, sepeliaris:
Sed huc adsis, veni, & postremo cantabis.

*Comatas.*

Non ibo illuc: hic quercus, hic cyperus est,
Hic suauiter susurrant apes circum aluearia
Hic & aquæ gelidæ fontes duo sunt, ipsæq. super arborem
Volucres garriunt, & vmbra nihil similis est
Illi quę apud te est. Deiicit v. & pinus superne nuces.

*Lacon.*

Atqui pelles agninas, & lanam hic calcabis,
Si veneris, somno molliorem: pelles v. caprinæ
Quæ apud te sunt, peius olent quam tu oles.
Statuam v. cratera magnum albi lactis,
Nymphis, statuam & alium dulcis olei.

*Comatas.*

Si autem tu veneris, teneram filicem hic calcabis,
Et pulegium florens: substernentur vero caprarum
Pelles molliores quadruplo quam quæ apud te sunt agninæ.
Statuam vero octo quidem alueos lactis Pani,
Et octo cymbia mellis plenos fauos habentia.

*Lacon.*

Istinc mecũ certa, & isthic Bucolicum carmẽ canes
Propriũ locum calcans, tene quercus. verũ quis nos

Quis

© Centre d'Études Supérieures de la Renaissance - Tours

Quis iudicabit? Vtinam iam huc veniat boum pastor
Lycopas.

*Comatas.*

Nihil ego illo opus habeo. Sed virum,
Si vis, lignorum sectorem vocemus, qui ericas
Illas apud te findit. Est vero Morson.

*Lacon.*

Vocemus. *C.* Tu accerse eum. *L.* Age hospes paulisper audi,
Huc accedens. Nos enim certamus, vter melior
Bucolicus cantor sit. Tu vero care Morson, neq. me
Per gratiam iudices *vincere*, neque porrò istum iuues.

*Comates.*

Ita per Nymphas, ita Morson, neque Comatæ
Plus iuris tribuas, nec etiam Laconi huic gratificeris.
Istud vero ouile Thurii est Sybaritæ,
Eumaræ vero Sybaritæ caprarum gregem amice
hic vides.

*Lacon.*

Num te rogabat aliquis, per Iouem, an Sybaritæ,
An meus grex sit, improbissime? quam garrulus es.

*Comatas.*

Heus bone vir, ego quæ vera sunt dico,
Neque arroganter glorior: tu v. nimium mordax es.

*Lacon.*

Dic age si quid dicendum habes, & hospitem in vrbem rursum
Viuum dimitte. o Apollo, sane dicax es Comata.

*Comatas.*

Musæ me multo magis amant, quam cantorem
Daphnidem. ego v. ipsis nuper capras duas mactaui.

La-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Τίς κρινεῖ; αἴθ' ἔνθοι ποθ' ὁ βωκόλος ὧδε Λυκώπας.

Κομάτας.

Οὐδὲν ἐγὼ τήνω ποθιδεύομαι· ἀλλὰ τὸν ἄνδρα,
Αἰ λῇς, τὸν δρυτόμον βωστρήσομες, ὃς τὰς ἐρείκας
Τήνας τὰς παρὰ τὶν ξυλοχίσδεται· ἐντὶ δὲ Μόρσων.
Λάκ. Βωστρέομες. Κομ. Τὺ κάλειν. Λάκ. Ἴθ' ὦ ξένε, μικκὸν ἄκουσον
Τῆδ' ἐνθών. ἄμμες γὰρ ἐρίσδομες ὅστις ἀρείων
Βωκολιαστάς ἐστι. τὺ δ' ὦ φίλε μήτ' ἐμὲ Μόρσων
Ἐν χάριτι κρίνης, μήτ' ὦν τύγα τοῦτον ὀνάσῃς.

Κομάτας.

Ναὶ ποτὶ τᾶν νυμφᾶν, ναὶ Μόρσων, μήτε Κομάτᾳ
Τὸ πλέον ἰθύνῃς, μήτ' ὦν τύγα τῷδε χαρίξῃ.
Ἅδε τοι ἁ ποίμνα τῶ Θουρίω ἐστὶ Συβάρτα·
Εὐμάρα δὲ τὰς αἶγας ὁρῆς φίλε τῶ Συβαρίτα.

Λάκων.

Μή τύ τις ἠρώτα, ποττῶ Διὸς, αἴτε Συβάρτα,
Αἴτ' ἐμόν ἐστι κάκιστε τὸ ποίμνιον; ὡς λάλος ἐσσί.

Κομάτας.

Βέντισθ' οὗτος, ἐγὼ μὲν ἀλαθέα πάντ' ἀγορεύω,
Κοὐδὲν καυχέομαι· τὺ δ' ἄγαν φιλοκέρτομος ἐσσί.

Λάκων.

Εἶα λέγ', εἴ τι λέγεις· καὶ τὸν ξένον ἐς πόλιν αὖθις
Ζῶντ' ἄφες. ὦ Παιὰν, ἦ στωμύλος ἦσθα Κομάτα.

Κομάτας.

Ταὶ Μῶσαί με φιλεῦντι πολὺ πλέον ἢ τὸν ἀοιδὸν
Δάφνιν· ἐγὼ δ' αὐταῖς χιμάρως δύο πρᾶν ποκ' ἔθυσα.

Λά-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Λάκων.

Καὶ γὰρ ἐμ' ὡπόλλων φιλέει μέγα· καὶ καλὸν αὐτῷ
Κριὸν ἐγὼ βόσκω. τὰ δὲ κάρνεα καὶ δὴ ἐφέρπει.

Κομάτας.

Πλὰν δύο τὰς λοιπὰς διδυματόκος αἶγας ἀμέλγω·
Καί μ' ἁ παῖς ποθορεῦσα, Τάλαν, λέγει, αὐτὸς ἀμέλγεις;

Λάκων.

Φεῦ φεῦ, Λάκων τοι ταλάρως σχεδὸν εἴκατι πληροῖ
Τυρῶ, καὶ τὸν ἄναβον ἐν ἄνθεσι παῖδα μολύνει.

Κομάτας.

Βάλλει καὶ μάλοισι τὸν αἰπόλον ἁ Κλεαρίστα,
Τὰς αἶγας παρελῶντα, καὶ ἁδύ τι ποππυλιάσδει.

Λάκων.

Κἠμὲ γὰρ ὁ Κρατίδας τὸν ποιμένα λεῖος ὑπαντῶν
Ἐκμαίνει· λιπαρὰ δὲ παρ' αὐχένα σείετ' ἔθειρα.

Κομάτας.

Ἀλλ' οὐ σύμβλητ' ἐστὶ κυνόσβατος οὐδ' ἀνεμώνα
Πρὸς ῥόδα, τῶν ἄνθηρα παρ' αἱμασιαῖσι πεφύκει.

Λάκων.

Οὐδὲ γὰρ οὐδ' ἀκύλοις ὀρειμαλίδες· αἱ μὲν, ἔχοντι
Λεπτὸν ἀπὸ πρίνοιο λεπύριον· αἱ δὲ, μελιχραί.

Κομάτας.

Κἠγὼ μὲν δωσῶ τᾷ παρθένῳ αὐτίκα φάσσαν,
Ἐκ τᾶς ἀρκεύθω καθελών· τηνεὶ γὰρ ἐφίσδει.

Λάκων.

Ἀλλ' ἐγὼ ἐς χλαῖναν μαλακὸν πόκον, ὁππόκα πέξω
Τὰν οἶν τὰν πέλλαν, Κρατίδᾳ δωρήσομαι αὐτός.

Κομά-

© Centre d'Études Supérieures de la Renaissance - Tours

*Lacon.*

Etenim me Apollo valde amat. & pulchrum ipsi
Arietem ego pasco: nam Carnea *festa* iam imminet.

*Comatas.*

Præter duas, reliquas capras geminiperas mulgeo.
Et puella me aspiciēs, Ah miser, inqt, tu ipse mulges?

*Lacon.*

Ah ah, Lacon viginti ferme calathos implet
Caseo, & puerum impuberem in deliciis habet.

*Comatas.*

Petit & malis caprarium Clearista,
Capras prætcragentem, & suaue aliquid admurmurat.

*Lacon.*

Et me pastorem Cratidas imberbis occurrens
Furiat: nam splendida ei circa collum quatitur coma.

mihi

*Comatas.*

Sed non conferenda sunt rubus caninus & anemone
Cum rosis, quarum flores circa sepes nascuntur.

*Lacon.*

Neque enim neque cum glandibus montana poma: nam illa quidem habent
Tenuem ab ilice corticulam; hæc vero mellita sunt.

*Comatas.*

Et ego quidem mox puellæ dabo palumbum,
Ex iunipero abreptum: ibi enim incubat.

*Lacon.*

Ego vero ad vestem mollem lanam, cum tondebo
Ouem nigram, Cratidæ donabo ipse.



© Centre d'Études Supérieures de la Renaissance - Tours

*Comatas.*

Heus *discedite* ab oleastro capellæ: hic pascimini,
Ad decliuem hunc tumulum, vbi sunt myricæ.

*Lacon.*

Non a quercu tu Conare, tuq; Cynætha,
Hic pascemini versus ortum, quemadmodũ Phalarus?

*Comatas.*

Est mihi sinus e cupresso, est & crater
Opus Praxitelis: puellæ vero hæc adseruo.

*Lacon.*

Et nobis canis est custos gregis, qui lupos strangulat,
Hunc puero donabo, vt omnes feras persequatur.

*Comatas.*

Vos locustæ, quæ maceriam nostram transilire soletis,
Ne meas lædatis vites: sunt enim teneræ.

*Lacon.*

Cicadæ videte vt ego caprarium irrito:
Sic & vos scilicet irritatis messores.

*Comatas.*

Odi densicaudes vulpes, quæ *vites* Miconis
Semper frequentantes, vesperi *ex illis* vuas comedunt.

*Lacon.*

Etenim & ego odi scarabeos, qui Philondæ
Ficus abstumentes, sublimes feruntur.

*Comatas.*

An non meministi, quando ego te percussi, tuque dentes stringens,
Pulchre mouebas *te* & quercui hærebas illi?

Lacon.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Κομάτας.

Σίττ' ἀπὸ τᾶς κοτίνω ταὶ μηκάδες· ὧδε νέμεσθε,
Ὡς τὸ κάταντες τοῦτο γεώλοφον, ᾇ τε μυρῖκαι.

Λάκων.

Οὐκ ἀπὸ τᾶς δρυὸς οὗτος ὁ Κώναρος, ἅ τε Κιναίθα,
Τουτὶ βοσκησεῖσθε ποτ' ἀντολάς, ὡς ὁ Φάλαρος;

Κομάτας.

Ἔστι δέ μοι γαυλὸς κυπαρίσσινος, ἔστι δὲ κρητήρ,
Ἔργον Πραξιτέλους· τᾷ παιδὶ δὲ ταῦτα φυλάσσω.

Λάκων.

Χἀμῖν ἐστι κύων φιλοποίμνιος, ὃς λύκος ἄγχει·
Ὃν τῷ παιδὶ δίδωμι τὰ θηρία πάντα διώκειν.

Κομάτας.

Ἀκρίδες αἳ τὸν φραγμὸν ὑπερπαδῆτε τὸν ἁμόν,
Μή μευ λωβάσησθε τὰς ἀμπέλος· ἐντὶ γὰρ ἆβαι.

Λάκων.

Τοὶ τέττιγες ὁρῆτε τὸν αἰπόλον ὡς ἐρεθίσδω;
Οὕτω κ' ὔμμες θὴν ἐρεθίσδετε τὼς καλαμευτάς.

Κομάτας.

Μισέω τὰς δασυκέρκος ἀλώπεκας, αἳ τὰ Μίκωνος
Αἰεὶ φοιτῶσαι τὰ ποθέσπερα ῥαγίζοντι.

Λάκων.

Καὶ γὰρ ἐγὼ μισέω τὼς κανθάρος, οἳ τὰ Φιλώνδα
Σῦκα κατατρώγοντες, ὑπανέμιοι φορέονται.

Κομάτας.

Ἦ οὐ μέμνασ' ὅτ' ἐγών τυ κατήλασα, καὶ τὺ σεσαρὼς
Εὖ ποκα κιγκλίζευ, καὶ τᾶς δρυὸς εἴχεο τήνας;



© Centre d'Études Supérieures de la Renaissance - Tours

Λάκων.

Τοῦτο μὲν οὐ μέμναμ'· ὅκα μὰν ποκὰ τῆδε τὺ δάσας
Εὐμάχας ἐκάθηρε, καλῶς μάλα τοῦτό γ' ἴσαμι.

Κομάτας.

Ἤδη τις Μόρσων πικραίνεται· οὐχὶ παρῄσθευ;
Σκίλλας ἰὼν γραίας ἀπὸ σάματος αὐτίκα τίλλοις.

Λάκων.

Κἠγὼ μὰν κνίσδω Μόρσων τινά· καὶ τὺ δὲ λεύσσεις.
Ἐνθὼν τὰν κυκλάμινον ὄρυσσε νῦν ἐς τὸν Ἄλεντα.

Κομάτας.

Ἱμέρα ἀνθ' ὕδατος ῥείτω γάλα· καὶ τὺ δὲ Κρᾶθι
Οἴνῳ πορφύροις· τὰ δέ τ' οἴσυα καρπὸν ἐνείκαι.

Λάκων.

Ῥείτω χ' ἁ Συβαρῖτις ἐμὶν μέλι· καὶ τὸ ποτ' ὄρθρον
Ἁ παῖς ἀνθ' ὕδατος τὰν κάλπιδα κηρία βάψαι.

Κομάτας.

Ταὶ μὲν ἐμαὶ κύτισόν τε καὶ αἴγιλον αἶγες ἔδοντι,
Καὶ σχῖνον πατέοντι, καὶ ἐν κομάροισι κέονται.

Λάκων.

Ταῖσι δ' ἐμαῖς ὀΐεσσι πάρεστι μὲν ἁ μελίτεια
Φέρβεσθαι, πολλὸς δὲ καὶ ὡς ῥόδα κισσὸς ἐπανθεῖ.

Κομάτας.

Οὐκ ἔραμ' Ἀλκίππας, ὅτι με πρᾶν οὐκ ἐφίλασε
Τῶν ὤτων καθελοῖσ', ὅκα οἱ τὰν φάσσαν ἔδωκα.

Λάκων.

Ἀλλ' ἐγὼ Εὐμήδευς ἔραμαι μέγα· καὶ γὰρ ὅκ' αὐτῷ
Τὰν σύριγγ' ὤρεξα, καλόν τί με κάρτ' ἐφίλα-
σεν.

Κομά-

© Centre d'Études Supérieures de la Renaissance - Tours

*Lacon.*

Illud quidem non memini, verum quando te hic vinctum
Eumaras valde cecidit loris, id equidem probe noui.

*Comatas.*

Iam quispiam irritatur, o Morson: nonne sensisti?
Vade cito, & scillas veteres e sepulcro euelle.

*Lacon.*

Et ego quempiam pungo, Morson, tuq. id vides.
Profectus ad Halenta, inde cyclaminum effodias.

*Comatas.*

Himera pro aqua lacte fluat, tuque o Crathi,
Vino rubescas, sia vero iunci fructum ferant.

*Lacon.*

Fluat mihi & fons Sybaritis melle, atque mane
Puella pro aqua vrnam fauis intingat.

*Comatas.*

Meæ quidem capræ cytisum & ægilon comedunt,
Atque iuncum calcant, & inter arbuteas frondes cubant.

*Lacon.*

Ouibus vero meis adest apiastrum
Ad pascendum, & sicut rosæ copiosa hedera effloret.

*Comatas.*

Non amo Alcippen, quia me nuper non osculata est
Aures prehendens, cum ipsi palumbum donarem.

*Lacon.*

Sed ego Eumedem vehementer amo: nam cum ipsi
Fistulam porrigerem, admodum belle me osculatus est.



© Centre d'Études Supérieures de la Renaissance - Tours

*Comatas.*

Non fas est, o Lacon picas certare cum lusciniis,
Neque vpupas cum cycnis: tu v. o miser odiosus es.

*Morson.*

Iubeo ouium pastorem desinere. tibi vero Comata,
Donat Morson agnam: tu ergo sacrificans
Nymphis, Morsoni mox bellam carnem mittas.

*Comatas.*

Mittam per Pana. præ gaudio fremat totus hircorũ
Iam grex: & ego vide quam magnum hunc cachinnum nunc edam,
Contra pastorem Laconem, quod tandem iam
Agnum acquisiui: nunc vobis in cælum saliam.
Vos meæ cornigeræ capellæ bonum animum habete: cras enim vos
Omnes ego in Sybaritide fonte lauabo.
Heus tu albe, qui cornu petis, si quam aggredieris
Ex capellis, percutiam te, priusquam sacrificem
Nymphis agnum; sed ecce hic rursus *incipit*: Atqui fiam *ego*,
Nisi te percutiam, Melanthius pro Comata.

---

ARGVMENTVM IDYLLII
Sexti.

Damœtas & Daphnis æstate sub meridiem greges in vnũ locum compellunt, & alternis de Cyclope & Galatea nympha canunt. incipit itaque cantilenam Daphnis, sermonem tanquam ad Cyclopem dirigens. Damœtas vero respondet quasi sub persona Polyphemi. Res ipsa in Sicilia gesta fingitur. Alloquitur Poeta Aratum, cuius etiam meminit in Thalysiis, & alibi. Potest autem is esse qui Phænomena scripsit.

BVCO-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Κομάτας.

Οὐ θεμιτὸν Λάκων ποτ' ἀηδόνα κίσσας ἐρίσδεν,
οὐδ' ἔποπας κύκνοισι· τὺ δ' ὦ τάλαν ἐσσὶ φιλεχθής.

Μόρσων.

Παύσασθαι κέλομαι τὸν ποιμένα· τὶν δὲ Κομάτα
Δωρεῖται Μόρσων τὰν ἀμνίδα· καὶ τὺ δὲ θύσας
Ταῖς νύμφαις, Μόρσωνι καλὸν κρέας αὐτίκα πέμψον.

Κομάτας.

Πεμψῶ ναὶ τὸν Πᾶνα. Φριμάσσεο πᾶσα τραγίσκων
Νῦν ἀγέλα. κἠγὼ γὰρ ἴδ' ὡς μέγα τοῦτο καχαξῶ
Καττῶ Λάκωνος τῶ ποιμένος, ὅττι ποκ' ἤδη
Ανυσάμαν τὰν ἀμνόν· ἐς οὐρανὸν ὔμμιν ἀλεῦμαι.
Αἶγες ἐμαὶ θαρσεῖτε κερουχίδες· αὔριον ὔμμε
Πάσας ἐγὼ λουσῶ Συβαρίτιδος ἔνδοθι κράνας.
Οὗτος ὁ λευκίτας ὁ κορυπτίλος, εἴ τιν' ὀχευσεῖς
Τᾶν αἰγᾶν, φλασῶ τυ, πρὶν ἤ γ' ἐμὲ καλλιερῆσαι
Ταῖς νύμφαισι τὰν ἀμνόν· ὁ δ' αὖ πάλιν· ἀλλὰ γενοίμαν,
Αἰ μή τυ φλάσαιμι, Μελάνθιος ἀντὶ Κομάτα.

---

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ϛ' Εἰδυλλίου.

Δαμοίτας καὶ Δάφνις θέρους ὄντος μεσημβρίας εἰς ἓν τὰ θρέμματα συνελαύνουσι· καὶ ἀμοιβαίως τὴν περὶ Κύκλωπος καὶ Γαλατείας νύμφας ὑπόθεσιν ᾄδουσιν· ἄρχεται μὲν οὖν τῆς ᾠδῆς ὁ Δάφνις, ὡς πρὸς τὸν Κύκλωπα τὴν ἀπόδοσιν ποιούμενος· ὁ δὲ Δαμοίτας ἀποκρίνεται ὡς ἐκ προσώπου τοῦ Πολυφήμου δῆθεν. Τὰ πράγματα ἐν Σικελίᾳ· προσδιαλέγεται δὲ ὁ ποιητὴς Ἀράτῳ, οὗ καὶ μέμνηται ἐν τοῖς Θαλυσίοις, καὶ ἀλλαχοῦ. Δοκεῖ δὲ οὗτος εἶναι ὁ τῶν Φαινομένων ποιητής.



© Centre d'Études Supérieures de la Renaissance - Tours

# ΒΟΥΚΟΛΙΑΣΤΑΙ,
## Εἰδύλλιον ϛ΄.

ΔΑΜΟΙΤΑΣ καὶ ΔΑΦΝΙΣ.

Δαμοίτας καὶ Δάφνις ὁ βουκόλος εἰς ἕνα χῶρον
Τὰν ἀγέλαν ποκ' Ἄρατε συνάγαγον· ἧς δ' ὁ μὲν αὐτῶν
Πυῤῥὸς, ὁ δ' ἡμιγένειος. ἐπὶ κράναν δέ τιν' ἄμφω
Ἑσδόμενοι θέρεος μέσῳ ἄματι τοιάδ' ἄειδον.
Πρῶτος δ' ἄρξατο Δάφνις, ἐπεὶ καὶ πρῶτος ἔρισδεν.

Δάφνις.

Βάλλει τοι Πολύφαμε τὸ ποίμνιον ἁ Γαλάτεια
Μάλοισιν, δυσέρωτα τὸν αἰπόλον ἄνδρα καλεῦσα.
Καί τύ νιν οὐ ποθόρῆσθα τάλαν, τάλαν. ἀλλὰ κάθησαι
Ἁδέα συρίσδων. πάλιν ἄδ' (ἴδε) τὰν κύνα βάλλει,
Ἅ τοι τᾶν οἴων ἕπεται σκοπός· ἁ δὲ βαΰσδει
Εἰς ἅλα δερκομένα. τὰ δέ νιν καλὰ κύματα φαίνει
Ἅσυχα καχλάζοντα, ἐπ' αἰγιαλοῖο θέοισαν.
Φράζεο μὴ τᾶς παιδὸς ἐπὶ κνάμαισιν ὀρούσῃ
Ἐξ ἁλὸς ἐρχομένας, κατὰ δὲ χρόα καλὸν ἀμύξῃ.
Ἁ δὲ καὶ αὐτόθι τοι διαθρύπτεται, ὡς ἀπ' ἀκάνθας
Ταὶ κοπυραὶ χαῖται, τὸ καλὸν θέρος ἁνίκα φρύγει·
Καὶ φεύγει φιλέοντα, καὶ οὐ φιλέοντα διώκει·
Καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον. ἦ γὰρ ἔρωτι
Πολλάκις, ὦ Πολύφαμε, τὰ μὴ καλὰ καλὰ πέφανται.
Τῷ δ' ἔπι Δαμοίτας ἀνεβάλλετο, καὶ τάδ' ἄειδεν·

Δαμοίτας.

Εἶδον ναὶ τὸν Πᾶνα τὸ ποίμνιον ἁνίκ' ἔβαλλε,
Κοῦ μ' ἔλαθ', οὐ τὸν ἐμὸν τὸν ἕνα γλυκύν, ὧ ποθόρημι



© Centre d'Études Supérieures de la Renaissance - Tours

## BVCOLICI CANTORES, Idyllion sextum.

### DAMOETAS ET DAPHNIS.

Damœtas & Daphnis bubulcus in vnum locum
Gregem olim, o Arate, compulerunt. erat vero alter eorum
Rufus, alter semiberbis: ad fontẽ autem quendã ambo
Sedentes, medio die æstiuo, talia canebant.
Prior porro cœpit Daphnis, quoniam & prior prouocauerat.

*Daphnis.*

Petit tibi Polypheme gregem ouium Galatea
Pomis, amatorem difficilem caprarium virũ vocans.
Tu vero ipsam non aspicis, miser, miser; sed sedes
Suauiter fistula cantans. ecce illa iterum canẽ petit,
Quæ te sequitur custos ouium. ipsa vero latrat,
In mare prospectãs, illamq. pulchri fluctus ostendũt
Placide frementes, in litore currentem.
Vide ne canis puellæ in crura irruat,
Cum e mari egredietur, neue pulchrũ corpus laniet.
Illa vero ibi deliciatur, sicut ab acantho
Arida folia, quando pulchra æstas torret.
Et fugit amantem, & non amantem sectatur,
Et a linea *sacra* mouet calculum. certe enim amori
Sæpe, o Polypheme, quæ non pulchra sunt, ea pulchra videntur.

Post hunc Damœtas incepit, & hæc cecinit:

*Damœtas.*

Vidi per Pana ouium gregem cum peteret,
Nec me latuit, neque hunc meum vnicum dulcem oculum, quo vtinam videam

Vsque

© Centre d'Études Supérieures de la Renaissance - Tours

Vsq. ad finem Sed vates Telemus hostilia prædicés,
Hostilia ferat domum, vt suis liberis adseruet.
Sed & ipse ego pungens rursus non aspicio;
Sed dico me aliam quandam mulierem habere: ipsa vero audiens
Inuidet mihi, o Apollo, & tabescit, atque e mari
Furiosa prosilit, circumspectans ad antra & greges.
Iussi autem canem illi placide allatrare: etenim cū amarem
Ipsam, canis ganniebat, ad femora rostrū admouēs.
Cumque me sæpius id facere videbit, forte mittet
Nunciū: verum ego fores occludā, donec iurauerit,
Quod ipsa mihi velit sternere pulchrū lectū in hac [insula.
Neq. enim deformis sum, vt de me dicunt:
Certe nuper in mare inspexi; erat autē trāquillitas.
Et pulchra quidē mihi barba, pulchra vero hæc vna pupula
(Vt a me iudicabatur) videbatur. Dentium porro
Nitorem candidiorem, quam Parius lapis est, mare ostendebat.
Ne v. fascino læderer, ter ipse in gremiū meū inspui.
Nam id me anus Cotyttaris docuit,
Quæ nuper messorib. apud Hippocoontē accinebat.
Hęc cū dixisset, Daphnidē Damœtas exosculat' est.
Et ille quidē huic fistulā, hic v. illi pulcrā tibiā dedit.
Tibia canebat Damœtas, fistula v. canebat Daphnis
Et vitulę statim saltabāt in molli gramine. [bubulc':
Vicit tamen neuter, sed erant inuicti.

---

## ARGVMENTVM IDYLLII septimi.

Peregre agens Theocritus in insula Co, cum ad Ptolemęū in Alexādriā ꝓficisceretur, amic' fact' est Phrasidamo & Antigeni Lyco-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἐς τέλος. αὐτὰρ ὁ μάντις ὁ Τήλεμος ἔχθρ' ἀγορεύων,
Ἐχθρὰ φέροι ποτὶ οἶκον, ὅπως τεκέεσσι φυλάξῃ.
Ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίσδων πάλιν, οὐ ποθόρημι,
Ἀλλ' ἄλλαν τινὰ φαμὶ γυναῖκ' ἔχεν· ἁ δ' ἀίοισα,
Ζαλοῖ μ', ὦ Παιάν, καὶ τάκεται· ἐκ δὲ θαλάσσας
Οἰστρεῖ παπταίνοισα ποτ' ἄντρα τε καὶ ποτὶ ποίμνας.
Σίγα δ' ὑλακτεῖν νιν καὶ τᾷ κυνί· καὶ γὰρ ὅκ' ἤρων
Αὐτᾶς, ἐκνυζῆτο ποτ' ἰσχία ῥύγχος ἔχοισα.
Ταῦτα δ' ἴσως ἐσορῶσα ποιεῦσαν με πολλάκι, πεμψεῖ
Ἄγγελον. αὐτὰρ ἐγὼ κλασῶ θύρας, ἔστε κ' ὀμόσσῃ
Αὐτά μοι στορέσειν καλὰ δέμνια τᾶσδ' ἐπὶ νάσω.
Καὶ γάρ θην οὐδ' εἶδος ἔχω κακόν, ὥς με λέγοντι.
Ἦ γὰρ πρᾶν ἐς πόντον ἐσέβλεπον (ἦς δὲ γαλάνα)
Καὶ καλὰ μὲν τὰ γένεια, καλὰ δ' ἐμὶν ἁ μία κώρα,
(Ὡς παρ' ἐμὶν κέκριται) κατεφαίνετο· τῶν δέ τ' ὀδόντων
Λευκοτέραν αὐγὰν Παρίας ὑπέφαινε λίθοιο.
Ὡς μὴ βασκανθῶ δέ, τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον.
Ταῦτα γὰρ ἁ γραῖα με Κοτυτταρὶς ἐξεδίδαξεν,
Ἃ πρᾶν ἀμώντεσσι παρ' Ἱπποκόωντι ποταύλει.
Τόσσ' εἰπών, τὸν Δάφνιν ὁ Δαμοίτας ἐφίλασε·
Χὠ μὲν τῷ σύριγγ'· ὁ δὲ τῷ, καλὸν αὐλὸν ἔδωκεν.
Αὔλει Δαμοίτας, σύρισδε δὲ Δάφνις ὁ βούτας·
Ὠρχεῦντ' ἐν μαλακᾷ ταὶ πόρτιες αὐτίκα ποίᾳ.
Νίκη μὰν οὐδ' ἄλλος, ἀνάσσατοι δ' ἐγένοντο.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ζ' Εἰδυλλίου.

Ἐπιδημήσας ὁ Θεόκριτος ἐν Κῷ, ὅτε πρὸς Πτολεμαῖον εἰς Ἀλεξάνδρειαν ἀπῄει, φίλος γίνεται Φρασιδάμῳ καὶ Ἀντιγένει,

Λυκώ…

© Centre d'Études Supérieures de la Renaissance - Tours

Λυκωπέως υἱοῖς· καὶ κληθεὶς ὑπ' αὐτῶν εἰς ἀγρὸν ἐπὶ θαλύσια Δήμητρος, ἄπεισι μετ' Εὐκρίτου καὶ Ἀμύντου. Ἐντυγχάνει δὲ καθ' ὁδὸν Λυκίδᾳ τῷ Κυδωνιάτῃ ἐκ Κρήτης, καὶ ἀλλήλοις ὁμιλοῦντες διεξέρχονται τοὺς ἑαυτῶν ἔρωτας. Ἔστι μὲν οὖν τοῦτο τὸ Εἰδύλλιον ὅλως διηγηματικόν.

## ΘΑΛΥΣΙΑ, ἢ ΕΑΡΙΝΗ ΟΔΟΙΠΟΡΙΑ, Εἰδύλλιον ζ.

Ἦς χρόνος ἁνίκ' ἐγώ τε καὶ Εὔκριτος ἐς τὸν Ἄλεντα
Εἵρπομες ἐκ πόλιος· σὺν καὶ τρίτος ἄμμιν Ἀμύντας·
Τᾷ Δηοῖ γὰρ ἔτευχε θαλύσια ὁ Φρασίδαμος
Κ' Ἀντιγένης δύο τέκνα Λυκωπέος· εἴ τι περ ἐσθλὸν
Χαῶν τῶν ἔτ' ἄνωθεν, ἀπὸ Κλυτίας τε καὶ αὐτῶ
Χάλκωνος, Βούρειαν ὃς ἐκ ποδὸς ἄνυε κράναν,
Εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ· ταὶ δὲ παρ' αὐτὰν
Αἴγειροι πτελέαι τε ἐΰσκιον ἄλσος ἔφαινον,
Χλωροῖσιν πετάλοισι κατηρεφέες κομόωσαι.
Κοὔπω τὰν μεσάταν ὁδὸν ἄνυμες, οὐδὲ τὸ σᾶμα
Ἁμῖν τῶ Βρασίλα κατεφαίνετο· καί τιν' ὁδίταν
Ἐσθλὸν σὺν Μοίσαισι Κυδωνικὸν εὕρομες ἄνδρα,
Ὤνομα μὲν Λυκίδαν, ἦς δ' αἰπόλος· οὐδέ κέ τίς μιν
Ἠγνοίησεν ἰδών, ἐπεὶ αἰπόλῳ ἔξοχ' ἐῴκει.
Ἐκ μὲν γὰρ λασίοιο δασύτριχος εἶχε τράγοιο
Κνακὸν δέρμ' ὤμοισι, νέας ταμίσοιο ποτόσδον·
Ἀμφὶ δέ οἱ στήθεσσι γέρων ἐσφίγγετο πέπλος
Ζωστῆρι πλακερῷ· ῥοικὰν δ' ἔχεν ἀγριελαίω
Δεξιτερᾷ κορύναν· καί μ' ἀτρέμας εἶπε σεσαρὼς
Ὄμματι μειδιόωντι, (γέλως δέ οἱ εἴχετο χείλευς)
Σιμιχίδα, πᾷ δὴ τὺ μεσαμέριον πόδας ἕλκεις;

Ἀνίκα

© Centre d'Études Supérieures de la Renaissance - Tours

Lycopei filiis; vocatusque ab illis rus ad Thalysia sacra Cereris, abit eo cum Eucrito & Amynta. Incidit autem in itinere in Lycidam Cydoniatam ex Creta, & mutuo sermone suos ipsorum amores inter se recensent. Continet igitur hoc Idyllion meram rei gestę narrationem.

## THALYSIA, seu VERNUM ITER, Idyllion septimum.

Tempus erat, cum ego & Eucritus ad Halenta
Ibamus ex urbe, & tertius nobiscum erat Amyntas.
Nam Cereri faciebant Thalysia, Phrasidamus
Et Antigenes, duo filii Lycopei: si quid boni restat
Adhuc ex antiquis illis *nobilib.* inde a Clytia, atque ipso
Chalcone, qui Buream fontem ab imo confecit
Bene adnixus ad petram genu. natæ vero circa eum *fontem*
Populi ulmique umbrosum nemus efficiebant:
Viridibus foliis tectæ frondentes.
Necdũ v. mediã viam emẽsi eramus, & nondũ sepulcrum
Brasilæ nobis apparebat, cum in quendam viatorẽ
Cydoniũ virum bonum, & Musis dilectũ, incidim⁹.
Nomen erat Lycidas, pastor vero caprarius erat: neque aliquis ipsum
Ignorasset aspiciẽs; nã caprario admodũ similis erat.
Ex hirsuto enim & villoso exuuio hirci habebat
Fuluã pellẽ humeris indutã. recẽs coagulũ adhuc redolẽtẽ:
Circa pect⁹ v. vetustũ palliũ illi adstrictũ erat
Cingulo textili, curuamq; ferebat ex oleastro
Dextra manu clauã: & placide ridens me appellauit,
Oculo arridenti (nam risus illi hærebat in labris:)
Simichida, quo tu nunc in meridie pedes trahis?

Quum

© Centre d'Études Supérieures de la Renaissance - Tours

Quum & lacertus sub sepibus dormit,
Neque cristatæ cassitæ vagantur.
An vocatus ad cœnā festinas? aut in alicui' ex ciuib'
Torcular insilis? nam te pedibus concitato,
Omnes calculi offensi ad soleas tinniunt.
Illi ego respondi: Care Lycida, omnes te dicunt
Esse eximium fistulatorem, inter & pastores
Et messores: quod magna lætitia animum afficit
Nostrum; etsi, vt mea fert sententia, te æquipararē
Spero. Iter vero hoc nobis est ad Thalysia: sane enim amici
Viri epulum parant pulchræ Cereri,
Opum primitias offerentes. nam ipsis valde pingui mensura
Dea frumento compleuit horreum.
Sed age (quoniā communis hæc via est, communis & dies)
Canamus carmē Bucolicū: forte alter alterū iuuerit.
Nā & ego Musarum facūdum os *sum*; meque dicunt
Omnes cantorem optimum esse: sed ego non facile illis credo.
Non per terrā. Nondum enim, meo iudicio, neq. p̄stantē
Sicelidam Samium vinco, neque Philetam,
Cātādo: sed velut rana quędā cōtra cicadas, cōtēdo.
Sic dixit dedita opera. Caprarius autem cū suauiter arrisisset,
Hoc, inquit, tibi pedū donabo. namque es
Totus reuera germen diuinitus factum.
Nam & fabrum valde odi, qui conatur dōtis
Extruere domū tā altā, quā est vertex mōtis Orome-
Et Musarum aues, quæcunque contra Chiū vatem,
Ex aduerso stridentes, incassum laborant. men,
Sed age, quāprimū incipiamus canere Bucolicū car-
Simi-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἁνίκα δὴ καὶ σαῦρος ἐφ' αἱμασιαῖσι καθεύδει,
Οὐδ' ἐπιτυμβίδιοι κορυδαλίδες ἠλαίνοντι.
Ἦ μετὰ δαῖτα κλητὸς ἐπείγεαι; ἤ τινος ἀστῶν
Λανὸν ἐπιθρώσκεις; ὥς τευ ποσὶ νεισσομένοιο
Πᾶσα λίθος πταίοισα ποτ' ἀρβυλίδεσσιν ἀείδει.
Τὸν δ' ἐγὼ ἀμείφθην, Λυκίδα φίλε, φαντί τυ πάντες
Ἔμμεν συρικτὰν μέγ' ὑπείροχον ἔν τε νομεῦσιν,
Ἔν τ' ἀμητήρεσσι· τὸ δὴ μάλα θυμὸν ἰαίνει
Ἁμέτερον· καί τοι, κατ' ἐμὸν νόον, ἰσοφαρίσδεν
Ἔλπομαι· ἁ δ' ὁδὸς ἅδε θαλυσιάς· ἦ γὰρ ἑταῖροι
Ἀνέρες εὐπέπλῳ Δαμάτερι δαῖτα τελεῦντι,
Ὄλβω ἀπαρχόμενοι. μάλα γάρ σφισι πίονι μέτρῳ
Ἁ δαίμων εὔκριθον ἀνεπλήρωσεν ἀλωάν.
Ἀλλ' ἄγε δή, (ξυνὰ γὰρ ὁδός, ξυνὰ δὲ καὶ ἀώς)
Βουκολιασδώμεσθα· τάχ' ὥτερος ἄλλον ὀνασεῖ.
Καὶ γὰρ ἐγὼ Μοισᾶν καπυρὸν στόμα· κἠμὲ λέγοντι
Πάντες ἀοιδὸν ἄριστον· ἐγὼ δέ τις οὐ ταχυπειθής·
Οὐ Δᾶν· οὐ γάρ πω κατ' ἐμὸν νόον, οὔτε τὸν ἐσθλὸν
Σικελίδαν νίκημι τὸν ἐκ Σάμω, οὔτε Φιλητᾶν,
Ἀείδων· βάτραχος δέ ποτ' ἀκρίδας ὥς τις ἐρίσδω.
Ὣς ἐφάμαν ἐπίταδες. ὁ δ' αἰπόλος, ἁδὺ γελάξας,
Τάν τοι, ἔφα, κορύναν δωρήσομαι, οὕνεκεν ἐσσὶ
Πᾶν ἐπ' ἀλαθείᾳ πεπλασμένον ἐκ Διὸς ἔρνος.
Ὥς μοι καὶ τέκτων μέγ' ἀπέχθεται ὅστις ἐρευνῇ
Ἶσον ὄρευς κορυφᾷ τελέσαι δόμον Ὠρομέδοντος,
Καὶ Μοισᾶν ὄρνιχες, ὅσοι ποτὶ Χῖον ἀοιδὸν
Ἀντία κοκκύζοντες, ἐτώσια μοχθίζοντι.
Ἀλλ' ἄγε, βουκολικᾶς ταχέως ἀρχώμεθ' ἀοιδᾶς,

Σιμι-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Σιμιχίδα· κἠγὼ μὲν, ὅρη φίλος, εἴ τοι ἀρέσκει
Τοῦθ' ὅτι πρᾶν ἐν ὄρει τὸ μελύδριον ἐξεπόνασα.
Ἔσσεται Ἀγεάνακτι καλὸς πλόος ἐς Μιτυλάναν,
Χὤταν ἐφ' ἑσπερίοις ἐρίφοις νότος ὑγρὰ διώκῃ
Κύματα, κ' Ὠρίων ὅτ' ἐπ' Ὠκεανῷ πόδας ἴσχῃ,
Αἴκεν τὸν Λυκίδαν ὀπτεύμενον ἐξ Ἀφροδίτας
Ῥύσηται· θερμὸς γὰρ ἔρως αὐτῷ με καταίθει.
Χἀλκυόνες στορεσεῦντι τὰ κύματα, τάν τε θάλασσαν,
Τόν τε νότον, τόν τ' εὖρον, ὃς ἔσχατα φυκία κινεῖ·
Ἀλκυόνες, γλαυκαῖς Νηρηίσι ταί τε μάλιστα
Ὀρνίχων ἐφίλαθεν, ὅσαις τέ περ ἐξ ἁλὸς ἄγρα.
Ἀγεάνακτι πλόον διζημένῳ ἐς Μιτυλάναν,
Ὥρια πάντα γένοιτο, καὶ εὔπλοον ὅρμον ἵκοιτο.
Κἠγὼ τῆνο κατ' ἆμαρ, ἀνήθινον ἢ ῥοδόεντα,
Ἢ καὶ λευκοΐων στέφανον περὶ κρατὶ φυλάσσων,
Τὸν Πτελεατικὸν οἶνον ἀπὸ κρητῆρος ἀφυξῶ,
Πὰρ πυρὶ κεκλιμένος. κύαμον δέ τις ἐν πυρὶ φρυξεῖ,
Χἀ στιβὰς ἐσσεῖται πεπυκασμένα ἔστ' ἐπὶ πᾶχυν
Κνύζα τ' ἀσφοδέλῳ τε πολυγνάμπτῳ τε σελίνῳ.
Καὶ πίομαι μαλακῶς, μεμνημένος Ἀγεάνακτος,
Αὐταῖσι κυλίκεσσι καὶ ἐς τρύγα χεῖλος ἐρείδων.
Αὐλησεῦντι δέ μοι δύο ποιμένες· εἷς μὲν, Ἀχαρνεύς·
Εἷς δὲ, Λυκωπίτας· ὁ δὲ Τίτυρος ἐγγύθεν ᾀσεῖ,
Ὥς ποκα τᾶς Ξενέας ἠράσσατο Δάφνις ὁ βούτας,
Χὡς ὄρος ἀμφεπολεῖτο, καὶ ὡς δρύες αὐτὸν ἐθρήνευν,
Ἱμέρα αἵτε φύοντι παρ' ὄχθαισιν ποταμοῖο·
Εὖτε χιὼν ὥς τις κατετάκετο μακρὸν ὑφ' Αἷμον,
Ἢ Ἄθω, ἢ Ῥοδόπαν, ἢ Καύκασον ἐσχατόεντα.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Simichida: atq. ego quidem *canam* (vide quæso num tibi placeat)

Hoc q nuper in mõte breue carmẽ meditatus sum:
Vtinã sit Ageanacti felix nauigatio in Mitylenen:
Etiã tũc cũ sub occiduis hædis Not⁹ humidos vrget
Fluctus, cumque Orion in Oceano pedes sistit,
S Lycidam tostum ab amore
Liberauerit: nam ardens illius amor me vrit.
Et Halcyones sternent fluctus & mare,
Atq. Notũ, atq; Eurum, qui extremas algas mouet:
Halcyones, quæ a glaucis Nereidibus maxime
Inter aues diliguntur, quæcunque e mari victitant.
Vtinam Ageanacti nauiganti in Mitylenam,
Omnia trãquilla sint, vt in cõmodũ portũ pueniat:
Egoque illo die anethinam vel rosaceam,
Aut ex albis violis coronam in capite gestans,
Vinum in Ptelea natum e cratere hauriam,
Ad ignẽ recũbans, interea in igne aliquis fabas torrebit,
Et thorus densatus erit ad cubitum vsque
Cnyza, asphodelo, & flexibili apio:
Et bibam suauiter, memor Ageanactis,
Ipsis calicibus vsque ad feces labrum infigens.
Tibiis vero cantabunt mihi duo pastores, alter Acharniensis,
Alter vero Lycopitas. & Tityrus prope accinet,
Quomodo olim Xeneã amauit Daphnis bubulcus;
Et quomodo per montem oberrauit, & quomodo quercus ipsum luxerunt
Quæ nascuntur circa ripas fluuii Himeræ,
Quũ ille velut nix contabescebat in excelso Hęmo,
Vel in Atho, vel Rhodope, vel in extremo Caucaso.

E Can-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Cantabitque quomodo olim *inclusum* exceperit pastorem ampla arca
Viuum, ob malam impietatem heri:
Et quomodo ipsum simę aluerunt ex pratis veniẽtes
In cedrum dulcem, mollibus floribus, apes;
Eo quod illi Musa dulce nectar in os infuderat.
O beate Comata, tibi hæc iucunda acciderunt:
Et tu in arcam inclusus fuisti, atque tu apum
Fauis pastus totum annum exegisti.
Vtinã meo tempore inter viuos fuisses numeratus.
Tibi enim pascerem in mõtibus pulchras capellas,
Vocẽ tuam audiens: tu v. sub quercu vel pinu arbore
Suauiter canens recubares diuine Comata.
Ille hæc locutus desiit. Post quem vicissim
Ego talia dixi, Care Lycida, multa quidem alia
Nymphæ me quoque docuerunt, cum in montibus boues pascerem,
Bona, quæ forte ad Iouis thronum fama pertulit.
Hoc vero ex omnib. maxime eximium est, quod tui honoris causa
Cantabo. sed ausculta, quandoquidẽ Musis carus es:
Simichidæ Amores sternutauerunt: nam miser
Tam amat Myrtonem, quam capræ ver amant.
Aratus vero qui illi viro omnino carissimus est,
Pueri sub visceríb. desiderio tenetur. Nouit Aristis,
Vir valde bonus Aristis: quem ne ipse quidẽ canentẽ
Phœbus cithara iuxta tripodem auersetur:
Is nouit, quam grauiter pueri amore sub ossibus vritur Aratus.
Eũ igitur, o Pan, qui Homoles amœnos cãpos tenes,
Inuocatum in illius caras manus sistas:
Siue is tener Philinus est, seu quispiam alius.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Αἴσει δ' ὥς ποκ' ἔδεκτο τὸν αἰπόλον εὐρέα λάρναξ
Ζωὸν ἐόντα, κακῇσιν ἀτασθαλίῃσιν ἄνακτος·
Ὥς τέ νιν αἱ σιμαὶ λειμωνόθε φέρβον ἰοῖσαι
Κέδρον ἐς ἀδεῖαν μαλακοῖς ἄνθεσσι μέλισσαι·
Οὕνεκά οἱ γλυκὺ μοῖσα κατὰ στόματος χέε νέκταρ.
Ὦ μακαριστὲ Κομάτα, τὺ θὴν τάδε τερπνὰ πεπόνθης,
Καὶ τὺ κατεκλάσθης ἐς λάρνακα, καὶ τὺ μελισσᾶν
Κηρία φερβόμενος, ἔτος ὥριον ἐξετέλεσσας.
Αἴθ' ἐπ' ἐμεῦ ζωοῖς ἐναρίθμιος ὤφελες ἦμες,
Ὥς τοι ἐγὼν ἐνόμευον ἀν' ὤρεα τὰς καλὰς αἶγας,
Φωνᾶς εἰσαΐων· τὺ δ' ὑπὸ δρυσὶν ἢ ὑπὸ πεύκαις
Ἁδὺ μελισδόμενος κατεκέκλισο θεῖε Κομάτα.
Χὼ μὲν τόσσ' εἰπὼν, ἀπεπαύσατο· τὸν δὲ μέτ' αὖθις
Κἠγὼν τοῖ' ἔφαμαν, Λυκίδα φίλε, πολλὰ μὲν ἄλλα
Νύμφαι κἠμὲ δίδαξαν ἀν' ὤρεα βουκολέοντα
Ἐσθλὰ τά που καὶ Ζανὸς ἐπὶ θρόνον ἄγαγε φάμα·
Ἀλλὰ τὸ γ' ἐκ πάντων μέγ' ὑπείροχον, ᾧ τὺ γεραίρειν
Ἀρξεῦμ'. ἀλλ' ὑπάκουσον, ἐπεὶ φίλος ἔπλεο μοίσαις·
Σιμιχίδᾳ μὲν Ἔρωτες ἐπέπταρον· ἦ γὰρ ὁ δειλὸς
Τόσσον ἐρῇ Μυρτοῦς ὅσον εἴαρος αἶγες ἔρανται.
Ὥρατος δ' ὁ τὰ πάντα φιλαίτατος ἀνέρι τήνῳ,
Παιδὸς ὑπὸ σπλάγχνοισιν ἔχει πόθον. οἶδεν Ἄριστις,
Ἐσθλὸς ἀνὴρ μέγ' ἄριστος, ὃν οὐδέ κεν αὐτὸς ἀείδειν
Φοῖβος σὺν φόρμιγγι παρὰ τριπόδεσσι μεγαίροι.
Ὡς ἐκ παιδὸς Ἄρατος ὑπ' ὀστέον αἴθετ' ἔρωτι.
Τόν μοι Πὰν, Ὁμόλας ἐρατὸν πέδον ὅστε λέλογχας,
Ἄκλητον τήνοιο φίλας ἐς χεῖρας ἐρείσαις,
Εἴτ' ἔστ' ἄρ' ὁ Φιλῖνος ὁ μαλθακὸς, εἴτε τις ἄλλος.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Κἢν μὲν ταῦθ' ἔρδοις ὦ Πὰν φίλε, μή τύ τι παῖδες
Ἀρκαδικοὶ σκίλλαισιν ὑπὸ πλευράς τε καὶ ὤμους
Τανίκα μαςίσδοιεν ὅτε κρέα τυτθὰ παρείη·
Εἰ δ' ἄλλως νεύσαις, κατὰ μὲν χρόα πάντ' ὀνύχεσσι
Δακνόμενος κνάσαιο, καὶ ἐν κνίδαισι καθεύδοις.
Εἴης δ' Ἠδωνῶν μὲν ἐν οὔρεσι χείματι μέσσῳ,
Ἕβρον πὰρ ποταμὸν τετραμμένος, ἐγγύθεν ἄρκτω·
Ἐν δὲ θέρει πυμάτοισι παρ' Αἰθιόπεσσι νομεύοις,
Πέτρᾳ ὑπὸ Βλεμύων, ὅθεν οὐκέτι Νεῖλος ὁρατός.
Ὕμμες δ' Ὑετίδος καὶ Βυβλίδος ἁδὺ λιπόντες
Νᾶμα, καὶ οἰκεῦντες ξανθᾶς ἕδος αἰπὺ Διώνας.
Ὦ μάλοισιν Ἔρωτες ἐρευθομένοισιν ὁμοῖοι,
Βάλλετέ μοι τόξοισι τὸν ἱμερόεντα Φιλῖνον,
Βάλλετ'· ἐπεὶ τὸν ξεῖνον ὁ δύσμορος οὐκ ἐλεεῖ μευ·
Καὶ δὴ μὰν ἀπίοιο πεπαίτερος· αἱ δὲ γυναῖκες
Αἰαῖ, φαντί, Φιλῖνε, τό τοι καλὸν ἄνθος ἀπορρεῖ.
Μηκέτι τοι φρουρῶμες ἐπὶ προθύροισιν Ἄρατε,
Μηδὲ πόδας τρίβωμες· ὁ δ' ὄρθριος ἄλλον ἀλέκτωρ
Κοκκύσδων νάρκαισιν ἀνιηρῇσι διδοίη·
Εἷς δ' ἀπὸ τᾶσδε φέριστε Μόλων ἄγχοιτο παλαίστρας·
Ἄμμιν δ' ἁσυχία τε μέλοι, γραία τε παρείη,
Ἅτις ἐπιφθύσδοισα τὰ μὴ καλὰ νόσφιν ἐρύκοι.
Τόσσ' ἐφάμαν· ὁ δέ μοι τὸ λαγωβόλον, ἁδὺ γελάξας,
Ὡς πάρος, ἐκ Μοισᾶν ξεινήιον ὤπασεν ἦμεν.
Χὼ μὲν ἀποκλίνας ἐπ' ἀριστερά, τὰν ἐπὶ Πύξας
Εἷρφ' ὁδόν· αὐτὰρ ἐγών τε καὶ Εὔκριτος ἐς Φρασιδάμω
Στραφθέντες, χὠ καλὸς Ἀμύντιχος, ἔν τ αθείαις
Ἁδείας σχοίνοιο χαμευνίσιν ἐκλίνθημες, τε β

Ἐν

© Centre d'Études Supérieures de la Renaissance - Tours

Et si id facias, o care Pan, non te pueri
Arcadici scillis sub latera & humeros
Tunc flagellent, cum parum carnium adfuerit.
Sin vero aliter annueris, tūc per totū corp' vnguib'
Laceratus pungaris, atque in vrticis dormias:
Degas vero Edonorum in montibus media hyeme,
Ad Hebrum fluuium conuersus prope Arcton:
In æstate vero apud extremos Æthiopas pascas
Sub scopulo Blemyarum, vnde Nilus non amplius
videri potest.
Vosque dulci relicta Hyetidos & Byblidis
Vnda, qui habitatis in excelsa sede flauæ Diones,
O Cupidines pomis rubentibus similes,
Iacite mihi arcu amabilem Philinum,
Iacite: quādo ille infelix nō miseretur mei hospitis,
Quamuis piro ille mollior est: mulieres autem,
Hei hei, Philine, dicunt, hic pulcher formæ flos tibi
defluit.
Iā ergo tibi nō amplius in forib. vigilemus, o Arate,
Nec pedes *ambulādo* fatigemus; sed matutin' gallus 'a-
Cucuriens torporibus molestis tradat: [lium
Solusq. Molō in hac palæstra, o optime, strāguletur.
Nobis autem quies curæ sit, anusque adsit
Quæ *veneficorum more* despuens mala procul arceat.
Hęc dixeram. ipse vero pedum mihi, suauiter ridēs,
Sicut & antea, dedit, vt Musarum munus hospitale
esset.
Atq. ipse deflectens ad sinistram, qua itur ad Pyxam
Via pergebat: sed ego & Eucritus ad Phrasidami
*domum*
Cōuersi, simulq. pulcher Amyntichus, in profundis
Amœnissimi iunci thoris recubuimus,



© Centre d'Études Supérieures de la Renaissance - Tours

Inque recens abscissis læti pampinis.
Multæ nobis supra caput quatiebantur
Populique vlmique, & prope sacer riuus
Nympharum ex antro defluens murmurabat.
Ad opacos vero frutices ardenticulæ
Cicadæ garrientes laborabant: & acredula
Procul in densis ruborum stridebat spinis.
Cantabant cassitæ & carduelis, gemebat turtur,
Volitabant flauæ vndique circum fonticulos apes.
Omnia redolebant æstatem vberrimam, redolebāt
& autumnum.
Nam pira circa pedes, circa latera vero poma
Largiter nobis voluebantur: & curuati erant
Rami prunis grauati in terram;
Quadrima vero a doliorū orificio relinebatur litura.
O Nymphæ Castalides quæ Parnassi iuga tenetis,
Num talem in Pholi lapideo antro
Cratera Herculi senex statuit Chiron?
Num pastorem illum olim ad Anapum,
Fortem illum Polyphemum, qui in montibus saxa
torquebat,
Tale nectar mouit, vt per stabula pedibus saltaret,
Quale tunc poculum miscuistis Nymphæ,
Apud aram Cereris arealis? in cuius aceruo
Vtinam iterum magnum ventilabrum figam; & ipsa
rideat,
Manipulos & papauera vtraque manu tenens.

## ARGVMENTVM IDYLLII octaui.

Res quidem trāsacta in Sicilia: oratio vero sub ipsius Poetę persona fingitur. Cō tendūt autē inter se Menalcas pastor & Da-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἔν τε νεοτμάτοισι γεγαθότες οἰναρέοισι.
Πολλαὶ δ' ἄμμιν ὕπερθε κατὰ κρατὸς δονέοντο
Αἴγειροι πτελέαι τε. τὸ δ' ἐγγύθεν ἱερὸν ὕδωρ
Νυμφᾶν ἐξ ἄντροιο κατειβόμενον κελάρυσδεν.
Τοὶ δὲ ποτὶ σκιεραῖς ὀροδαμνίσιν αἰθαλίωνες
Τέττιγες λαλαγεῦντες ἔχον πόνον· ἁ δ' ὀλολυγὼν
Τηλόθεν ἐν πυκινῇσι βάτων τρύζεσκεν ἀκάνθαις.
Ἄειδον κόρυδοι καὶ ἀκανθίδες, ἔστενε τρυγών·
Πωτῶντο ξουθαὶ περὶ πίδακας ἀμφὶ μέλισσαι.
Πάντ' ὦσδεν θέρεος μάλα πίονος, ὦσδε δ' ὀπώρης·
Ὄχναι μὲν πὰρ ποσσὶ, παρὰ πλευρῇσι δὲ μᾶλα
Δαψιλέως ἄμμιν ἐκυλίνδετο· τοὶ δ' ἐκέχυντο·
Ὄρπακες βραβύλοισι καταβρίθοντες ἔρασδε·
Τετράενες δὲ πίθων ἀπελύετο κρατὸς ἄλειφαρ.
Νύμφαι Κασταλίδες Παρνάσιον αἶπος ἔχοισαι,
Ἆρά γέ πα τοιόνδε Φόλω κατὰ λάινον ἄντρον
Κρητῆρ' Ἡρακλῆι γέρων ἐστάσατο Χείρων;
Ἆρά γέ πα τῆνον τὸν ποιμένα τὸν ποτ' Ἀνάπω
Τὸν κρατερὸν Πολύφαμον, ὃς ὤρεσι λᾶας ἔβαλλε,
Τοῖον νέκταρ ἔπεισε κατ' αὔλια ποσσὶ χορεῦσαι,
Οἷον δὴ τόκα πῶμα διεκρανάσατε νύμφαι,
Βωμῷ πὰρ Δάματρος ἀλωάδος; ἇς ἐπὶ σωρῷ
Αὖθις ἐγὼ πάξαιμι μέγα πτύον· ἁ δὲ γελάσαι,
Δράγματα καὶ μάκωνας ἐν ἀμφοτέρῃσιν ἔχοισα.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ η' Εἰδυλλίου.

Τὰ μὲν πράγματα, ἐπὶ Σικελίας· ὁ δὲ λόγος, ἐκ τοῦ ποιητικοῦ προσώπου. εἰσὶ δ' ἐρίζοντες ἀλλήλοις Μενάλκας ποιμὴν



© Centre d'Études Supérieures de la Renaissance - Tours

καὶ Δάφνις βουκόλος, εἰληφότες κριτὴν αἰπόλον, οὗ τὸ ὄνομα σεσιώπηται. ἔπαθλον δὲ τιθεῖσι τὰς ἰδίας σύριγγας. τελεσάντων δὲ τὴν ἅμιλλαν, ὁ αἰπόλος τῷ Δάφνιδι τὴν νίκην ἀπονέμει. Ἔστι μὲν οὖν τοῦτο τὸ εἰδύλλιον μικτὸν ἔκ τε τοῦ διηγηματικοῦ καὶ τοῦ μιμητικοῦ.

## ΒΟΥΚΟΛΙΑΣΤΑΙ.

### Εἰδύλλιον η΄.

ΔΑΦΝΙΣ, ΜΕΝΑΛΚΑΣ, καὶ ΑΙΠΟΛΟΣ.

Δάφνιδι τῷ χαρίεντι συνήντετο βουκολέοντι,
Μᾶλα νέμων (ὡς φαντὶ) κατ' ὤρεα μακρὰ Μενάλκας.
Ἄμφω τώγ' ἤτην πυρροτρίχω, ἄμφω ἀνάβω,
Ἄμφω συρίσδεν δεδαημένω, ἄμφω ἀείδεν.
Πρᾶτος δ' ὦν ποτὶ Δάφνιν ἰδὼν ἀγόρευε Μενάλκας.

Μενάλκας.

Μυκητᾶν ἐπίουρε βοῶν Δάφνι, λῇς μοι ἀεῖσαι;
Φαμὶ τὺ νικασεῖν ὅσον θέλω αὐτὸς ἀείδων.
Τὸν δ' ἄρα χὼ Δάφνις τοιῷδ' ἀπαμείβετο μύθῳ·

Δάφνις.

Ποιμὰν εἰροπόκων ὀΐων συριγκτὰ Μενάλκα,
Οὔποτε νικασεῖς μ', οὐδ' εἴ τι πάθοις τύ γ' ἀείδων.

Μενάλκας.

Χρῄσδεις δ' ὦν ἐσιδεῖν; χρῄσδεις καταθεῖναι ἄεθλον;

Δάφνις.

Χρῄσδω τοῦτ' ἐσιδεῖν, χρῄσδω καταθεῖναι ἄεθλον.

Μενάλκας.

Ἀλλὰ τί θησεύμεσθ' ὅ κεν ἁμῖν ἄρκιον εἴη;

Δάφνις.

Μόσχον ἐγὼ θησῶ, τὺ δὲ θὲς γ' ἰσομάτορα ἀμνόν.

Μενάλ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

&Daphnis bubulcus, iudice delecto caprario, cuius nomen siletur. Præmium autem victoriæ deponunt proprias fistulas. Finito vero certamine caprarius Daphnidi victoriam adiudicat. Est autem hoc Idyllion mixtũ, partim ex rei gestæ narratione, partim ex personarum colloquio.

## BVCOLICI CARMINIS CANTORES, Idyllium octauum.

DAPHNIS, MENALCAS, ET CAPRARIVS.

Daphnidi formoso occurrit boues pascenti
Pascens, vt aiunt, in montibus altis oues Menalcas.
Ambobus erat flaua coma, ambo impuberes.
Ambo fistulam iuflare, & ambo cantare periti.
Primus ergo Menalcas Daphnidem intuitus ait:

*Menalcas.*

Daphni, custos boum mugientium, visne mecum cantu certare?
Affirmo enim, me victurum esse cantu te, quantum ipse volo.
Huic Daphnis tali sermone respondit:

*Daphnis.*

Pastor lanigerarum ouium, fistulator Menalca,
Nunquã me vinces cantu, ne si quidẽ cantãdo moriaris.

*Menalcas.*

Visne igitur videre? visne deponere præmiũ victoriæ?

*Daphnis.*

Volo hoc videre, & volo deponere præmium.

*Menalcas.*

Verum quid deponemus, quod nobis satis dignũ sit?

*Daphnis.*

Vitulum ego deponã, tu vero depone agnũ æqualem matri.

Menal-

© Centre d'Études Supérieures de la Renaissance - Tours

*Menalcas.*

Nunquam deponam agnum. nam pater meus difficilis est,
Et mater: numerāt vero vespere semp oues omnes.

*Daphnis.*

Sed quid igitur depones? quid lucrabitur qui vincet?

*Menalcas.*

Fistulam, quam feci, pulchram, nouem vocibus,
Alba cera compactam, æqualiter infra, & æqualiter supra:
Hanc deponā: quæ vero patris sunt, ea non deponā.

*Daphnis.*

Atqui & ego fistulam habeo nouem vocibus,
Alba cera compactam, ęqualiter infra, & æqualiter supra.
Nuper eam compegi, & adhuc digitus dolet
Iste: illum enim calamus scissus sauciauit.
Verum quis iudex inter nos? qs noster auditor erit?

*Menalcas.*

Quid si caprarium istum vocemus,
Cui apud hædos canis albus latrat?
Et pueri vocarunt, & caprarius auditum venit:
Et pueri canebāt, caprarius vero iudex esse volebat.
Prior igitur cecinit sortitus fistulator Menalcas:
Deinde alternis excepit Daphnis cantilenam
Bucolicam. Sic vero Menalcas incepit prior:

*Menalcas.*

Saltus & fluuii, diuinum genus, si quod Menalcas,
Fistula canens, vnquam gratum carmen cecinit,
Pascite has ex animo agnas: si vero venerit
Daphnis agens vitulas, nihilo minus & ille habeat.

*Daphnis.*

© Centre d'Études Supérieures de la Renaissance - Tours

Μενάλκας.

Οὐ θησῶ ποκ' ἀμνόν· ἐπεὶ χαλεπός θ' ὁ πατήρ μευ,
Χἀ μάτηρ· τὰ δὲ μᾶλα ποθέσπερα πάντ' ἀριθμεῦντι.

Δάφνις.

Ἀλλὰ τί μὰν θησεῖς; τί δὲ τὸ πλέον ἕξει ὁ νικῶν;

Μενάλκας.

Σύριγγ' ἂν ἐποίησα καλὰν ἐγὼ ἐννεάφωνον,
Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἶσον ἄνωθεν·
Ταύτην κατθείην· τὰ δὲ τῶ πατρὸς οὐ καταθησῶ.

Δάφνις.

Ἦ μάν τοι κἠγὼ σύριγγ' ἔχω ἐννεάφωνον.
Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἶσον ἄνωθεν.
Πρώαν νιν συνέπαξ'· ἔτι καὶ τὸν δάκτυλον ἀλγῶ
Τοῦτον, ἐπεὶ κάλαμός με διασχισθεὶς διέτμαξεν.
Ἀλλὰ τίς ἄμμε κρινεῖ; τίς ἐπάκοος ἔσσεται ἁμῶν;

Μενάλκας.

Τῆνόν πως ἐνταῦθα τὸν αἰπόλον ἢν καλέσωμες,
Ὧι ποτὶ ταῖς ἐρίφοις ὁ κύων ὁ φάλαρος ὑλακτεῖ.
 Χῷ μὲν παῖδες ἄϋσαν, ὁ δ' αἰπόλος ἦνθ' ἐπακοῦσαι·
Χῷ μὲν παῖδες ἄειδον, ὁ δ' αἰπόλος ἤθελε κρῖναι.
Πρᾶτος δ' ὦν ἄειδε λαχὼν ἰυκτὰ Μενάλκας·
Εἶτα δ' ἀμοιβαίαν ὑπελάμβανε Δάφνις ἀοιδὰν
Βουκολικάν· οὕτω δὲ Μενάλκας ἄρξατο πρᾶτος·

Μενάλκας.

Ἄγκεα καὶ ποταμοὶ. θεῖον γένος, αἴ τι Μενάλκας
 Πήποχ' ὁ συρικτὰς προσφιλὲς ἆσε μέλος,
Βόσκοιτ' ἐκ ψυχᾶς τὰς ἀμνίδας· ἢν δέ ποκ' ἔνθῃ
 Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.

Δά-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Δάφνις.

Κρᾶναι καὶ βοτάναι, γλυκερὸν φυτὸν, αἴπερ ὁμοῖον
Μουσίσδοι Δάφνις ταῖσιν ἀηδονίσι,
Τοῦτο τὸ βουκόλιον παίνετε· κἤν τι Μενάλκας
Τῇδ' ἀγάγοι, χαίρων ἄφθονα πάντα νέμοι.

Μενάλκας.

Παντᾷ ἔαρ, παντᾷ δὲ νομοὶ, παντᾷ δὲ γάλακτος
Οὔθατα πλήθουσιν, καὶ τὰ νέα τρέφεται,
Ἔνθ' ἁ καλὰ παῖς ἐπινίσσεται· αἰ δ' ἂν ἀφέρπῃ,
Χὠ ποιμὰν ξηρὸς τηνόθι, χαἰ βοτάναι.

Δάφνις.

Ἔνθ' ὄις, ἔνθ' αἶγες διδυματόκοι, ἔνθα μέλισσαι
Σμάνεα πληροῦσιν, καὶ δρύες ὑψίτεραι·
Ἔνθ' ὁ καλὸς Μίλων βαίνει ποσίν· αἰ δ' ἂν ἀφέρπῃ,
Χὠ τὰς βῶς βόσκων, χαἰ βόες αὐότεραι.

Μενάλκας.

Ὦ τράγε, τᾶν λευκᾶν αἰγᾶν ἄνερ, ὦ βάθος ὕλας
Μυρίον, ὦ σιμαὶ δεῦτ' ἐφ' ὕδωρ ἔριφοι·
Ἐν τήνῳ γὰρ τῆνος. ἴθ' ὦ κόλε, καὶ λέγε Μίλῳ
Ὡς Πρωτεὺς φώκας, καὶ θεὸς ὤν, ἔνεμε.

Δάφνις.

Μή μοι γᾶν Πέλοπος, μή μοι χρύσεια τάλαντα
Εἴη ἔχειν, μηδὲ πρόσθε θέειν ἀνέμων·
Ἀλλ' ὑπὸ τᾷ πέτρᾳ τᾷδ' ἄσομαι ἀγκὰς ἔχων τύ,
Σύννομα μᾶλ' ἐσορῶν τὰν Σικελὰν ἐς ἅλα.

Μενάλκας.

Δένδρεσι μὲν χειμὼν φοβερὸν κακὸν, ὕδασι δ' αὐχμὸς,
Ὄρνισιν δ' ὕσπλαγξ· ἀγροτέροις δὲ, λίνα·

Ἀνδρὶ

© Centre d'Études Supérieures de la Renaissance - Tours

*Daphnis.*

Fontes & herbæ, iucũda germina: vtinã eodẽ modo
Caneret Daphnis sicut lusciniæ.
Hoc armentum saginate: & si Menalcas
Huc appulerit, lætus omnia copiosa pascat.

*Menalcas.*

Vbique ver est, & vbique pascua, & vbique lacte
Vbera turgent, & teneræ *pecudes* saginantur,
Quo pulchra puella aduenit. Si vero discesserit,
Tunc & pastor aret illic, & herbæ.

*Daphnis.*

Ibi oues sunt, ibi capræ geminorũ matres, ibi & apes
Aluearia replent, & quercus altiores sunt,
Vbi pulcher Milo incędit pedibus. Si vero discesserit,
Tunc & qui vaccas pascit, & vaccæ ipsæ sunt aridiores.

*Menalcas.*

O hirce marite albarum caprarum, o altitudo siluæ
Immensa, o simi hædi huc ad vndam venite:
In eo enim loco ille est. abi tu cornib. mutilate, dic
Miloni,
Quod Proteus, quãuis deus esset, tamẽ phocas pauit.

*Daphnis.*

Non mihi regnum Pelopis, non mihi auri talenta
Contingat habere, neque cursu superare ventos:
Verum sub hac rupe cantabo, te amplexu tenens,
Simul pascentes oues & in mare Siculum aspiciẽs.

*Menalcas.*

Arboribus tempestas metuendum malum, vndis vero squalor,
Auibus laqueus, feris siluestribus retia:

Viro

© Centre d'Études Supérieures de la Renaissance - Tours

Viro autẽ tenerę̨ puellę deſideriũ. O pater, o Iupiter,
Non ſolus amaui: nam & tu mulierum amator es.
Hæc quidem alternis pueri cecinerunt;
Vltimam vero cantionem ſic cœpit Menalcas:

*Menalcas.*

Parce meis hædis, lupe: parce fœto meo pecori,
Neq. me lædas, quod cum paruus ſim, multas *pecudes* ſequar.
O canis Lãpure, ſiccine profundus ſomnus tenet te?
Non oportet profunde dormire, cum puerum paſcentem comitaris.
O oues neque vos vereamini tenera ſatiari
Herba, neq fatigemini, quando iterum illa recreſcit.
Agite, paſcimini, paſcimini, omneſq. vbera replete,
Vt partim agni habeant, partim in calathos reponã.
Deinde viciſſim Daphnis ſuauiter canere cœpit:

*Daphnis.*

Et me ex antro nuper proſpectans iunctis ſuperciliis puella,
Cũ præteragerẽ iuuencas, pulchrũ, pulchrũ eſſe dixit.
Nec ſane ſermone reſpondi acerbo ipſi:
Sed in terrã demiſſis oculis, iter meum perſequebar.
Dulcis vox eſt vitulæ, dulcis ſpiritus:
Suauiter mugit & vitulus, & vacca ſuauiter mugit:
Suaue eſt etiam æſtate ad vndam fluentem ſub dio cubare.
Quercui glandes decori ſunt, malo ſua poma;
Vaccis vituli, bubulco vero ipſæ boues.
Sic pueri cantabant: ſic vero caprarius inquit:

*Caprarius.*

Quam tibi os dulce eſt, & vox amabilis, o Daphni!
Iucundius eſt te audire canẽtem, quam mel lingere.

Acci-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἀνδρὶ δὲ, παρθενικᾶς ἀπαλᾶς πόθος. ὦ πάτερ, ὦ Ζεῦ,
Οὐ μόνος ἠράσθην· καὶ τὺ γυναικοφίλας.
Ταῦτα μὲν ὦν δι' ἀμοιβαίων οἱ παῖδες ἄεισαν·
Τὰν πυμάταν δ' ᾠδὰν οὕτως ἐξᾶρχε Μενάλκας.

Μενάλκας.

Φείδευ τῶν ἐρίφων, φείδευ λύκε τᾶν τοκάδων μευ·
Μηδ' ἀδίκει μ', ὅτι μικκὸς ἐὼν πολλαῖσιν ὁμαρτῶ.
Ὦ Λάμπουρε κύων, οὕτω βαθὺς ὕπνος ἔχει τύ;
Οὐ χρὴ κοιμᾶσθαι βαθέως σὺν παιδὶ νέμοντα.
Ταὶ δ' ὄιες, μηδ' ὔμμες ὀκνεῖθ' ἁπαλᾶς κορέσασθαι
Ποίας· οὔτι καμεῖσθ' ὅκκα πάλιν ἅδε φύηται·
Σίττα νέμεσθε, νέμεσθε· τὰ δ' οὔθατα πλήσατε πᾶσαι,
Ὡς τὸ μὲν ὥρνες ἔχωντι, τὸ δ' ἐς ταλάρως ἀπόθωμαι.
Δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλλετ' ἀείδειν·

Δάφνις.

Κἠμ' ἐκ τῶ ἄντρω σύνοφρυς κόρα ἐχθὲς ἰδοῖσα
Τὰς δαμάλας παρελῶντα, καλὸν καλὸν ἦμες ἔφα-
Οὐ μὰν οὐδὲ λόγον ἐκρίθην ἄπο τὸν πικρὸν αὐτᾶ, [σκεν·
Ἀλλὰ κάτω βλέψας, τὰν ἁμετέραν ὁδὸν εἷρπον.
Ἁδεῖ' ἁ φωνὰ τᾶς πόρτιος, ἁδὺ τὸ πνεῦμα·
Ἁδὺ δὲ χὠ μόσχος γαρύεται, ἁδὺ δὲ χἀ βῶς,
Ἁδὺ δὲ τῶ θέρεος παρ' ὕδωρ ῥέον αἰθριοκοιτεῖν·
Τᾷ δρυῒ ταὶ βάλανοι κόσμος, τᾷ μαλίδι μᾶλα,
Τᾷ βοῒ δ' ἁ μόσχος, τῷ βωκόλῳ αἱ βόες αὐταί.
Ὡς οἱ παῖδες ἄεισαν· ὁ δ' αἰπόλος ὧδ' ἀγόρευεν·

Αἰπόλος.

Ἁδύ τι τὸ στόμα τοι, καὶ ἐφίμερος ὦ Δάφνι φωνά.
Κρέσσον μελπομένω τεῦ ἀκουέμεν ἢ μέλι λείχειν.

Λάσδευ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Λάσδεο τὰς σύριγγας· ἐνίκησας γὰρ ἀείδων.
Αἰ δέ τι λῇς με καὶ αὐτὸν ἅμ' αἰπολέοντα διδάξαι,
Τήναν τὰν μιτύλαν δωσῶ τὰ δίδακτρά τοι αἶγα,
Ἅτις ὑπὲρ κεφαλᾶς αἰεὶ τὸν ἀμολγέα πληροῖ.
Ὡς μὲν ὁ παῖς ἐχάρη καὶ ἀνήλατο καὶ πλατάγησε
Νικήσας, οὕτως ἐπὶ ματέρα νεβρὸς ἅλοιτο·
Ὡς δὲ κατεσμύχθη καὶ ἀνετράπετο φρένα λύπᾳ
Ὥτερος, οὕτω καὶ νύμφα γαμεθεῖσ' ἀκάχοιτο.
Κὰκ τούτω Δάφνις παρὰ ποιμέσι πρᾶτος ἔγεντο,
Καὶ νύμφαν, ἄκρηβος ἐὼν ἔτι, Ναΐδα γᾶμεν.

---

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ θ' Εἰδυλλίου.

Τὰ μὲν πράγματα ἐπὶ Σικελίας κεῖνται· ἐκκαλοῦνται δὲ ὑπὸ συννομέως Δάφνις καὶ Μενάλκας, ὅπως ἀλλήλοις ἀντάσωσιν. οἱ μὲν οὖν ἀμοιβαίως ᾄδουσιν· γέρας δ' ἀπολαμβάνουσιν ἀμφότεροι· ὁ μὲν Δάφνις, κορύναν· ὁ δὲ Μενάλκας, στρόμβου ὄστρακον.

## ΝΟΜΕΥΣ, ἢ ΒΟΥΚΟΛΟΙ, Εἰδύλλιον θ'.

ΔΑΦΝΙΣ καὶ ΜΕΝΑΛΚΑΣ.

Βωκολιάσδεο Δάφνι· τὺ δ' ᾠδᾶς ἄρχεο πρᾶτος·
Ὠιδᾶς ἄρχεο πρᾶτος, ἐφεψάσθω δὲ Μενάλκας,
Μόσχως βουσὶν ὑφέντες, ὑπὸ στείραισι δὲ ταύρως·
Χὼ μὲν ἁμᾶ βόσκοιντο, καὶ ἐν φύλλοισι πλανῶντο,
Μηδὲν ἀπιμαγελεῦντες. ἐμὶν δὲ τὺ βωκολιάσδευ
Ἔμπροσθεν· ἄλλωθεν δὲ ποικρίνοιτο Μενάλκας.

Δά-

Accipe fiſtulas: nam cantu viciſti.
Si v. me & ipſum vna capras paſcẽtem velis docere,
Hanc cornibus mutilatam capellam tibi dabo mercedem pro doctrina,
Quæ mulctram ſemper ad ſummum vſq; complet.
Sic quidem puer gauiſus eſt, & exiliit, & plauſum dedit,
Poſtquam vicit, ſicut ad matrem hinnulus ſaltat.
Ita vero doluit, & animo deiectus eſt mærore
Alter, quemadmodũ ſpõſa nupta mærore cõficitur.
Ex illo tempore Daphnis inter paſtores primus habitus eſt,
Et valde adoleſcens adhuc, Nympham Naidẽ vxorẽ duxit.

## ARGVMENTVM NONI Idyllii.

Res quidẽ in Sicilia geſta fingitur. Prouocantur vero a ſocio paſtore Daphnis & Menalcas vt cantu inter ſe certent. Illi igitur alternis canunt. Præmium vero refert vterque, Daphnis quidem clauam; Menalcas vero, conchæ teſtam.

## PASTOR ſiue BVBVLCI, Idyllion IX.

### DAPHNIS ET MENALCAS.

Carmen Bucolicum cane Daphni, tuq. cantilenã incipe prior:
Cantilenã incipe prior, deinde ſequatur Menalcas,
Vitulos vaccis ſubmittentes & non fœtis tauros.
Hique ſimul paſcantur, & in frondibus errent,
Non relinquentes gregem: tu vero, mihi cane Bucolicum carmen
Hic, illinc vero reſpondeat Menalcas.



© Centre d'Études Supérieures de la Renaissance - Tours

*Daphnis.*

Suauiter vitulus mugit, suauiter vero & vacca:
Suauiter canit & fistula & bubulc⁹: suauiter. v. & ego.
Est v. mihi ad vndam gelidam tor⁹: in eo stratæ sunt
Albarum vaccarũ pulchræ pelles, quas mihi omnes
Africus arbutum rodentes, a scopulo deiecit.
Æstatem autem torrentem ego tantum curo,
Quantũ amãs [*curat*] sermones patris aut matris au-
Sic Daphnis mihi cecinit: sic vero Menalcas: [dire.

*Menalcas.*

Ætna mihi mater *est*, & ego pulchrum antrum inhabito,
Concauo in saxo, & possideo quęcunque in somnio
Apparent, multas quidem oues, multasq. capras,
Quarum mihi ad caput & pedes vellera iacent.
In igne vero ex lignis quernis accenso exta bulliũt, in igne & aridæ
Fagi tempore hiemis *cremantur*, & nec tantum quidem curo
Hiemẽ, quantũ edẽtulus nuces, apposita pulte exa-
His adplausi, & statim donum dedi: [mylo.
Daphnidi clauam quam mihi patris ager peperit
Sponte natã, quã ne faber quidẽ reprehẽdere possit:
Alteri v. conchæ pulchram testã, cuius carnem ipse
Comedi: quam in scopulis Icariis captaueram,
In quinque diuisam quinque præsentibus. Ille vero insonuit conchæ:
Bucolicę Musę multum saluete & ostendite carmẽ
Quod ego quondam coram pastoribus illis cecini.
Nõ ampli⁹ in summitate lingue tuę pustulã produ-
Cicada cicadæ amica est, formicæ formica, [xeris.
Accipitres accipitribus; mihi vero Musæ & carmen:

Quo

© Centre d'Études Supérieures de la Renaissance - Tours

Δάφνις.

Ἁδὺ μὲν ἁ μόσχος γαρύεται, ἁδὺ δὲ χ' ἁ βῶς,
Ἁδὺ δὲ χ' ἁ σύριγξ, χ' ὡ βουκόλος· ἁδὺ δὲ κἠγών.
Ἐντὶ δέ μοι παρ' ὕδωρ ψυχρὸν στιβάς· ἐν δὲ νένασται
Λευκᾶν ἐκ δαμαλᾶν καλὰ δέρματα, τάς μοι ἁπάσας
Λὶψ κόμαρον τρωγοίσας ἀπὸ σκοπιᾶς ἐτίναξε.
Τοῦ δὲ θέρευς φρύγοντος ἐγὼ τόσον μελεδαίνω,
Ὅσον ἐρῶν τὸ πατρὸς μύθων καὶ ματρὸς ἀκούειν.
Οὕτω Δάφνις ἄεισεν ἐμίν· οὕτω δὲ Μενάλκας·

Μενάλκας.

Αἴτνα μᾶτερ ἐμά, κἠγὼ καλὸν ἄντρον ἐνοικῶ
Κοίλαις ἐν πέτρῃσιν· ἔχω δέ τοι ὅσ' ἐν ὀνείρῳ
Φαίνονται, πολλὰς μὲν ὄϊς, πολλὰς δὲ χιμαίρας·
Ὧν μοι πρὸς κεφαλᾷ καὶ πὰρ ποσὶ κώεα κεῖνται.
Ἐν πυρὶ δὲ δρυΐνῳ χορία ζεῖ, ἐν πυρὶ δ' αὖαι
Φαγοὶ χειμαίνοντος· ἔχω δέ τοι οὐδ' ὅσον ὤραν
Χείματος, ἢ νωδὸς καρύων, ἀμύλοιο παρόντος.
Τοῖς μὲν ἐπεπλατάγησα, καὶ αὐτίκα δῶρον ἔδωκα·
Δάφνιδι μὲν κορύναν, τάν μοι πατρὸς ἔτρεφεν ἀγρός,
Αὐτοφυᾶ, τὰν οὐδ' ἂν ἴσως μωμάσατο τέκτων·
Τήνῳ δὲ, στρόμβω καλὸν ὄστρακον, οὗ κρέας αὐτὸς
Σιτάθην, πέτραισιν ἐν Ἰκαρίαισι δοκεύσας,
Πέντε ταμὼν πέντ' οὖσιν. ὁ δ' ἐγκαναχήσατο κόχλῳ.
Βουκολικαὶ μῶσαι μάλα χαίρετε· φαίνετε δ' ᾠδὰν
Τάν ποκ' ἐγὼ τήνοισι παρὼν ἄεισα νομεῦσι.
Μηκέτ' ἐπὶ γλώσσας ἄκρας ὀλοφυγδόνα φύσῃς.
Τέττιξ μὲν τέττιγι φίλος, μύρμακι δὲ μύρμαξ,
Ἴρηκες δ' ἴρηξιν· ἐμὶν δ' ἁ μῶσα καὶ ᾠδά.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Τᾶς μοι πᾶς εἴη πλεῖος δόμος. οὔτε γὰρ ὕπνος,
Οὔτ' ἔαρ ἐξαπίνας γλυκερώτερον, οὔτε μελίσσαις
Ἄνθεα, ὅσον ἐμὶν μῶσαι φίλαι· οὓς γὰρ ὁρῶσαι
Γαθεῦσιν, τώσδ' οὔ τι ποτῷ δαλήσατο Κίρκα.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ι' Εἰδυλλίου.

Προσδιαλέγονται ἀλλήλοις ἐν τῷ θερίζειν Μίλων καὶ Βάττος. Ἐρῶν δ' ὁ Βάττος Βομβύκης αὐλητρίδος Πολυβώτου τινὸς εἴτε θυγατρὸς εἴτε θεραπαίνης, ὀκνηρῶς ἐργάζεται. καὶ διὰ τοῦ πυνθανομένου τοῦ Μίλωνος τί οὕτω βραδέως θερίζει, ὁ Βάττος τὸν αὐτοῦ ἔρωτα δηλοῖ, καὶ ᾠδὴν εἰς τὴν ἐρωμένην αὐτοῦ ἀπαγγέλλει. Παυσάμενον δὲ τῆς ᾠδῆς αἰνεῖ ὁ Μίλων, ὡς πρέπουσαν ἐργάτῃ ᾠδὴν εἴρηκεν.

## ΕΡΓΑΤΙΝΑΙ, ἢ ΘΕΡΙΣΤΑΙ, Εἰδύλλιον ι'.

### ΜΙΛΩΝ καὶ ΒΑΤΤΟΣ.

Ἐργατίνα Βουκαῖε, τί νῦν ὠζυρὲ πεπόνθης;
Οὔθ' ἑὸν ὄγμον ἄγειν ὀρθὸν δύνα, ὡς τὸ πρὶν ἄγες·
Οὔθ' ἅμα λαιοτομεῖς τῷ πλατίον· ἀλλ' ὑπολείπῃ,
Ὥσπερ ὄϊς ποίμνας, τᾶς τὸν πόδα κάκτος ἔτυψεν.
Ποῖός τις δείλαν τι καὶ ἐν μέσῳ ἄματος ἐσσῇ,
Ὃς νῦν ἀρχόμενος τᾶς αὔλακος οὐκ ἀποτρώγῃς;

Βάττος.

Μίλων ὀψαμάτα, πέτρας ἀπόκομμ' ἀτεράμνω,
Οὐδαμά τοι συνέβα ποθέσαι τινὰ τῶν ἀπεόντων;

Μίλων.

Οὐδαμά. τίς δὲ πόθος τῶν ἔκτοθεν ἐργάτᾳ ἀνδρί;

Βάττος.

Οὐδαμὰ νῦν συνέβα τοι ἀγρυπνῆσαι δι' ἔρωτα;

Μί-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Qua vtinam mihi tota domus plena sit, neque enim somnus,
Nec ver subitum dulcius est, neque tam apibus
Flores, quam mihi Musæ caræ sunt: quos enim aspicientes
Illę exhilarãt, eos Circe potione sua nõ fascinauerit.

## ARGVMENTVM DECIMI Idyllii.

Colloquuntur inter metendum Milo & Battus. Battus autem Bombycę tibicinę amore captus, Polyburę cuiusdam siue filię siue ancillę, segniter opus facit. Atque ob id interrogãte Milone cur ita tarde metat, Battus amorem suum illi declarat, & cantilenam in amicam suam recitat. Quam vbi absoluit, laudat eum Milon, quod cantilenam operario bene conuenientem cecinerit.

## OPERARII, siue MESSORES, Idyllion X.

MILO ET BATTVS.

Operarie messor, miser, quid tibi nunc accidit?
Neque sulcum rectum ducere potes, sicut antea ducebas:
Neque vna metis cum propinquo; sed relinqueris,
Quemadmodũ ouis a grege, cuius pedem spina sauciauit.
Qualis circa vesperum & in meridie futurus es,
Quum nunc incipiens sulcum non deuoras?

*Battus.*

Milo, vespertine messor, petrę inuictæ fragmentum,
Nunquãne tibi accidit vt desiderares aliquẽ absentem? *Milo.*
Nunquã. quo enim desiderio exterorũ homo operarius teneri potest? *Battus.*
Nũquamne tibi euenit vt vigilarẽs propter amorẽ?



© Centre d'Études Supérieures de la Renaissance - Tours

*Milo.*

Neque eueniat: periculoſum eſt exta guſtare canẽ.

*Battus.*

Verum ego, o Milo, amo iam pene vndecim dies.

*Milo.*

E dolio tu ſcilicet hauris: ego vero ne aceti quidem ſatis habeo.

*Battus.*

Itaq; ante fores meas a ſemente omnia inculta ſunt.

*Milo.*

Quæ vero puella te cruciat? *BAT.* Illa Polybutæ,
Quæ nuper metẽtib. apud Hippocoontẽ accinebat.

*Milo.*

Inuenit de' maleficum: habes iam quod diu optaſti.
Vates tibi de nocte accubabit in ſtipulis habitans cicada.

*Battus.*

Irridere me incipis tu: nõ vero ſolus Plutus cæc' eſt,
Verum etiam ſecurus Amor: ne magnifice loquaris.

*Milo.*

Non magnifice loquor. tu modo deiice ſegetem,
Et aliquod de puella amatorium carmen incipe: iucundius ita
Opus facies. Etenim prius aliquando muſicus fuiſti.

*Battus.*

Muſæ Pierides, vna mecum canite gracilem
Puellã; nã quæ vos deæ attingitis, omnia pulchra effi[citis.
O Bombyce venuſta, omnes te Syram vocant,
Tenuem, ſole aduſtã: ego vero ſolus dico te flauam eſſe ſicut mel.
Et viola nigra eſt, & notis inſcriptus Hyacinthus,
Sed nihilominus tamen in ſertis p̃cipue nominãtur.

Capra

© Centre d'Études Supérieures de la Renaissance - Tours

Μίλων.

Μηδὲ ξυμβαίη· χαλεπὸν χορίων κύνα γεῦσαι.

Βάττος.

Ἀλλ' ἐγὼ ὦ Μίλων ἔραμαι σχεδὸν ἑνδεκαταῖος.

Μίλων.

Ἐκ πίθω ἀντλεῖς δῆλον· ἐγὼ δ' ἔχω οὐδ' ἅλις ὄξος.

Βάττος.

Τοιγάρτοι πρὸ θυρᾶν μευ ἀπὸ σπόρω ἄσκαλα πάντα.

Μίλων.

Τίς δέ τυ τᾶν παίδων λυμαίνεται; Βα. Ἁ Πολυβώτα,
Ἁ πρᾶν ἀμάντεσσι παρ' Ἱπποκόωντι ποταύλει.

Μίλων.

Εὗρε θεὸς τὸν ἀλιτρόν· ἔχεις πάλαι ὧν ἐπεθύμεις·
Μάντις τοι τὰν νύκτα χροΐξεται ἁ καλαμαία.

Βάττος.

Μωμᾶσθαί μ' ἄρχῃ τύ. τυφλὸς δ' οὐκ αὐτὸς ὁ Πλοῦτος,
Ἀλλὰ καὶ ὡφρόντιστος Ἔρως· μηδὲν μέγα μυθεῦ.

Μίλων.

Οὐ μέγα μυθεῦμαι· τὺ μόνον κατάβαλλε τὸ λᾷον,
Καί τι κόρας φιλικὸν μέλος ἀμβάλευ· ἅδιον οὕτως
Ἐργαξῇ· καὶ μὰν πρότερόν ποκα μουσικὸς ἦσθα.

Βάττος.

Μῶσαι Πιερίδες συναείσατε τὰν ῥαδινάν μοι
Παῖδ'. ὧν γάρ χ' ἅψησθε θεαί, καλὰ πάντα ποεῖτε.
Βομβύκα χαρίεσσα, Σύραν καλέοντί τυ πάντες,
Ἰσχνάν, ἁλιόκαυστον· ἐγὼ δὲ μόνος μελίχλωρον.
Καὶ τὸ ἴον μέλαν ἐντί, καὶ ἁ γραπτὰ ὑάκινθος·
Ἀλλ' ἔμπας ἐν τοῖς στεφάνοις τὰ πρῶτα λέγονται.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἁ αἲξ τὸν κύτισον, ὁ λύκος τὰν αἶγα διώκει,
Ἁ γέρανος τὤροτρον· ἐγὼ δ' ἐπὶ τὶν μεμάνημαι.
Αἴθε μοι ἦσαν ὅσα Κροῖσόν ποκα φαντὶ πεπᾶσθαι,
Χρύσεοι ἀμφότεροί κ' ἀνεκείμεθα τᾷ Ἀφροδίτᾳ·
Τὼς αὐλὼς μὲν ἔχοισα, καὶ ἢ ῥόδον, ἢ τύγε μᾶλον,
Σχῆμα δ' ἐγὼ καὶ καινὰς ἐπ' ἀμφοτέροισιν ἀμύκλας.
Βομβύκα χαρίεσσ', οἱ μὲν πόδες ἀστράγαλοι τεῦ,
Ἁ φωνὰ δὲ τρύχνα· τὸν δ' αὖ τρόπον οὐκ ἔχω εἰπεῖν.

Μίλων.

Ἦ καλὰς ἄμμε ποῶν ἐλελήθει Βοῦκος ἀοιδάς·
Ὡς εὖ τὰν ἰδέαν τᾶς ἁρμονίας ἐμέτρησεν.
Ὤ μοι τῶ πώγωνος, ὃν ἀλιθίως ἀνέφυσας·
Θᾶσαι δὴ καὶ ταῦτα τὰ τῶ θείω Λυτιέρσα·
Δάματερ πολύκαρπε, πολύσταχυ, τοῦτο τὸ λᾷον
Εὔεργόν τ' εἴη, καὶ κάρπιμον ὅττι μάλιστα.
Σφίγγετ' ἀμαλλοδέται τὰ δράγματα, μὴ παριών τις
Εἴποι, Σύκινοι ἄνδρες, ἀπώλετο χ' οὗτος ὁ μισθός.
Ἐς βορέην ἄνεμον τᾶς κόρθυος ἁ τομὰ ὔμμιν
Ἢ ζέφυρον βλεπέτω· πιαίνεται ὁ στάχυς οὕτως.
Σῖτον ἀλοιῶντες φεύγειν τὸ μεσαμβρινὸν ὕπνον·
Ἐκ καλάμας ἄχυρον τελέθει τημόσδε μάλιστα.
Ἄρχεσθαι δ' ἀμῶντας ἐγειρομένω κορυδαλλῶ,
Καὶ λήγειν εὕδοντος· ἐλινῦσαι δὲ τὸ καῦμα.
Εὐκτὸς ὁ τῶ βατράχω παῖδες βίος· οὐ μελεδαίνει
Τὸν τὸ πιεῖν ἐγχεῦντα· πάρεστι γὰρ ἄφθονον αὐτῷ.
Κάλλιον ὦ 'πιμελητὰ φιλάργυρε τὼς φακὸς ἕψειν,
Μὴ 'πιτάμῃς τὰν χεῖρα καταπρίων τὸ κύμινον.
Ταῦτα χρὴ μοχθεῦντας ἐν ἁλίῳ ἄνδρας ἀείδειν.

Τὸν

© Centre d'Études Supérieures de la Renaissance - Tours

Capra cytiſum ſequitur, lupus capram,
Grus aratrum: ego vero amore erga te inſanio.
Vtinam haberẽ tantas opes, quantas aiunt Crœſum olim poſſediſſe:
Tunc aurei ambo Veneri conſecrati ſtatemus,
Tu tibias tenens, & aut roſam, aut pomum:
Ego vero habitu *ornatus*, & nouis in vtroq. pede *ad ſaltandum* calceis.
O Bombyce pulchra, pedes tui albi ſunt vt tali:
Vox mollis eſt; de moribus vero non poſſum dicere.

*Milo.*

Quam bellas cantiones faciens nos meſſor fefellit:
Quam apte vero ſpeciem harmoniæ dimenſus eſt?
Væ herbæ huic quæ tibi tanto fatuo nata eſt.
Vide & hæc, quæ ſunt diuini Lytierſæ:
Ceres frugifera, ſpicifera, *effice* vt ſeges
Pulchre elaborata ſit, & fœcunda quam maxime:
Stringite collectores manipulos, ne quis prætereũs
Dicat, O ficulnei homines, periit & hæc merces.
Ad boream ventum acerui ſectio vobis
Vel zephyrum ſpectet: ſic enim ariſtæ pingueſcunt.
Qui trituratis frumentum, fugite ſomnum meridianum:
Ex culmo tunc paleæ quam maxime exeunt.
Meſſores incipere *oportet*, cum galerita excitatur:
Et deſinere, cum illa dormit: & ſine ſenſu tolerare æſtum.
O pueri, ranæ vita optanda eſt, quæ non curat
Eum qui potum miniſtrat, abũde enim illi ſuppetit.
Pulchrius tibi eſt, o procurator auare, lẽtes coquere:
*Vide* ne manum vulneres dum cyminum diuidis.
Hæc decet viros in æſtu ſolis laborantes cantare.

Tuum

© Centre d'Études Supérieures de la Renaissance - Tours

Tuum vero o messor noxium amorem oportet
Narrari matri in lecto mane vigilanti.

---

ARGVMENTVM IDYLLII vndecimi.

Proponitur Cyclops qui amorem suum erga Galateam carmine solatur. Alloquitur autem Theocritus Niciā medicum, Milesium natione, qui condiscipulus fuit Erasistrati, etiam Medici. Fertur vero & aliquod ab illo carmen rescriptum de Cyclope ad Theocritum.

CYCLOPS, Idyllion vndecimum.

Nullum contra amorem natum est remedium aliud,
O Nicia, neque quod vel inungi vel aspergi possit, vt opinor,
Quam Musæ. Leue *hoc* & iucundum [nire.
Nascitur inter homines: ꝙ tamē facile non est inue-
Puto autem *ego* bene nosse te *hoc*, medicus cum sis,
Et nouem Musis eximie carus.
Sic Cyclops apud nos commode vixit,
Antiquus ille Polyphemus, cum amaret Galateam,
Iam primum pubescens circa os & tempora.
Amauit vero non rosis, aut pomis, aut cicinnis,
Sed pniciosis furiis: ducebat autē omnia posthabēda.
Sæpe oues ad ouile *sine duce* sua sponte redibant
Ex viridi gramine: ipse v. Galateam cantu celebrans
In ipso algoso litore consumebatur,
Inde vsq; ab aurora, insensissimū habēs sub pectore vulnus
A Venere potenti, quod telum illi in hepate fixerat.
Sed hoc remedium ille inuenit, sedensque in rupe
Præcelsa, in mare prospectans, talia canebat:



© Centre d'Études Supérieures de la Renaissance - Tours

Τὸν δὲ πόθον βουκαῖε πρέπει λιμηρὸν ἔρωτα
Μυθίσδεν τᾷ ματρὶ κατ' εὐνὰν ὀρθρευοίσᾳ.

---

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ιαʹ Εἰδυλλίου.

Ὑπόκειται ὁ Κύκλωψ παρηγορῶν ἑαυτὸν τὸν ἐπὶ Γαλατείᾳ ἔρωτα δι' ᾠδῆς. Προσδιαλέγεται δὲ ὁ Θεόκριτος ἰατρῷ Νικίᾳ, Μιλησίῳ τὸ γένος, ὃς συμφοιτητὴς γέγονεν Ἐρασιστράτου, ἰατροῦ ὄντος καὶ αὐτοῦ. Φέρεται δὲ καί τι ποιημάτιον αὐτοῦ ἀντιγεγραμμένον ὑπὲρ Κύκλωπος πρὸς Θεόκριτον.

## ΚΥΚΛΩΨ, Εἰδύλλιον ιαʹ.

Οὐδὲν ποτὶ τὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο,
Νικία, οὔτ' ἔγχριστον, (ἐμὶν δοκεῖ) οὔτ' ἐπίπαστον,
Ἢ ταὶ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἁδὺ
Γίνετ' ἐπ' ἀνθρώποις· εὑρεῖν δ' οὐ ῥᾴδιόν ἐστι.
Γινώσκειν δ' οἶμαί τυ καλῶς, ἰατρὸν ἐόντα,
Καὶ ταῖς ἐννέα δὴ πεφιλαμένον ἔξοχα Μοίσαις.
Οὕτω γοῦν ῥᾷστα διᾶγ' ὁ Κύκλωψ ὁ παρ' ἡμῖν,
Ὡρχαῖος Πολύφαμος, ὅκ' ἤρατο τᾶς Γαλατείας,
Ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε·
Ἤρατο δ' οὔτι ῥόδοις, οὐ μάλοις, οὐδὲ κικίνοις,
Ἀλλ' ὀλοαῖς μανίαις· ἁγεῖτο δὲ πάντα πάρεργα.
Πολλάκι ταὶ ὄιες ποτὶ τωὔλιον αὐταὶ ἀπῆνθον
Χλωρᾶς ἐκ βοτάνας· ὁ δὲ τὰν Γαλάτειαν ἀείδων,
Αὐτῶ ἐπ' αἰόνος κατετάκετο φυκιοέσσας
Ἐξ ἀοῦς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος,
Κύπριος ἐκ μεγάλας, τό οἱ ἥπατι πᾶξε βέλεμνον.
Ἀλλὰ τὸ φάρμακον εὗρε· καθεζόμενος δ' ἐπὶ πέτρας
Ὑψηλᾶς, ἐς πόντον ὁρῶν, ἄειδε τοιαῦτα·

Ὦ λευ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ' ἀποβάλλῃ;
Λευκοτέρα πακτᾶς ποτιδεῖν, ἁπαλωτέρα δ' ἀρνὸς,
Μόσχω γαυροτέρα, φιαρωτέρα ὄμφακος ὠμᾶς.
Φοιτῇς δ' αὖθ' οὕτως ὅκκα γλυκὺς ὕπνος ἔχῃ με·
Οἴχῃ δ' εὐθὺς ἰοῖσα ὅκα γλυκὺς ὕπνος ἀνῇ με·
Φεύγεις δ' ὥσπερ ὄϊς πολιὸν λύκον ἀθρήσασα.
Ηράσθην μὲν ἔγωγε κόρα τεῦ, ἁνίκα πρᾶτον
Ἦνθες ἐμᾷ σὺν ματρὶ, θέλοισ' ὑακίνθινα φύλλα
Ἐξ ὄρεος δρέψασθαι· ἐγὼ δ' ὁδὸν ἡγεμόνευον.
Παύσασθαι δ' ἐσιδών τυ καὶ ὕστερον οὐδέ τι πω νῦν
Ἐκ τήνω δύναμαι· τὶν δ' οὐ μέλει οὐ μὰ Δί' οὐδέν.
Γινώσκω χαρίεσσα κόρα τίνος οὕνεκα φεύγεις.
Οὕνεκά μοι λασία μὲν ὀφρῦς ἐπὶ παντὶ μετώπῳ
Ἐξ ὠτὸς τέταται ποτὶ θώτερον ὡς μία μακρά·
Εἷς δ' ὀφθαλμὸς ἔπεστι· πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.
Ἀλλ' ωὗτος τοιοῦτος ἐὼν, βοτὰ χίλια βόσκω,
Κἠκ τούτων τὸ κράτιστον ἀμελγόμενον γάλα πίνω·
Τυρὸς δ' οὐ λείπει μ' οὔτ' ἐν θέρει, οὔτ' ἐν ὀπώρῃ,
Οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ' ὑπεραχθέες αἰεί.
Συρίσδεν δ' ὡς οὔτις ἐπίσταμαι ὧδε Κυκλώπων,
Τὶν, τὸ φίλον γλυκύμαλον, ἁμᾶ κἠμαυτὸν ἀείδων,
Πολλάκι νυκτὸς ἀωρί. τρέφω δέ τοι ἕνδεκα νεβρὼς,
Πάσας ἀμνοφόρως, καὶ σκύμνως τέσσαρας ἄρκτων.
Ἀλλ' ἀφίκευ τὺ ποτ' ἄμμε, καὶ ἑξεῖς οὐδὲν ἔλασσον·
Τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθεῖν.
Ἅδιον ἐν τὤντρῳ παρ' ἐμὶν τὰν νύκτα διαξεῖς·
Ἐντὶ δάφναι τηνεὶ, ἐντὶ ῥαδιναὶ κυπάρισσοι·
Ἐντὶ μέλας κισσὸς, ἐντ' ἄμπελος ἁ γλυκύκαρπος·

Ἐντὶ

© Centre d'Études Supérieures de la Renaissance - Tours

O candida Galatea, cur amantem respuis?
Candidior caseo, cum aspiceris: tenerior agno,
Vitulo lasciuior, acerbior vua immatura.
Soles vero huc venire, cum me dulcis somnus tenet:
Recedis v. statim abiens cũ dulcis somn' me reliquit,
Fugisque velut ouis canum lupum conspicata.
Amare te cœpi puella tunc, cum primum
Venisti cum mea matre, volens hyacinthina folia
Ex monte decerpere; ego vero viæ dux eram.
Neque, vbi te vidi, postea desinere, ne nũc quidem,
Ab eo inde tempore potui: tu vero prorsus nihil per
Iouem curas.
Scio pulchra puella, quare me fugis:
Quia mihi hirsutum supercilium per totam frontẽ,
Ab aure altera ad alteram protensum est aurem, vnũ
longum.
Vnus vero oculus subest, & latus nasus super labra.
Verum ego ille qui talis sum, oues mille pasco:
Et lac optimum, quod ex illis mulgetur, bibo:
Nec caseus mihi desit in æstate, neque in autumno,
Neque summa etiã hyeme: fiscellæ enim sunt onera-
ratæ semper.
Fistula v. melius canere noui quam vll' hic Cyclopũ,
Tecum, o carum dulce pomum, me ipsum *quoque*
cantu celebrans,
Idq. sępe nocte intẽpesta. Alo tibi vndecim hinulos,
Omnes fœtos; & catulos quatuor vrsorum.
Sed veni tu ad me, & habebis nihil minus.
Glaucum vero mare sine litus ferire,
Iucundius in antro apud me noctem transiges:
Ibi sunt lauri, sunt procerę cupressi:
Est & nigra hedera: est vitis dulcissimos fruct' ferẽs:
Est

© Centre d'Études Supérieures de la Renaissance - Tours

Est & gelida vnda, quam mihi nemorosa Ætna
Ex candida niue, potum diuinum, ministrat.
Quis præ his in mari & fluctibus viuere malit?
Si vero ego videor tibi esse hirsutior,
Sunt mihi querna ligna, & sub cinere ignis inextinctus:
Et pferre possum, vt etiã anima mea a te cõburatur,
Et vnicus ille oculus, quo mihi nihil dulcius est.
Hei mihi quod mater non peperit me habentem branchias,
Vt ad te per vndas irem, ac manum tuam oscularer,
Si quidẽ os non velles: adferrem v. tibi vel alba lilia,
Vel papauer tenerũ, quod rubra crepitacula habet.
Atq. hæc quidem in æstate, alia v. gignuntur hyeme,
Vt omnia hęc simul tibi afferre non possim.
Nunc profecto hic, o puella, natare discam,
Si quis hospes nauigans cum naue huc aduenerit,
Vt sciam quænam voluptas vobis sit habitare in profundo.
Egredere o Galatea, & egressa obliuiscaris
(Sicut ego nunc hic sedens) domum redire.
Pascere vero vna mecum velis, & lac mulgere,
Et caseum premere, acre coagulum immittens.
Mater me sola iniuria afficit, & eam accuso:
Nihil prorsus illa vnquam amabile tibi dixit de me,
Idque indies videns me tenuem *magis* fieri.
Dicam mihi caput & ambos pedes meos
Dolere, vt crucietur: quoniam & ego crucior.
O Cyclops, Cyclops, quo tibi mens auolauit?
Si tu profectus calathos texeres, & teneras virgas metens
Agnis adferres, fortasse multo rectius saperes.
Mulge

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἐντὶ ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα
Λευκᾶς ἐκ χιόνος, ποτὸν ἀμβρόσιον, προΐητι.
Τίς κεν τῶνδε θάλασσαν ἔχειν ἢ κύμαθ' ἕλοιτο;
Αἰ δέ τοι αὐτὸς ἐγὼ δοκέω λασιώτερος ἦμεν,
Ἐντὶ δρυὸς ξύλα μοι, καὶ ὑπὸ σποδῷ ἀκάματον πῦρ·
Καιόμενος δ' ὑπὸ τεῦ καὶ τὰν ψυχὰν ἀνεχοίμαν,
Καὶ τὸν ἕν' ὀφθαλμόν, τῶ μοι γλυκερώτερον οὐδέν.
Ὤμοι ὅτ' οὐκ ἔτικέν μ' ἁ μάτηρ βράγχι' ἔχοντα,
Ὡς κατέδυν ποτὶ τίν, καὶ τὰν χέρα τεῦ ἐφίλασα,
Αἰ μὴ τὸ στόμα λῇς· ἔφερον δέ τοι ἢ κρίνα λευκά,
Ἢ μάκων' ἁπαλάν, ἐρυθρὰ πλαταγώνι' ἔχοισαν.
Ἀλλὰ τὰ μὲν, θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι·
Ὥστ' οὐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθην.
Νῦν μὰν ὦ κόριον νῦν αὐτόθι νεῖν γε μαθεῦμαι,
Αἴκά τις σὺν ναῒ πλέων ξένος ὧδ' ἀφίκηται·
Ὡς κεν ἴδω τί ποθ' ἁδὺ κατοικεῖν τὸν βυθὸν ὔμμιν.
Ἐξένθοις Γαλάτεια, καὶ ἐξενθοῖσα λάθοιο
(Ὥσπερ ἐγὼ νῦν ὧδε καθήμενος) οἴκαδ' ἀπενθεῖν·
Ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν ἅμα, καὶ γάλ' ἀμέλγειν,
Καὶ τυρὸν πᾶξαι, τάμισον δριμεῖαν ἐνεῖσα.
Ἁ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ·
Οὐδὲν πᾶ πώχ' ὅλως ποτὶ τὶν φίλον εἶπεν ὑπὲρ μεῦ,
Καὶ ταῦτ', ἆμαρ ἐπ' ἆμαρ ὁρῶσά με λεπτὸν ἐόντα.
Φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μευ
Σφύσδειν, ὡς ἀνιαθῇ· ἐπεὶ κἠγὼν ἀνιῶμαι.
Ὦ Κύκλωψ, Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;
Αἴκ' ἐνθὼν ταλάρως τε πλέκοις, καὶ θαλλὸν ἀμάσας
Ταῖς ἄρνεσσι φέροις, τάχα κεν πολὺ μᾶλλον ἔχοις νοῦν.

Τὰρ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Τὰν παρεοῖσαν ἄμελγε· τί τὸν φεύγοντα διώκεις;
Εὑρήσεις Γαλάτειαν ἴσως καὶ καλλίον' ἄλλαν.
Πολλαὶ συμπαίσδεν με κόραι τὰν νύκτα κέλονται,
Κιχλίζοντι δὲ πᾶσαι, ἐπήν κ' αὐταῖς ὑπακούσω·
Δῆλον ὅτ' ἐν τᾷ γᾷ κἠγών τις φαίνομαι ἦμες.
Οὕτω τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα,
Μουσίσδων· ῥᾷον δὲ διᾶγ' ἢ χρυσὸν ἔδωκεν.

---

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ιβ´ Εἰδυλλίου.

Ἐπιγράφεται μὲν τὸ Εἰδύλλιον Αἴτης, γέγραπται δὲ Ἰάδι διαλέκτῳ. Αἴτας δὲ οἱ μὲν Θετταλοὶ καλοῦσι τοὺς ἐρωμένους· οἱ δὲ, Αἴτας, τοὺς ἑταίρους. φασὶ δέ τινες λέγεσθαι τοὺς ἀγαθούς, οἷον μὴ ἴτας, ἀντὶ τοῦ μὴ ἰταμούς. ἢ Αἴτης, ὁ συναίτης καὶ συμπολίτης. Προσδιαλέγεται δὲ ὁ ἐρῶν τῷ ἐρωμένῳ, καὶ εὔχεται δύο ψυχῶν ἁρμογὴν αὐτοῖς γενέσθαι, καὶ φιλίας ἀσφάλειαν μέχρι τέλους παραμένουσαν· ἵνα καὶ μετὰ θάνατον οἱ μετ' αὐτοὺς φημίσωσιν τὴν ἐν ἀμφοτέροις ὁμόνοιαν. Καὶ τοὺς Μεγαρεῖς ἐπαινεῖ, ἐπὶ τῷ τετιμηκέναι Διοκλέα ὑπερασπίσαντα τοῦ ἰδίου ἐρωμένου.

## ΑΙΤΗΣ, Εἰδύλλιον ιβ´.

Ἤλυθες ὦ φίλε κοῦρε τρίτῃ σὺν νυκτὶ καὶ ἠοῖ,
Ἤλυθες· οἱ δὲ ποθεῦντες ἐν ἤματι γηράσκουσιν.
Ὅσσον ἔαρ χειμῶνος, ὅσον μῆλον βραβύλοιο
Ἥδιον, ὅσσον ὄις σφετέρης λασιωτέρη ἀρνός,
Ὅσσον παρθενικὴ προφέρει τριγάμοιο γυναικός,
Ὅσσον ἐλαφροτέρη μόσχου νεβρὸς, ὅσσον ἀηδὼν
Συμπάντων λιγύφωνος ἀοιδοτάτη πετεηνῶν·
Τόσσον ἔμ' εὔφρηνας σὺ φανείς· σκιερὴν δ' ὑπὸ φηγόν,
Ἠελίου φρύγοντος ὁδοιπόρος ἔδραμον ὥς τις.
Εἴθ' ὁμαλοὶ πνεύσειαν ἐπ' ἀμφοτέροισιν Ἔρωτες

Νῶϊν,

© Centre d'Études Supérieures de la Renaissance - Tours

Mulge præsentem: quid enim fugientem sectaris?
Forte aliã inuenies Galateam, & quidẽ pulchriorẽ.
Multæ puellæ mecum de nocte colludere volunt:
Suauiter vero rident omnes, cum ipsis ausculto:
Nimirum & ego in terra aliquis videor esse.
Sic Polyphemus pascebat amorem, [disset.
Cantans: suauius autem agebat, quam si aurum de-

## ARGVMENTVM IDYLLII duodecimi.

Inscribitur quidem hoc Idyllion Aites: scriptum vero est Ionica dialecto. Aitas autem Thessali vocant amatos. Alii Αἴτας socios appellãt, nonnulli vero probos & modestos ita vocari dicunt, quasi non proteruos, siue impudentes. Aut Aites significat cohabitatorem & conciuem. Alloquitur autem amator eum quem amat, optatque sibi duorum animorũ coniunctionem, & amicitiæ solidam firmitatem, quæ vsque in finem vitæ permaneat: adeo vt etiam post ipsorum mortem posteri prædicent concordiam quę inter eos intercessit. Et Megarẽses laudat, eo quod summo honore affecerint Dioclem, qui semetipsum pro amico suo defendendo morti exposuit.

### AITES, Idyllion duodecimum.

Venisti care puer, post tertiam iam noctem & auroram; [senes:
Venisti: qui v. desiderio conficiuntur, vno die fiunt
Quanto ver hyeme, & quanto pomum pruno
Suauius, quantoq. mater ouis suo agno villosior est;
Quanto virgo præstantior est muliere ter nupta,
Quanto vitulo celerior hinnulus, quantum luscinia
Canora cantu omnes volucres superat:
Tantũ tu me exhilarasti adueniẽs. Sub vmbrosam v.
Sicut viator aliquis sole torrente, properabã. [fagũ
Vtinam concors adspiret vtrisque amor,



© Centre d'Études Supérieures de la Renaissance - Tours

Nobis,ita vt posteri de nobis cantent:
Duo quidam inter se iuncti fuerunt [quens;
Viri:alter erat amicus,dicat quis Amyclæa lingua lo
Alterum vero Thessalice loquens amatum vocet.
Mutuo illi sese amabant æqua lege:certe tūc fuerūt
Aurei olim homines, quū vicissim amaret qui amabatur. [nescentes
Vtinā hoc,o pater Iupiter,fiat:atq.vtinā nunquā se-
Immortales simus:atque post secula ducenta
Nunciet mihi aliquis apud Acherontē irremeabilē:
*Dicens*,Amor tuus nunc,& amabilis amici tui,
Omnibus est in ore,præcipue vero iuuenibus.
Verum horum omnium superi cælicolæ
*Dispensatores* erunt sicut volent:ego vero te laudibus celebrans
Non edam mendacia super nasum ratum:*i. nihil falsi dicam.*
Nam etsi *me* in aliquo læseris,& statim reddidisti id innoxium,
Et duplo iuuisti, & habens auctuarium discedo.
Nisæi Megarenses,remis præstantes,
Felices habiteris, quoniam præ aliis hospitibus Atticum
Dioclea puerorum amatorem honore affecistis.
Semper primo vere ad ipsius tumulum congregati
Pueri certant osculi victoriam reportare.
Quique labra labris dulcius applicauerit,
Is coronis onerat⁹ ad suam matrem reuertitur.[cat.
Beat⁹ ille quisquis inter pueros de osculis illis iudi-
Is scilicet pulcrum Ganymedem diligenter inuocat,
Vt Lydio lapidi similia labra habeat,quo aurum
Purum explorant argentarii, ne sit vitiatum.

ARGV-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Νῶϊν, ἐπεσσομένοις δὲ γενοίμεθα πᾶσιν ἀοιδή.
Δοιὼ δή τινε τώδε μετ' ἀμφοτέροισι γενέσθην
Φῶθ'· ὁ μὲν, τὸν εἴσπνιλος, φαίη χ' ὡμυκλαΐσδων·
Τὸν δ' ἕτερον πάλιν, ὥς κεν ὁ Θεσσαλὸς εἴποι, ἀΐτην·
Ἀλλήλους δ' ἐφίλησαν ἴσῳ ζυγῷ. ἦ ῥα τότ' ἦσαν
Χρύσειοι πάλαι ἄνδρες, ὅκ' ἀντεφίλησ' ὁ φιληθείς.
Εἰ γὰρ τοῦτο πάτερ Κρονίδη πέλοι· εἰ γὰρ ἀγήρω
Ἀθάνατοι· γενεαῖς δὲ διηκοσίῃσιν ἔπειτα
Ἀγγείλειεν ἐμοί τις ἀνέξοδον εἰς Ἀχέροντα,
Ἡ σὴ νῦν φιλότης καὶ τοῦ χαρίεντος ἀΐτεω,
Πᾶσι διὰ στόματος, μετὰ δ' ἠϊθέοισι μάλιστα.
Ἀλλ' ἤτοι τούτων μὲν ὑπέρτεροι οὐρανίωνες
Ἔσσονθ' ὡς ἐθέλουσιν· ἐγὼ δέ σε τὸν καλὸν αἰνῶν,
Ψεύδεα ῥινὸς ὕπερθεν ἀραιῆς οὐκ ἀναφύσω.
Ἢν γὰρ καί τι δάκῃς, τὸ μὲν ἀβλαβὲς εὐθὺς ἔθηκας,
Διπλάσιον δ' ὤνησας· ἔχων δ' ἐπίμετρον ἀπῆλθον.
Νισαῖοι Μεγαρῆες, ἀριστεύοντες ἐρετμοῖς,
Ὄλβιοι οἰκοίητε, τὸν Ἀττικὸν ὡς πέρι ἄλλων
Ξείνων τιμήσασθε Διοκλέα τὸν φιλόπαιδα.
Αἰεί οἱ περὶ τύμβον ἀολλέες εἴαρι πρώτῳ
Κοῦροι ἐριδμαίνουσι φιλήματος ἄκρα φέρεσθαι·
Ὃς δέ κε προσμάξῃ γλυκερώτερα χείλεσι χείλη,
Βριθόμενος στεφάνοισιν ἑὴν πρὸς μητέρ' ἀπῆλθεν.
Ὄλβιος ὅστις παισὶ φιλήματα κεῖνα διαιτᾷ.
Ἦ που τὸν χαροπὸν Γανυμήδεα πόλλ' ἐπιβωστρεῖ,
Λυδίῃ ἶσον ἔχειν πέτρῃ στόμα, χρυσὸν ὁποίῃ
Πεύθονται μὴ φαῦλον, ἐτήτυμον, ἀργυραμοιβοί.



© Centre d'Études Supérieures de la Renaissance - Tours

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ιγ' Εἰδυλλίου.

Τοῦτο μὲν τὸ Εἰδύλλιον ὅλως διηγηματικόν ἐστιν. ἐκτίθεται γὰρ ὁ ποιητὴς τὴν μὲν Ὕλα τὴν ὑπὸ τῶν Νυμφῶν ἁρπαγήν, ὅταν ἐς τὴν κρήνην ἐπιδόρπιον ὕδωρ τῷ Ἡρακλεῖ κομίσων ἀπῴχετο· τοῦ δὲ Ἡρακλέος τὴν πλάνην, καὶ τὴν ὑπὲρ τοῦ Ὕλα βάσανον. Ἰστέον δὲ ὅτι ὁ Ὕλας παῖς ὑπῆρχε Θεοδάμαντος τοῦ δρυτόμου, οὗ ἤρα Ἡρακλῆς.

## ΥΛΑΣ, Εἰδύλλιον ιγ'.

Οὐχ ἁμῖν τὸν ἔρωτα μόνοις ἔτεκ', ὡς ἐδοκεῦμες,
Νικία, ᾧτινι τοῦτο θεῶν ποκα τέκνον ἔγεντο·
Οὐχ ἁμῖν τὰ καλὰ πράτοις καλὰ φαίνεται ἦμες,
Οἳ θνατοὶ πελόμεσθα, τὸ δ' αὔριον οὐκ ἐσορῶμες·
Ἀλλὰ καὶ Ἀμφιτρύωνος ὁ χαλκεοκάρδιος υἱός,
Ὃς τὸν λῖν ὑπέμεινε τὸν ἄγριον, ἤρατο παιδὸς
Τῶ χαρίεντος Ὕλα, τῶ τὰν πλοκαμῖδα φορεῦντος·
Καί μιν πάντ' ἐδίδαξε, πατὴρ ὡσεὶ φίλον υἷα,
Ὅσσα μαθών, ἀγαθὸς καὶ ἀοίδιμος αὐτὸς ἔγεντο·
Χωρὶς δ' οὐδέποκ' ἦς, οὐδ' εἰ μέσον ἆμαρ ὄροιτο,
Οὐδ' ὁκχ' ἁ λευκίππος ἀνατρέχοι ἐς Διὸς ἀώς,
Οὐδ' ὁπότ' ὀρτάλιχοι μινυροὶ ποτὶ κοῖτον ὁρῷεν,
Σεισαμένας πτερὰ ματρὸς ἐπ' αἰθαλόεντι πετεύρῳ·
Ὡς αὐτῷ κατὰ θυμὸν ὁ παῖς πεποναμένος εἴη,
Αὐτῷ δ' εὖ ἕλκων ἐς ἀλαθινὸν ἄνδρ' ἀποβαίη.
Ἀλλ' ὅτε τὸ χρύσειον ἔπλει μετὰ κῶας Ἰήσων
Αἰσονίδας, οἱ δ' αὐτῷ ἀριστῆες συνέποντο,
Πασᾶν ἐκ πολίων προλελεγμένοι, ὧν ὄφελός τι·

Ἵκετο

© Centre d'Études Supérieures de la Renaissance - Tours

## ARGVMENTVM XIII Idyllii.

Hoc Idyllion meram rei gestę narrationē continet. Recenset enim Poeta Hylæ pueri raptum a Nymphis, quum ad fontem, aquam ad cœnam pro Hercule petiturus abiisset: & Herculis errationem, ac grauē, ob amissum Hylam, dolorem. Sciēdum autem Hylam fuisse Theodamantis lignorum sectoris filium, quem amauit Hercules.

## HYLAS, Idyllion XIII.

Non nobis solis amorē peperit, vt arbitrabamur,
O Nicia, cuicunq. tandem Deorum puer hic nat⁹ sit:
Neq. nobis primis ea q̄ pulchra sunt, pulchra viden-
Qui mortales sumus, & crastinū non cernimus: [tur,
Quin & Amphitryonis filius, cui ferreū pectus erat,
Qui sæuum leonem sustinuit, is amauit puerum
Formosum Hylam, cæsariem ferentem:
Ipsumque omnia edocuit, sicut pater carum filium:
Quibus præceptis ipse vir præstans & celebris effectus erat,
Et nunquam ab eo discedebat neque tempore meridiano, [rora,
Nec cū in domū Iouis excurreret albis quadrigis au
Neque cum pulli auium queruli ad nidū respicerēt,
Matre quatiente alas in fuliginosa trabe:
Vt ipsi puer ex sententia elaboratus esset,
Vnaque recte trahens in verum virum euaderet.
Sed cum ad *petendum* aureum vellus nauigaret Iason
Æsonides, & principes ipsum sequerentur
Omnibus ex vrbibus delecti, quorum vsus aliquis esse poterat:



© Centre d'Études Supérieures de la Renaissance - Tours

Aduenit & laborum patiens in diuitem Iaolcum
Alcmenæ filius Mideatidis heroines.
Vnaque cum ipso descendit Hylas in firmam Argo,
Quæ nauis Cyaneas *insulas* concurrentes nõ attigit,
Sed velociter perrupit(in profundum a. ingressa est
Phasidem) [le constiterunt.
Sicut Aquila, magnos fluct⁹: ex quo tẽpore petrę il-
Cum v. Pleiades orirẽtur, & extremæ agrorũ partes
Agnos iuuenculos pascerẽt, vere ad finẽ iã cõuerso,
Tunc nauigationis meminit diuinus flos
Heroum, cauaque sedentes in Argo,
In Hellespontum veniunt, austro iam tertiam diem
spirante,
Appuleruntq. ad portum Propontidis, vbi Cianorũ
Sulcos dilatant boues ducentes aratrum.
Egressi vero in litus, iuxta iuga cœnam instruxerũt
Vespere: multi vero simul vnum torum sternebant.
Pratum enim aderat, magnum toris auxilium.
Hinc butomũ acutum, densumq. secuerunt cyperũ.
Et abiit flauus Hylas, aquam ad cœnam allaturus,
Ipsique Herculi, atque forti Telamoni,
(Qui socii existentes ambo, vna semper instruebant
mensam)
Æreum vas ferens. statim vero fontẽ animaduertit,
In loco decliui, vbi multæ herbæ nascebantur,
Cæruleum chelidonium & viride adiantum,
Et apium virens, & crispa agrostis.
In media vero vnda Nymphæ choream ducebant,
Nymphæ peruigiles, metuenda rusticis numina,
Eunica, & Malis, & *instar* veris *suauiter* aspiciens Ny-
chea.
Iamque puer admouerat potui capacem hydriam,
Immer-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἵκετο χὠ ταλαεργὸς ἐς ἀφνειὰν Ἰαολκὸν
Ἀλκμήνας υἱὸς Μιδεάτιδος ἡρωΐνας·
Σὺν δ' αὐτῷ κατέβαινεν Ὕλας εὔεδρον ἐς Ἀργὼ,
Ἅτις Κυανεᾶν οὐχ ἥψατο συνδρομάδων ναῦς,
Ἀλλὰ διεξάϊξε, (βαθὺν δ' εἰσέδραμε φᾶσιν)
Αἰετὸς ὡς, μέγα λαῖτμα· ἀφ' οὗ τότε χοιράδες ἔσταν.
Ἆμος δ' ἀντέλλοντι Πελειάδες, ἐσχατιαὶ δὲ
Ἄρνα νέον βόσκοντι, τετραμμένου εἴαρος ἤδη,
Τᾶμος ναυτιλίας μιμνάσκετο θεῖος ἄωτος
Ἡρώων· κοίλαν δὲ καθιδρυνθέντες ἐς Ἀργὼ,
Ἑλλάσποντον ἵκοντο, νότῳ τρίτον ἆμαρ ἀέντι·
Εἴσω δ' ὅρμον ἔθεντο Προποντίδος, ἔνθα Κιανῶν
Αὔλακας εὐρύνοντι βόες τρίβοντες ἄροτρον.
Ἐκβάντες δ' ἐπὶ θῖνα, κατὰ ζυγὰ δαῖτα πένοντο
Δειελινοί· πολλοὶ δὲ μίαν στορέσαντο χαμεῦναν.
Λειμὼν γάρ σφιν ἔκειτο, μέγα στιβάδεσσιν ὄνειαρ·
Ἔνθεν βούτομον ὀξὺ, βαθὺν δ' ἐτάμοντο κύπειρον.
Κᾤχεθ' Ὕλας ὁ ξανθὸς ὕδωρ ἐπιδόρπιον οἰσῶν
Αὐτῷ θ' Ἡρακλῆϊ καὶ ἀστεμφεῖ Τελαμῶνι,
(Οἳ μίαν ἄμφω ἑταῖροι ἀεὶ δαίνυντο τράπεζαν)
Χάλκεον ἄγγος ἔχων. τάχα δὲ κράναν ἐνόησεν
Ἡμένῳ ἐν χώρῳ· περὶ δὲ θρύα πολλὰ πεφύκει,
Κυάνεόν τε χελιδόνιον, χλοερόν τ' ἀδίαντον,
Καὶ θάλλοντα σέλινα, καὶ εἰλιτενὴς ἄγρωστις·
Ὕδατι δ' ἐν μέσσῳ νύμφαι χορὸν ἀρτίζοντο,
Νύμφαι ἀκοίμητοι, δειναὶ θεαὶ ἀγροιώταις,
Εὐνίκα καὶ Μαλὶς, ἔαρ θ' ὁρόωσα Νύχεια.
Ἤτοι ὁ κοῦρος ἐπεῖχε ποτῷ πολυχανδέα κρωσσὸν,



© Centre d'Études Supérieures de la Renaissance - Tours

Βάψαι ἐπειγόμενος· ταὶ δ' ἐν χερὶ πᾶσαι ἔφυσαν.
Πασάων γὰρ ἔρως ἁπαλὰς φρένας ἀμφεκάλυψεν
Ἀργείῳ ἐπὶ παιδί· κατήριπε δ' ἐς μέλαν ὕδωρ
Ἀθρόος, ὡς ὅτε πυῤῥὸς ἀπ' οὐρανοῦ ἤριπεν ἀστὴρ
Ἀθρόος ἐς πόντον. ναύτας δέ τις εἶπεν ἑταῖρος,
Κουφότερ' ὦ παῖδες ποιεῖσθ' ὅπλα· πλευστικὸς οὖρος.
Νύμφαι μὲν σφετέροις ἐπὶ γούνασι κοῦρον ἔχοισαι
Δακρυόεντ', ἀγανοῖσι παρεψυχῶντ' ἐπέεσσιν·
Ἀμφιτρυωνιάδας δὲ ταρασσόμενος περὶ παιδί,
Ὤιχετο, Μαιωτιστὶ λαβὼν εὐκαμπέα τόξα,
Καὶ ῥόπαλον, τό οἱ αἰὲν ἐχάνδανε δεξιτερὴ χείρ.
Τρὶς μὲν Ὕλαν ἄϋσεν ὅσον βαθὺς ἤρυγε λαιμός,
Τρὶς δ' ἄρ ὁ παῖς ὑπάκουσεν· ἀραιὰ δ' ἵκετο φωνὰ
Ἐξ ὕδατος· παρεὼν δὲ μάλα σχεδὸν, εἴδετο πόῤῥω.
Ὡς δ' ὁπότ' ἠϋγένειος ἀπόπροθι λὶς ἐσακούσας
Νεβρῷ φθεγξαμένας τις ἐν ὤρεσιν, ὠμοφάγος λὶς,
Ἐξ εὐνᾶς ἔσπευσεν ἑτοιμοτάτην ἐπὶ δαῖτα·
Ἡρακλέης τοιοῦτος ἐν ἀτρίπτοισιν ἀκάνθαις
Παῖδα ποθῶν δεδόνατο, πολὺν δ' ἐπελάμβανε
χῶρον.
Σχέτλιοι οἱ φιλέοντες. ἀλώμενος ὅσσ' ἐμόγησεν
Ὤρεα καὶ δρυμώς· τὰ δ' Ἰάσονος ὕστερα πάντ' ἦς.
Ναῦς μένεν ἄρμεν' ἔχοισα μετάρσια τῶν παρεόντων·
Ἱστία δ' ἠΐθεοι μεσονύκτιον ἐξεκάθαιρον,
Ἡρακλῆα μένοντες· ὁ δ' ᾇ πόδες ἆγον ἐχώρει
Μαινόμενος· χαλεπὸς γὰρ ἔσω θεὸς ἧπαρ ἄμυσσεν.
Οὕτω μὲν κάλλιστος Ὕλας μακάρων ἀριθμεῖται.
Ἡρακλέην δ' ἥρωες ἐκερτόμεον λιποναύταν,

Οὕνε-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Immergere cupiens. illæ vero omnes manibus eius inhæserunt;
Omnium enim mentes teneras amor occupauerat,
Erga puerũ Argiuum: cecidit vero in vndas nigrãtes
Confertus, *id est subito*; sicut quando rutilans stella de cælo cadit
Præceps in mare: & ex nautis quispiam sociis ait:
Leuiora o pueri armamenta facite; *nam* secundus ventus *spirabit*.
Nymphæ suo in gremio puerum tenentes,
Lacrymantem blandis consolabantur sermonibus.
Hercules vero *animo* perturbatus ob puerum,
Ibat incuruo arcu accepto Mæotice, *i. more Scytharũ*,
Et claua, quam semper dextera manus ipsius capiebat,
Ter Hylam inclamauit, quantum profundo gutture clamare valebat.
Ter puer exaudiuit, & exilis vox peruenit
Ex vndis. cũq. valde ppe adesset, pcul abesse videbat.
Ac veluti comatus leo, cum procul exaudiuit [bus,
Hinnulũ clamantẽ, aliqs *inquã* leo crudiuor in mõti-
E cubili suo properat ad paratissimam cœnam:
Ita Hercules in inuiis sentibus
Pueri desiderio errabat, spaciosam v. cursu corripiebat regionem.
Miseri sunt amantes. errabundus quantũ laborauit
Per mõtes & saltus! res v. Iasonis posteriores illi erãt.
Nauis stabat habẽs antẽnas suspẽsas ab illis q aderãt:
Iuuenes vero media nocte vela purgabant, [bãt,
Herculẽ expectãtes. At ille ruebat quo pedes duce-
Furibundus: nam sæuus deus intus illi iecur laniabat.
Sic pulcherrimus Hylas inter immortales numeratur.
Herculẽ v. heroes criminabãtur, vt desertorẽ nauis,

Quod

© Centre d'Études Supérieures de la Renaissance - Tours

Quod deseruisset Argo habentem triginta remigũ transtra,
Pedes v. venisset ad Colchos, & inhospitalẽ Phasidẽ.

## ARGVMENTVM XIIII Idyllii.

Inscribitur hoc Idyllion Cyniscę amor. Vxor enim Æschinis magis addicta erat Lyco cuidam vicini filio, cõtempto Æschine. Thyonicho autem quodam eius amico illum accedẽte, quem longo tempore non viderat, narrat illi quæ sibi a Cynisca acciderãt. In fine vero Thyonichus recitat breue quidem, sed illustre Ptolemęi Philadelphi encomium.

## CYNISCAE AMOR, vel THYONICHUS, Idyllion xiiii.

AESCHINES & THYONICHVS.

Multum saluere Thyonichum *iubeo*. *TH*. Imo tibi ipsi *salutem opto*,
Æschine. *Æ*. Quam serus, *i. longo tempore non visus*, *ades*. *TH*. Serus? quæ vero cura tibi *est?*

*Æschines.*

Nõ optime nobiscum agitur, Thyoniche. *TH*. propterea sane macer es,
Et hæc barba inculta est, squalidique capilli.
Talis nuper *huc* aduenit quidam Pythagoricus,
Pallens, discalceatus; Atheniensem vero se esse dicebat:
Appetebat ille (vt opinor) farinam assatam.

*Æschines.*

Iocaris tu quidem, o bone: me vero formosa Cynisca

Con-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Οὕνεκεν ἠρώησε τριακοντάζυγον Ἀργώ·
Πεζὸς δ' ἐς Κόλχως τε καὶ ἄξενον ἵκετο Φᾶσιν.

---

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ιδ' Εἰδυλλίου.

Ἐπιγράφεται τοῦτο τὸ εἰδύλλιον Κυνίσκας ἔρως. ἡ γὰρ γυνὴ Αἰσχίνου μᾶλλον προσεῖχε Λύκῳ τινὶ γείτονος ὄν, καταφρονοῦσα τοῦ Αἰσχίνου. Θυωνίχου δέ τινος ἑταίρου προσιόντος αὐτῷ διὰ χρόνου, διηγεῖται αὐτῷ τὰ περὶ Κυνίσκας. κατὰ δὲ τὸ τέλος λέγει καὶ ὁ Θυώνιχος βραχὺ μὲν, ἀλλὰ λαμπρὸν Πτολεμαίου τοῦ Φιλαδέλφου ἐγκώμιον.

## ΚΥΝΙΣΚΑΣ ΕΡΩΣ, ἢ ΘΥΩΝΙΧΟΣ, Εἰδύλλιον ιδ'.

ΑΙΣΧΙΝΗΣ καὶ ΘΥΩΝΙΧΟΣ.

Χαίρειν πολλὰ τὸν ἄνδρα Θυώνιχον. Θυ. Ἄλλα τοι αὐτῷ,
Αἰσχίνα. Αἰσχ. ὡς χρόνιος. Θυ. Χρόνιος; τί δέ τοι τὸ μέλημα;

Αἰσχίνης.

Πράσσομες οὐχ ὡς λῷστα Θυώνιχε. Θυ. Ταῦτ' ἄρα λεπτός,
Χὠ μύσταξ πολὺς οὗτος ἄρ', αὐαλέοι δὲ κίκιννοι·
Τοιοῦτος πρώαν τις ἀφίκετο Πυθαγορικτάς,
Ὠχρὸς κἀνυπόδατος, Ἀθηναῖος δ' ἔφατ' ἦμεν.
Ἤρατο μὰν καὶ τῆνος (ἐμὶν δοκεῖ) ὀπτῶ ἀλεύρω.

Αἰσχίνης.

Παίσδεις ὦ 'γαθ' ἔχων· ἐμὲ δ' ἁ χαρίεσσα Κυνίσκα ὑβρί-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ὑβρίσδει· λασῶ δὲ μανείς ποκα· θρὶξ ἀνὰ μέσσον.

Θυώνιχος.

Τοιοῦτος μὲν ἀεὶ τὺ φίλ' Αἰσχίνα, ἅσυχος, ὀξύς,
Πάντ' ἐθέλων κατὰ καιρόν· ὅμως δ' εἰπὸν τί τὸ καινόν.

Αἰσχίνης.

Ὡργεῖος, κἠγών, καὶ ὁ Θεσσαλὸς ἱπποδιώκτας
Ἄπις καὶ Κλεόνικος ἐπίνομες ὁ στρατιώτας
Ἐν χώρῳ παρ' ἐμίν· δύο μὲν κατέκοψα νεοσσώς,
Θηλάζοντά τε χοῖρον· ἀνῷξα δὲ βύβλινον αὐτοῖς
Εὐώδη, τετόρων ἐτέων, σχεδὸν ὡς ἀπὸ λανῶ.
Βολβός τις κοχλίας ἐξηρέθη· ἧς πότις ἁδύς.
Ἤδη δὲ προϊόντος, ἔδοξ' ἐπιχεῖσθαι ἄκρατον,
Ὧτινος ἤθελ' ἕκαστος· ἔδει μόνον ὧτινος εἰπεῖν.
Ἄμμες μὲν φωνεῦντες ἐπίνομες ὡς ἐδέδοκτο·
Ἁ δ' οὐδέν, παρεόντος ἐμεῦ. τίν' ἔχειν με δοκεῖς νοῦν;
Οὐ φθεγξῇ; λύκον εἶδες; ἔπαιξέ τις ὡς σοφὸς εἶπεν·
Κἤφθα· εὐμαρέως κεν ἀπ' αὐτᾶς καὶ λύχνον ἅψαις.
Ἐντὶ Λύκος, Λύκος ἐντί, Λάβα τῶ γείτονος υἱός,
Εὐμάκης χ' ἁπαλός, πολλοῖς δοκέων καλὸς ἦμες·
Τούτω τὸν κλύμενον κατετάκετο τῆνον ἔρωτα.
Χἀμὶν τοῦτο δι' ὠτὸς ἐγίνετο ποθ' ἥσυχα οὕτως·
Οὐ μὰν ἐξήταξα, μάταν εἰς ἄνδρα γενειῶν.
Ἤδη δ' οὖν πόσιος καὶ τέτταρες ἐν βάθει ἦμες,
Χὠ Λαρισσαῖος τὸν ἐμὸν Λύκον ᾆδεν ἀπ' ἀρχῆς,
Θεσσαλικόν τι μέλισμα, κακαὶ φρένες· ἁ δὲ Κυνίσκα
Ἔκλαεν ἐξαπίνας θαλερώτερον ἢ παρὰ ματρὶ
Παρθένος ἑξαέτις κόλπω ἐπιθυμήσασα.
Τᾶμος ἐγών, τὸν ἴσης τὺ Θυώνιχε, πὺξ ἐπὶ κόῤῥας



© Centre d'Études Supérieures de la Renaissance - Tours

Contumelia afficit: insaniam, priusquam quis sentiat: vix pili interuallo a furore absum.

*Thyonichus.*

Talis tu semp es, care Æschine, *nũc* lenis, *mox* asper,
Omnia requirens opportune. at tamen dic quid noui est?

*Æschines.*

Argiuus, & ego, & Thessalus eques
Apis, & Cleonicus miles, *una* potabamus
In loco apud me: duos quidem pullos mactaueram,
Et lactentem porcellum: & aperui illis *vinũ* Byblinũ
Odoriferum, quatuor annorum, prope sicut a prelo:
Bulbus & cochlea promebantur; erat potus dulcis.
Iam v. procedente *tempore* visum est infundere merũ
Cuiuscunque nomen quisque vellet: tantũ oportebat dicere cuius.
Nos quidem clamantes bibebamus sicut placebat.
Illa v. nihil me p̃sente. quid mihi animi fuisse cẽses!
Non loqueris? lupum vidisti? iocatus est perinde ac solers quispiam ait.
Et incẽsa est: facile ab ea lucernã incẽdere potuisses.
Lycus est, certe Lycus est, filius Labę vicini,
Procerus, & tener, qui multis pulcher esse videtur.
Huius insigni illo amore tabescebat:
Idque mihi aliquando clam indicatum fuit.
Neque tamen rem exploraui, frustra hanc barbam virilem alens.
Nos quatuor iam probe poti eramus,
Et Larissæus cœpit de Lyco meo ab initio canere
Thessalicũ quoddã carmen, mala mẽs: Cynisca vero
Mox fleuit vehementius, quam circa matrem
Puella sex annorum gremium *matris* appetens.
Tunc ego, quẽ tu nosti, Thyoniche, pugnũ in faciẽ
Impe-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Impegi, *moxque* rursus alium. at *illa* cõtrahens vestes,
Foras abiit celeriter: Mea pestis, *inquam*, non tibi placeo?
Alius tibi iucundior in sinu est: alium abiens
Calefac amatorẽ: illi tuæ lacrymæ pro pomis fluũt.
Quemadmodum autem hirundo, *quæ* cibum pullis sub tectum tulit,
Mox cito reuolat vt alium cibum adferat:
*Sic* illa celerior e molli culcitra cucurrit,
Recta per portã foresq. geminas, qua pedes ducebãt.
Prouerbio quidem dicitur, Abiit & taur' in siluam.
Viginti iam, octo iam, nouẽ iam, decem alii dies *præterierunt*,
Hodie vndecimus est, adde duos; & duo mẽses erũt
Ex quo fuim' separati, neq. more Thracũ tõsus sum.
Illa nunc Lyci tota est; Lyco etiam nocte patet:
Nos v. neq. ratione aut numero vllo digni cẽsemur,
Miseri Megarenses, in contemptissima sorte.
Et si modo durarem, omnia recte essent: [uimus:
Nũc v. o Thyoniche, tanquã mus, vt aiũt, picẽ gusta-
Quodq. pharmacum sit contra perplexum amorem,
Nõ scio. Verũ Simus, qui Epichalci filiam amabat,
Meus æqualis, cum aliquo nauigasset, sanus rediit.
Nauigabo & ego per mare, neque ex postremis *ero*,
Neque ex primis fortasse, sed mediocris quidã miles.

*Thyonichus.*

Vtinam tibi ex animo succedant quæ cupis
Æschine. si vero omnino decretum tibi est peregre proficisci,
Ptolemæ' præbet stipẽdia: homini libero vir quã optimus. *Æschines.*
Cętera v. qualis vir est? *TH.* Homini libero quam optimus,

Beni-

Ἤλασα, κἄλλαν αὖθις· ἀνειρύσασα δὲ πέπλως,
Ἔξω ἀπῴχετο θᾶσσον. Ἐμὸν κακὸν, οὔ τοι ἀρέσκω;
Ἄλλος τοι γλυκίων ὑποκόλπιος· ἄλλον ἰοῖσα
Θάλπε φίλον· τήνῳ τὰ σὰ δάκρυα μᾶλα ῥέοντι.
Μάστακα δ᾽ οἷα τέκνοισιν ὑπωροφίοισι χελιδὼν
Ἄψορρον ταχινὰ πέτεται βίον ἄλλον ἀγείρειν,
Ὠκυτέρα μαλακᾶς ἀπὸ δίφρακος ἔδραμε τήνα
Ἰθὺ δι᾽ ἀμφιθύρου καὶ δικλίδος, ᾇ πόδες ἆγον·
Αἶνος θὴν λέγεταί τις, ἔβα καὶ ταῦρος ἀν᾽ ὕλαν.
Εἴκατι ταὶ δ᾽, ὀκτὼ ταὶ δ᾽, ἐννέα ταὶ δὲ, δέκ᾽ ἄλλαι,
Σάμερον ἑνδέκατος· ποτίθει δύο, καὶ δύε μᾶνες,
Ἐξ ὧ ἀπ᾽ ἀλλάλων· οὐδὲ Θρᾳκιστὶ κέκαρμαι.
Ἃ δὲ, Λύκων νῦν πάντα, Λύκῳ καὶ νυκτὸς ἀνῷκται·
Ἄμμες δ᾽ οὔτε λόγω τινὸς ἄξιοι, οὔτ᾽ ἀριθμητοὶ,
Δύστανοι Μεγαρῆες, ἀτιμοτάτῃ ἐνὶ μοίρᾳ.
Κεἰ μὲν ἀποστέρξαιμι, τὰ πάντα κεν εἰς δέον ἕρποι·
Νῦν δὲ πόθ᾽, ὡς μῦς, φαντὶ, Θυώνιχε, γεύμεθα πίσσας.
Χὤ τι τὸ φάρμακόν ἐστιν ἀμηχανέοντος ἔρωτος,
Οὐκ οἶδα· πλὰν Σῖμος ὁ τᾶς Ἐπιχάλκου ἐρασθεὶς,
Ἐκπλεύσας, ὑγιὴς ἐπανῆλθ᾽, ἐμὸς ἡλικιώτας.
Πλευσοῦμαι κἠγὼ διαπόντιος· οὔτε κάκιστος,
Οὔτε πρᾶτος ἴσως, ὁμαλὸς δέ τις ὁ στρατιώτας.

Θυώνιχος.

Ὤφελε μὰν χωρεῖν κατὰ νοῦν τεὸν ὧν ἐπεθύμεις
Αἰσχίνα. εἰ δ᾽ οὕτως ἄρα σοι δοκεῖ ὥστ᾽ ἀποδημεῖν,
Μισθοδότας Πτολεμαῖος ἐλευθέρῳ οἷος ἄριστος.

Αἰσχίνης.

Τἄλλα δ᾽ ἀνὴρ ποῖός τις; Θυώνιχος. Ἐλευθέρῳ ὅστις
ἄριστος.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Εὐγνώμων, φιλόμωσος, ἐρωτικὸς, εἰς ἄκρον ἁδύς·
Εἰδὼς τὸν φιλέοντα, τὸν οὐ φιλέοντ' ἔτι μᾶλλον·
Πολλοῖς πολλὰ διδούς· αἰτεύμενος, οὐκ ἀνανεύων,
Οἷα χρὴ βασιλῆ'· αἰτεῖν δὲ δεῖ οὐκ ἐπὶ παντί,
Αἰσχίνα· ὥστ' εἴ τοι κατὰ δεξιὸν ὦμον ἀρέσκει
Λῶπον ἄκρον περονᾶσθαι, ἐπ' ἀμφοτέρων δὲ βεβακὼς
Τολμασεῖς ἐπιόντα μένειν θρασὺν ἀσπιδιώταν,
Αἶ τάχος εἰς Αἴγυπτον. ἀπὸ κροτάφων πελόμεσθα
Πάντες γηραλέοι, καὶ ἐπισχερὼ ἐς γένυν ἕρπει
Λευκαίνων ὁ χρόνος. ποιεῖν τι δεῖ οἷς γόνυ χλωρόν;

---

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ιε' Εἰδυλλίου.

Ἐπιγράφεται μὲν τοῦτο τὸ εἰδύλλιον Συρακούσιαι ἢ Ἀδωνιάζουσαι. ὑποτίθεται δέ τινας Συρακουσίας τὸ γένος, παρεπιδημούσας ἐν Ἀλεξανδρείᾳ, καὶ ἐπὶ θέαν ἐξιούσας τῆς πομπῆς τοῦ κομισθέντος Ἀδώνιδος ὑπὸ Ἀρσινόης τῆς τοῦ Πτολεμαίου τοῦ Φιλαδέλφου γυναικός. ἔθος δὲ εἶχον οἱ ἐν Ἀλεξανδρείᾳ τοῖς Ἀδωνίοις διακομίσαντες τὰ εἴδωλα τοῦ Ἀδώνιδος μετὰ τῶν νομιζομένων ἐπὶ τὴν θάλασσαν κομίζειν. Διαγράφει δὲ ὁ Θεόκριτος, χαριζόμενος τῇ βασιλίδι, ἄδουσαν τινὰ, καὶ τὴν πολυτέλειαν τῆς Ἀρσινόης δι' ᾠδῆς ἀπαγγέλλουσαν.

## ΣΥΡΑΚΟΥΣΙΑΙ, Ἢ ΑΔΩΝΙΑΖΟΥΣΑΙ, Εἰδύλλιον ιε'.

ΓΟΡΓΩ, ΕΥΝΟΗ, ΠΡΑΞΙΝΟΗ, ΓΡΑΥΣ, ΞΕΝΟΣ.

Ἔνδοι Πραξινόα; Εὐ. Γοργὼ φίλα, ὡς χρόνῳ ἔνδοι.
Πραξινόη.
Θαῦμ' ὅτι καὶ νῦν ἦνθες. ὅρη δίφρον Εὐνόα αὐτῇ·

Ἐμβα-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Benignus, Musarũ studios⁹, amabilis, sume iucund⁹,
Qui nouit amicum, inimicum vero etiam magis:
Multis multa largiens, rogatus non abnuens,
Qualia regem *tribuere* cõuenit: neque vero de omni
re petere oportet, [cet
Æschine. Quapropter, si tibi in dextro humero pla-
Sigulum summum fibula connectere, vtroque ve-
ro *pede* innixus
Audebis irruentem ferocẽ *hostem* scutatũ sustinere;
Quamprimũ in Ægyptũ *eas*. a temporib. fieri incipi-
Omnes senes, atq. inde ordine in genas serpit [mus
Ætas, quę canos facit: gerere aliquid oportet *eos* qui-
bus est genu viride, *h. e. qui florent ætate.*

---

ARGVMENTVM XV
Idyllii.

Inscribitur hoc Idyllion Syracusiæ siue Adonidis festum celebrantes. Tractat autem de Syracusanis quibusdam genere, quæ Alexandrię peregrinantur, & exeunt ad spectaculum pompæ, qua Adonis ab Arsinoe vxore Ptolemæi Philadelphi gestabatur. Morem autem habebant Alexandrini in Adoniis festis, eos qui Adonidis simulacra gestabant, vna cum solennibus ad mare ferre. Describit autem Theocritus, vt reginæ gratificetur, cãtricem quandam, sumptuosum Arsinoes apparatum carmine recensentem.

SYRACVSIÆ, seu ADONIDIS
festum celebrantes, Idyllion xv.

GORGO, EVNOE, PRAXINOE, ANVS,
Hospes.

Estne intus Praxinoe? *EVN.* Cara Gorgo, vt se-
ro! est intus.
*PRA.* Mirum quod & nunc ades: Eunoe dispice il-
li sellam. H Iniice

Iniice & puluinum. *EV.* Habet optime. *PRA.* Sede.

*Gorgo.*

O incorpoream animam: vix vobis salua euasi,
Praxinoe, a multa turba, & multis curribus.
Vbique sunt crepidæ, vbique chlamydati viri.
Et via immensa est: tu vero longius a me habitas.

*Praxinoe.*

Hæc demens ille (*maritus meus*) extrema terræ occupauit veniens,
Specum, non domum, ne vicinæ essemus
Inter nos, vt mihi aduersaretur, inuida pestis mihi semper.

*Gorgo.*

Ne dic de tuo marito talia, cara Dione,
Paruulo præsente: vides, mulier, vt te aspicit.

*Praxinoe.*

Bono animo sis, Zopyriõ, care fili, nõ dico de patre.

*Gorgo.*

Puer intelligit, per Proserpinam: Pulcher est pater.

*Praxinoe.*

Pater quidem ille nuper (nam nuper dicam scilicet
Omnia) nitrũ & fucũ cũ ex taberna empturus esset,
Rediit salem adferens nobis, homo tredecim cubitorum longitudine.

*Gorgo.*

Eodem modo meus *maritus* Dioclides agit, pernicies argenti;
Septẽ drachmis pilos caninos, veterũ auulsiones pe- [ratum;
Quinque vellera emit heri, nil nisi sordes, laborem super laborem.
Verum age, cape amiculum, & peplum fibulatum.
Eamus ad *aulam* diuitis regis Ptolemæi,

Spe-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἔμβαλε καὶ ποτίκρανον. Εὐ. Ἔχει κάλλιστα. Πρ. Καθίζευ.

Γοργώ.

Ὢ τᾶς ἀδεμάτου ψυχᾶς· μόλις ὔμμιν ἐσώθην,
Πραξινόα, πολλῶ μὲν ὄχλου, πολλῶν δὲ τεθρίππων.
Παντᾶ κρηπῖδες, παντᾶ χλαμυδηφόροι ἄνδρες·
Ἁ δ' ὁδὸς ἄτρυτος· τὺ δ' ἑκαστοτέρω ἐμ' ἀποικεῖς.

Πραξινόη.

Ταῦθ' ὁ πάραρος τῆνος ἐπ' ἔσχατα γῆς ἔλαβ' ἐνθὼν
Ἰλεὸν, οὐκ οἴκησιν· ὅπως μὴ γείτονες ὦμες
Ἀλλάλαις, ποτ' ἔριν φθονερὸν κακὸν αἰὲν ἐμοῖο.

Γοργώ.

Μὴ λέγε τὸν τεὸν ἄνδρα φίλα τοιαῦτα Δίωνα,
Τῶ μικκῶ παρεόντος· ὅρη γύναι ὡς ποθορῇ τύ.

Πραξινόη.

Θάρσει Ζωπυρίων γλυκερὸν τέκος, οὐ λέγω ἀπφῦν.

Γοργώ.

Αἰσθάνεται τὸ βρέφος, ναὶ τὰν πότναν. καλὸς ἀπφῦς.

Πραξινόη.

Ἀπφῦς μὲν τῆνος πρῶαν (λέγομες πρῶαν θὴν
Πάντα) νίτρον καὶ φῦκος ἀπὸ σκανᾶς ἀγοράσδων,
Ἦνθε φέρων ἅλας ἄμμιν, ἀνὴρ τρισκαιδεκάπηχυς.

Γοργώ.

Χὠμὸς ταὐτά γ' ἔχει, φθόρος ἀργυρίω, Διοκλείδας.
Ἑπτὰ δραχμῶν κυνάδας, γραιᾶν ἀποτίλματα πηρῶν,
Πέντε πόκως ἔλαβ' ἐχθὲς, ἅπαν ῥύπος, ἔργον ἐπ' ἔργῳ.
Ἀλλ' ἴθι, τὠμπέχονον καὶ τὰν περονατρίδα λαζεῦ.
Βᾶμες τῶ βασιλῆος ἐς ἀφνειῶ Πτολεμαίω.

Θασόμεναι τὸν Ἄδωνιν. ἀκούω χρῆμα καλόν τι
Κοσμῆν τὰν βασίλισσαν. Πρ. Ἐν ὀλβίῳ ὄλβια πάντα.
Ὧν εἶδες, χὤν εἶπας ἰδοῖσα τὺ τῷ μὴ ἰδόντι.

Γοργώ.

Ἕρπειν ὥρα κ' εἴη· ἀεργοῖς αἰὲν ἑορτά.

Πραξινόη.

Εὐνόα αἶρε τὸ νᾶμα, καὶ ἐς μέσον αἰνόθρυπτε
Θὲς πάλιν· αἱ γαλέαι μαλακῶς χρῄζοντι καθεύδειν.
Κινεῦ δή, φέρε θᾶσσον ὕδωρ· ὕδατος πρότερον δεῖ.
Ἁ δ' ὡς νᾶμα φέρει. δὸς ὅμως· μὴ πουλὺ ἄπληστε.
Ἔγχει ὕδωρ. δύστανε· τί μευ τὸ χιτώνιον ἄρδεις;
Παῦσαι· ὁκοῖα θεοῖς ἐδόκει, τοιαῦτα νένιμμαι.
Ἁ κλὰξ τᾶς μεγάλας πᾷ λάρνακος; ὧδε φέρ' αὐτάν.

Γοργώ.

Πραξινόα, μάλα τοι τὸ καταπτυχὲς ἐμπερόναμα
Τοῦτο πρέπει. λέγε μοι, πόσσω κατέβα τοι ἀφ' ἱστῶ;

Πραξινόη.

Μὴ μνάσῃς Γοργοῖ· πλέον ἀργυρίω καθαρῶ μνᾶν
Ἢ δύο. τοῖς δ' ἔργοις καὶ τὰν ψυχὰν ποτέθηκα.

Γοργώ.

Ἀλλὰ κατὰ γνώμαν ἀπέβα τοι. Πραξινόη. Ναὶ καλὸν εἶπας.
Τὠμπέχονον φέρε μοι καὶ τὰν θολίαν κατὰ κόσμον
Ἀμφίθες. οὐκ ἀξῶ τὺ τέκνον· μορμώ, δάκνει ἵππος.
Δάκρυε ὅσσα θέλεις· χωλὸν δ' οὐ δεῖ τὺ γενέσθαι.
Ἕρπωμες. Φρυγία τὸν μικκὸν παῖσδε λαβοῖσα·
Τὰν κύν' ἔσω κάλεσον, τὰν αὐλείαν ἀπόκλαξον.
Ὦ θεοί, ὅσσος ὄχλος· πῶς καὶ πόκα τοῦτο περᾶσαι

Χρὴ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Spectaturæ Adonidem: audio pulchrum aliquid
Instruere reginam. *PR.* Apud opulẽtos omnia sunt opulenta;
Verum tu *narra* illi qui non vidit ea quæ dicis, quæq; vidisti.

*Gorgo.*

Ire nobis tempus fuerit: otiosis semper feriæ.

*Praxinoe.*

Eunoa fer aquã: & in medium, tu quam deliciæ non
Repone. Feles molliter cubare volunt. [decent,
Moue te, affer propere aquam; nam aqua primum opus est.
Ecce vt fert aquam: da tamen: nõ multã tu ô profusa
Infunde aquã: infelix cur meã tunicã cõmadefacis?
Desine: sicut diis visum est, ita lota sum.
Vbi clauis magnæ cistæ *est?* huc affer ipsam.

*Gorgo.*

Praxinoe, valde te sinuosa vestis fibulata
Hæc decet. dic mihi, quanti constitit tibi a iugo telæ?

*Praxinoe.* [*vna.*

Ne memores Gorgo, pluris quam argenti puri mina
Vel duabus: operi insuper etiã animã affixam habui.

*Gorgo.*

Atq; sane ex sẽtẽtia processit. *PR.* Certe bene dixisti.
Affer mihi amiculum & vmbellam: decenter
Impone. non te vna ducam fili; larua *fortis est,* mordet equus.
Plora quantum voles, non oportet te claudum fieri.
Eamus. heus Phrygia, paruulũ accipe, cumq; eo lude,
Canem intro voca, claude portam vestibuli.
Dii boni, quanta turba quomodo & quando tandem pertransire



© Centre d'Études Supérieures de la Renaissance - Tours

Oportet hoc malum! *sunt vt* formicę innumerę & infinitæ.
Multa præclara facinora a te facta sunt, o Ptolemæe,
Postquã ad superos pater migrauit. Nemo maleficus
Lædit amplius viatorẽ, dolose subiẽs more Ægyptio:
Quemadmodum antea astu exercitati homines ludebant,
Inter se similes, malos lusus, omnes contentiosi.
Dulcissima Gorgo, quid de nobis fiet? bellatores
Equi regis *adsunt*. Amice, ne me proculces:
Erectus constitit hic rufus: ecce quam sæuus & ferox.
Eunoe non fugies? perimet hic suum sessorem.
Bene mecum actũ est, quod puer meus manet intus.

*Gorgo.*

Animum recipe, Praxinoe: iam sumus post eos.
Illi processerũt in campum. *Pr. Et* ego iã me colligo.
Equũ enim & frigidũ anguem, hæc duo semper timui
Indevsq. a pueritia. festinemus: ingens multitudo nobis affluit.

*Gorgo.*

Ex aula ne venis o mater? *A.* Ego, o filię. *G.* An intrare
Facile est? *A N.* Conando Græci Troiã peruenerũt:
Optima filia, conando omnia perficiuntur.

*Gorgo.*

Anus abiit, nobis mera oracula respondens.
Omnia norunt mulieres, etiã quomodo Iupiter duxerit Iunonem.
Vide Praxinoe quanta ante portam turba est.

*Praxinoe.*

Immensa. Gorgo manum porrige mihi, tuq; apprehende
Eunoe manum Eutychidos: adhæreto illi, ne a nobis aberres.

Omnes

© Centre d'Études Supérieures de la Renaissance - Tours

Χρὴ τὸ κακόν; μύρμακες ἀνήριθμοι καὶ ἄμετροι.
Πολλά τοι ὦ Πτολεμαῖε πεποίηται καλὰ ἔργα,
Ἐξ ὧ ἐν ἀθανάτοις ὁ τεκών· οὐδεὶς κακοεργὸς
Δαλεῖται τὸν ἰόντα, παρέρπων Αἰγυπτιστί·
Οἷα πρὶν ἐξ ἀπάτας κεκροτημένοι ἄνδρες ἔπαισδον,
Ἀλλάλοις ὁμαλοὶ κακὰ παίγνια, πάντες ἐρειοί.
Ἁδίστα Γοργοῖ, τί γενοίμεθα; τοὶ πολεμισταὶ
Ἵπποι τῶ βασιλῆος. ἄνερ φίλε, μή με πατήσῃς.
Ὀρθὸς ἀνέστα ὁ πυῤῥός. ἴδ' ὡς ἄγριος, κυνοθαρσής.
Εὐνόα οὐ φευξῆ; διαχρησεῖται τὸν ἄγοντα.
Ὠνάθην μεγάλως ὅτι μοι τὸ βρέφος μένει ἔνδον.

Γοργώ.

Θάρσει Πραξινόα· καὶ δὴ γεγενήμεθ' ὄπισθεν.
Τοὶ δ' ἔβαν ἐς χώραν. Πρ. Καὐτὰ συναγείρομαι ἤδη.
Ἵππον καὶ τὸν ψυχρὸν ὄφιν τὰ μάλιστα δεδοίκω
Ἐκ παιδός. σπεύδωμες· ὄχλος πολὺς ἄμμιν ἐπιῤῥεῖ.

Γοργώ.

Ἐξ αὐλᾶς ὦ μᾶτερ; Γρ. Ἐγὼν, ὦ τέκνα. Γοργώ. Παρενθεῖν
Εὐμαρές; Γρ. Ἐς Τροίαν πειρώμενοι ἦνθον Ἀχαιοί.
Κάλλιστα παίδων, πείρᾳ θὴν πάντα τελεῖται.

Γοργώ.

Χρησμὼς ἁ πρεσβῦτις ἀπῴχετο θεσπίξασα.
Πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἠγάγεθ' Ἥρην.
Θᾶσαι Πραξινόα περὶ τὰς θύρας ὅσσος ὅμιλος.

Πραξινόη.

Θεσπέσιος. Γοργοῖ δὸς τὰν χέρα μοι, λαβὲ καὶ τὺ
Εὐνόα Εὐτυχίδος· πότεχ' αὐτᾷ, μή τυ πλανηθῇς.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Πᾶσαι ἄμ' εἰσένθωμες ἀπείξ· ἔχου Εὐνόα ἁμῶν.
Ὤ μοι δειλαία, δίχα μοι τὸ θερίστριον ἤδη
Ἔσχισται Γοργοῖ. ποτ τῶ Διὸς, εἴ τι γένοιο
Εὐδαίμων, ὤνθρωπε, φυλάσσεο τὠμπέχονόν μοι.

Ξένος.

Οὐκ ἐπ' ἐμὶν μὲν, ὅμως ἦ φυλάξομαι. Πραξινόη. Ἀθρόος ὄχλος·
Ὠθεῦνθ' ὥστε ὕες. Ξένος. Θάρσει γύναι. ἐν καλῷ εἰμές.

Πραξινόη.

Κεἰς ὥρας κἤπειτα φίλ' ἀνδρῶν ἐν καλῷ εἴης,
Ἄμμε περιστέλλων· χρηστοῦ κ' οἰκτίρμονος ἀνδρός.
Θλίβεται Εὐνόα ἄμμιν. ἄγ' ὦ δειλὰ τὺ βιάζευ.
Κάλλιστ'· ἔνδοι πᾶσαι, ὁ τὰν νυὸν εἶπ' ἀποκλάξας.

Γοργώ.

Πραξινόα, πόταγ' ὧδε· τὰ ποικίλα πρᾶτον ἄθρησον,
Λεπτὰ καὶ ὡς χαρίεντα· θεῶν περονάματα φασεῖς.

Πραξινόη.

Πότνι' Ἀθηναία, ποῖαί σφ' ἐπόνασαν ἔριθοι;
Ποῖοι ζωογράφοι τἀκριβέα γράμματ' ἔγραψαν;
Ὡς ἔτυμ' ἑστήκαντι, καὶ ὡς ἔτυμ' ἐνδινεῦντι,
Ἔμψυχ', οὐκ ἐνυφαντά. σοφόν τι χρῆμ' ὤνθρωπος·
Αὐτὸς δ' ὡς θαητὸς ἐπ' ἀργυρέω κατάκειται
Κλισμῶ, πρᾶτον ἴουλον ἀπὸ κροτάφων καταβάλλων
Ὁ τριφίλατος Ἄδωνις, ὁ κἠν Ἀχέροντι φιλεῖται.

Ξένος.

Παύσασθ' ὦ δύστανοι ἀνάνυτα κωτίλλοισαι.
Τρυγόνες ἐκκναισεῦντι πλατυάσδοισαι ἅπαντα.

Γορ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Omnes vna cõfertim intremus. adhęreto nobis Eu-
Me miseram, dupliciter vestis mea iam [noe.
Scissa est, o Gorgo: per Iouem vtinam sis
Felix, o homo, conserua quæso mihi amiculum.

*Hospes.*

Nõ penes me est; tamen conseruabo. *PR.* Conferta turba est,
Trudunt vt sues. *Hosp.* Bono animo sis mulier, in tuto sumus.

*Praxinoe.*

Et semper etiam tibi, care vir, in posterum bene sit,
Qui nos curas. Virum probum & misericordem!
Premitur Eunoe nobis: age o misera, vi perrumpe.
Optimè: iam omnes intus sunt, ait qui sponsam inclusit.

*Gorgo.*

Praxinoe huc ades, hæc textilia primum specta,
Quam ex tenui filo sunt, & venusta; deorum opera esse dixeris.

*Praxinoe.*

Veneranda Minerua, quales lanificę illa elaborarũt?
Quales pictores tam exactas picturas pinxerunt?
Quã euidenter adstant, quamq. euidenter mouẽtur?
Animata *sunt*, nõ textilia: sapiẽs quędã res est homo.
Ipse vero quam admirandus in argenteo iacet
Toro, primam lanuginem circa tempora spargens,
Multipliciter amabilis Adonis, qui etiam apud inferos amatur.

*Hospes.*

Desinite, o miseræ, inutiliter garrientes:
Vt turtures odiose stridunt, ore diducto omnia pronuntiantes.

*Gorgo.*

© Centre d'Études Supérieures de la Renaissance - Tours

*Gorgo.*

Per terrã, vnde tu homo? quid ad te si garrulæ sum'?
*Ancillis* quas possides impera: imperas Syracusiis?
Atque vt & hoc scias, Corinthiæ sumus ab origine,
Sicut & Bellerophon: Peloponnesiace loquimur.
Dorice autem loqui licet (opinor) Doriensibus.

*Praxinoe.*

Non oriatur, o dulcis *Proserpina*, qui nobis imperet,
Vno excepto: nõ curo te, ne mihi alapam impingas.

*Gorgo.*

Tace Praxinoe, iam de Adonide cantabit
Argiuæ filia sapiens poetria,
Quæ & Sperchin lugubre carmen canendo supauit.
Cantabit aliquid, sat scio: pulchris iam præludiis ad cantandum se parat:
Domina quæ Golgon & Idalium diligis,
Sublimemque Erycem, auro ludens Venus,
Qualem tibi Adonidem e perenni Acheronte
Mense duodecimo reduxerunt mollipedes Horæ:
Tardissimæ ex diis Horæ caræ, tamen exoptatæ
Veniunt, omnibus hominibus semper aliquid ferentes.
Venus Cypria, filia Diones, tu immortalem ex mortalibus
Hominibus (vt sermo est) fecisti Berenicen,
Ambrosiam instillans in pectus mulieris.
Quare tibi gratificãs, o celeberrima, & multis delubris celebrata,
Berenices filia, Helenæ similis,
Arsinoe, multifariis bonis ornat Adonidem.
Iuxta eũ.n. matura iacẽt quæcunq. ferũt arborũ apices:
Adsunt & molles hortuli, inclusi calathis

Argen-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Γοργώ.

Μᾶ πόθεν ὤνθρωπος; τί δὲ τὶν εἰ κωτίλαι εἰμές;
Πασάμενος ἐπίτασσε. Συρακοσίαις ἐπιτάσσεις;
Ὡς εἰδῇς καὶ τοῦτο, Κορίνθιαι εἰμὲς ἄνωθεν,
Ὡς καὶ ὁ Βελλεροφῶν· Πελοποννησιστὶ λαλεῦμες.
Δωρίσδεν δ' ἔξεστι (δοκῶ) τοῖς Δωριέεσσι.

Πραξινόη.

Μὴ φυῇ μελιτῶδες, ὃς ἁμῶν καρτερὸς εἴη,
Πλὰν ἑνός· οὐκ ἀλέγω μή μοι κενεὰν ἀπομάξῃς.

Γοργώ.

Σίγα Πραξινόα, μέλλει τὸν Ἄδωνιν ἀείδειν
Ἁ τῆς Ἀργείας θυγάτηρ πολύϊδρις ἀοιδὸς,
Ἅτις καὶ Σπέρχιν τὸν ἰάλεμον ἠρίστευσε·
Φθεγξεῖταί τι (σάφ' οἶδα) καλόν· διαθρύπτεται ἤδη.
Δέσποιν' ἃ Γολγόν τε καὶ Ἰδάλιον ἐφίλασας,
Αἰπεινάν τ' Ἔρυκα, χρυσῷ παίζουσ' Ἀφροδίτα,
Οἷόν τοι τὸν Ἄδωνιν ἀπ' ἀενάω Ἀχέροντος
Μηνὶ δυωδεκάτῳ μαλακαίποδες ἄγαγον Ὧραι.
Βάρδισται μακάρων Ὧραι φίλαι, ἀλλὰ ποθειναὶ
Ἔρχονται, πάντεσσι βροτοῖσιν ἀεί τι φέροισαι.
Κύπρι Διωναία, τὺ μὲν ἀθανάταν ἀπὸ θνατῶν
Ἀνθρώπων (ὡς μῦθος) ἐποίησας Βερονίκαν,
Ἀμβροσίαν ἐς στῆθος ἀποστάξασα γυναικός·
Τὶν δὲ χαριζομένα πολυώνυμε καὶ πολύναε
Ἁ Βερονικεία θυγάτηρ, Ἑλένα εἰκυῖα,
Ἀρσινόα, πάντεσσι καλοῖς ἀτιτάλλει Ἄδωνιν.
Πὰρ μέν οἱ ὥρια κεῖται ὅσα δρυὸς ἄκρα φέροντι,
Πὰρ δ' ἁπαλοὶ κᾶποι, πεφυλαγμένοι ἐν ταλαρίσκοις

Ἀργυ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἀργυρέοις· Συρίω δὲ μύρω χρύσει' ἀλάβαστρα·
Εἴδατά θ' ὅσσα γυναῖκες ἐπὶ πλαθάνῳ πονέονται,
Ἄνθεα μίσγοισαι λευκῷ παντοῖ' ἅμ' ἀλεύρῳ,
Ὅσσα τ' ἀπὸ γλυκερῶ μέλιτος, τά τ' ἐν ὑγρῷ ἐλαίῳ·
Πάντ' αὐτῷ πετεηνὰ καὶ ἑρπετὰ τάδε πάρεστι.
Χλωραὶ δὲ σκιάδες μαλακῷ βρίθουσαι ἀνήθῳ
Δέδμανθ'· οἱ δέ τε κῶροι ὑπερπωτῶνται Ἔρωτες,
Οἷοι ἀηδονιῆες ἐφεζόμενοι ἐπὶ δένδρων,
Πωτῶνται, πτερύγων πειρώμενοι, ὄζον ἀπ' ὄζω.
Ὦ ἔβενος, ὦ χρυσὸς, ὦ ἐκ λευκῶ ἐλέφαντος
Αἰετὼ, οἰνοχόον Κρονίδᾳ Διὶ παῖδα φέροντες.
Πορφύρεοι δὲ τάπητες ἄνω, μαλακώτεροι ὕπνω·
Ἁ Μίλατος ἐρεῖ, χὠ τὰν Σαμίαν καταβόσκων.
Ἔστρωται κλίνα τῷ Ἀδώνιδι τῷ καλῷ ἄλλα·
Τὰν μὲν Κύπρις ἔχει, τὰν δ' ὁ ῥοδόπαχυς Ἄδωνις·
Ὀκτωκαιδεκέτης ἢ ἐννεακαίδεχ' ὁ γαμβρός.
Οὐ κεντεῖ τὸ φίλαμ', ἔτι οἱ περὶ χείλεα πυρρά.
Νῦν μὲν Κύπρις ἔχοισα τὸν αὐτῆς χαιρέτω ἄνδρα,
Ἀῶθεν δ' ἄμμες νιν ἅμα δρόσῳ ἀθρόαι ἔξω
Οἰσεῦμες ποτὶ κύματ' ἐπ' ἀϊόνι πτύοντα·
Λύσασαι δὲ κόμαν, καὶ ἐπὶ σφυρὰ κόλπον ἀνεῖσαι,
Στήθεσι φαινομένοις, λιγυρᾶς ἀρξώμεθ' ἀοιδᾶς.
Ἕρπεις ὦ φίλ' Ἄδωνι, καὶ ἐνθάδε κ' εἰς Ἀχέροντα,
Ἡμιθέων (ὡς φαντὶ) μονώτατος. οὔτ' Ἀγαμέμνων
Τοῦτ' ἔπαθ', οὔτ' Αἴας ὁ μέγας βαρυμάνιος ἥρως,
Οὔθ' Ἕκτωρ Ἑκάβας ὁ γεραίτερος εἴκατι παίδων,
Οὐ Πατροκλῆς, ἢ Πύρρος ἀπὸ Τροίας ἐπανελθὼν,
Οὔθ' οἱ ἔτι πρότεροι Λαπίθαι καὶ Δευκαλίωνες,

Argenteis, & aurea alabastra *plena* Syrio vnguento,
Et ciborum quicquid mulieres in sartagine parant,
Miscentes varios flores vna cum alba farina:
Quæq; *fiunt* ex dulci melle, quæq. ex liquido oleo:
Omnia illi volatilia & reptilia hic adsunt.
Viridia quoque vmbracula molli tecta anetho
Extructa sunt, & pueri superuolitantes Amores,
Veluti luscinæ pulli sedentes in arbustis
Volitant, alarum periculum facientes, de ramo ad ramum.
O ebenum, o aurum, o ex albo ebore
Aquilæ, Ioui Saturnidæ puerum pocillatorem aduehentes.
Et purpurea tapeta in superiore parte, somno molliora;
Sic Miletus dixerit, quique incolit Samum.
Stratus est & alius torus Adonidi pulchro:
Alterum tenet Venus, alterum formosus Adonis,
Decem & octo, aut decem & noué añorum spōsus:
Nō pungit osculū: labra illi adhuc circum rufa sunt.
Nunc Venus maritum suum habens gaudeat.
Sub aurorā vero nos illum, dum ros est, frequētes foras
Efferemus ad fluctus in litore spumantes,
Solutisque crinibus, & veste ad talos demissa,
Pectoribus apertis, sonoram incipiemus cantionē:
Commeas o care Adoni, & huc & ad inferos,
Solus ex heroibus, vt fertur. neque Agamemnoni
Hoc accidit, neque Aiaci magno grauiter furenti heroi:
Neq. Hectori honoratiori inter viginti liberos Hecubæ,
Neque Patroclo, aut Pyrrho a Troia reuerso:
Neq. illis qui superiores fuerunt, Lapithis, aut Deucalionibus.

Nequ

Neque porro Pelopidis, aut Argiuorum principibus Pelasgis.

Sis iam placatus Adoni, & in futurum annũ lætitiam afferas.

Et nunc *amicus* venisti Adoni: & cum redieris, amicus venias.

*Gorgo.*

Praxinoe, quam elegans hæc res est! hæc mulier

Felix est: quam multa scit, prorsum felix? quam suauiter canit?

Tamen tempus est domum redire: impransus adhuc est Dioclidas.

Estq; vir iracũdus admodũ. esurienti quidem ne vnquam occurras.

Vale Adoni dilecte, atque ad gaudentes venias.

## ARGVMENTVM DECIMI-sexti Idyllii.

Hoc Idyllion scriptum est ad Hieronem Hieroclis filium, extremum Siciliæ tyrannum. Cum enim Theocritus eum carmine celebrasset, nec quicquã ab eo accepisset, propterea hoc Idylliõ composuit, quod Charites inscripsit. in quo de regum & principum erga literas humaniores ingratitudine conqueritur.

## CHARITES, siue HIERON, IDYLLION decimumsextum.

Semper hoc Iouis filiab⁹ (*i. Musis*) curæ est, semper Poetis,

Cantu celebrare deos immortales, celebrare gloriam præstantium virorum.

Nam Musæ deæ sunt, deæ Deos cantu celebrant:

Nos vero mortales *sumus*, homines celebrem⁹ mortales.

Quis

© Centre d'Études Supérieures de la Renaissance - Tours

Οὐ Πελοπηϊάδαι τε καὶ Ἄργεος ἄκρα Πελασγοί.
Ἵλαθι νῦν φίλ' Ἄδωνι, καὶ ἐς νέωτ' εὐθυμήσαις.
Καὶ νῦν ἦνθες Ἄδωνι, καὶ ὅκκ' ἀφίκῃ, φίλος ἡξεῖς.

Γοργώ.

Πραξινόα, τὸ χρῆμα σοφώτερον, ἁ θήλεια
Ὀλβία· ὅσσα ἴσατι, πανολβία ὡς γλυκὺ φωνεῖ.
Ὥρα ὅμως κ' εἰς οἶκον· ἀνάριστος Διοκλείδας.
Χὠνὴρ ὄξος ἅπαν· πεινᾶντι γε μηδὲ ποτ' ἔνθῃς.
Χαῖρε Ἄδων ἀγαπητέ, καὶ ἐς χαίροντας ἀφικνεῦ.

---

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ιϛ' Εἰδυλλίου.

Τοῦτο τὸ εἰδύλλιον γέγραπται εἰς Ἱέρωνα τὸν Ἱεροκλέους, τὸν ἔσχατον Σικελίας τύραννον. κατέσχε δὲ τὴν ἀρχὴν, στρατηγὸς ὑποδειχθεὶς ὑπὸ τῶν πολιτῶν, καὶ φθείρας τὰς δυνάμεις, ὥστε τύραννον αὐτὸν ἀναρρηθῆναι. μετὰ δὲ τοῦτον ἦρξεν Ἱέρων ὁ Γέλωνος. μηδὲν οὖν εἰληφὼς παρὰ τοῦ Ἱέρωνος ὁ Θεόκριτος, διὰ τοῦτο τὸ εἰδύλλιον τοῦτο πεποίηκε, καὶ Χάριτας αὐτὸ ἐπέγραψεν· ἐν ᾧ καὶ τὰ τοῦ Σιμωνίδου ἐμφαίνει κιβώτια. λέγουσι γὰρ αὐτὸν ἔχειν δύο κιβώτια· τὸ μὲν, χαρίτων· τὸ δὲ, διδόντων. ὅτε οὖν τις πρὸς αὐτὸν παρεγίνετο χάριν αἰτούμενος, ἐκέλευε φέρειν τὰ κιβώτια· εὑρίσκετο οὖν τὸ μὲν τῶν χαρίτων, κενόν. τὸ δὲ τῶν διδόντων, πλῆρες· καὶ οὕτως ὁ τὴν δωρεὰν αἰτούμενος ἀνεκόπτετο.

## ΧΑΡΙΤΕΣ, ἢ ἹΕΡΩΝ.

### Εἰδύλλιον ιϛ'.

Αἰεὶ τοῦτο Διὸς κούραις μέλει, αἰὲν ἀοιδοῖς,
Ὑμνεῖν ἀθανάτους, ὑμνεῖν ἀγαθῶν κλέα ἀνδρῶν.
Μοῦσαι μὲν, θεαὶ ἐντί, θεοὺς θεαὶ ἀείδοντι.
Ἄμμες δὲ βροτοὶ οἵδε, βροτοὺς βροτοὶ ἀείδωμεν.

Τίς γὰρ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Τίς γὰρ τῶν ὁπόσοι γλαυκὰν ναίουσιν ὑπ' ἀῶ,
Ἡμετέρας χάριτας πετάσας ὑποδέξεται οἴκῳ
Ἀσπασίως, οὐδ' αὖθις ἀδωρήτους ἀποπέμψει;
Αἱ δὲ σκυζόμεναι γυμνοῖς ποσὶν οἴκαδ' ἴασι,
Πολλά με τωθάζοισαι ὅτ' ἀλιθίην ὁδὸν ἦλθον·
Ὀκνηραὶ δὲ πάλιν κενεᾶς ἐπὶ πυθμένι χηλοῦ
Ψυχροῖς ἐν γονάτεσσι κάρη μίμνοντι βαλοῖσαι·
Ἔνθ' αὔη σφίσιν ἕδρη, ἐπὰν ἄπρακτοι ἵκωντι.
Τίς τῶν νῦν τοιόσδε; τίς εὖ εἰπόντα φιλασεῖ;
Οὐκ οἶδ'· οὐ γὰρ ἔτ' ἄνδρες ἐπ' ἔργοις, ὡς πάρος, ἐσθλοῖς
Αἰνεῖσθαι σπεύδοντι· νενίκηνται δ' ὑπὸ κερδέων.
Πᾶς δ' ὑπὸ κόλπου χεῖρας ἔχων, πόθεν οἴσεται ἀθρεῖ
Ἄργυρον· οὐδέ κεν ἰὸν ἀποτρίψας τινὶ δοίη·
Ἀλλ' εὐθὺς μυθεῖται, ἀπωτέρω ἢ γόνυ, κνήμα·
Αὐτῷ μοί τι γένοιτο· θεοὶ τιμῶσιν ἀοιδούς.
Τίς δέ κεν ἄλλου ἀκούσαι; ἅλις πάντεσσιν Ὅμηρος·
Οὗτος ἀοιδῶν λῷστος, ὃς ἐξ ἐμεῦ οἴσεται οὐδέν.
Δαιμόνιοι, τί δὲ κέρδος ὁ μυρίος ἔνδοθι χρυσὸς
Κείμενος; οὐχ ἅδε πλούτου φρονέουσιν ὄνασις·
Ἀλλὰ τὸ μὲν ψυχᾷ, τὸ δὲ καί τινι δοῦναι ἀοιδῶν·
Πολλοὺς δ' εὖ ἔρξαι πηῶν, πολλοὺς δὲ καὶ ἄλλων
Ἀνθρώπων· αἰεὶ δὲ θεοῖς ἐπιβώμια ῥέζειν.
Μηδὲ ξεινοδόκον κακὸν ἔμμεναι, ἀλλὰ τραπέζῃ
Μειλίξαντ' ἀποπέμψαι, ἐπὰν ἐθέλοντι νέεσθαι.
Μουσάων δὲ μάλιστα τίειν ἱεροὺς ὑποφήτας·
Ὄφρα καὶ εἰν ἀΐδαο κεκρυμμένος, ἐσθλὸς ἀκούσῃς,
Μηδ' ἀκλεὴς μύρηαι ἐπὶ ψυχροῦ Ἀχέροντος,
Ὡσεί τις μακέλᾳ τετυλωμένος ἔνδοθι χεῖρας,

Δεινὴν

Quis autem ex hominib. qui habitant sub glauca au-
Nostras Gratias *fores* pandens domo recipit [rora,
Cupide, & non easdem rursus indonatas remittit?
Illæ v. indignantes nudo pede domum reuertuntur,
Multum me incusantes, quod frustra viã confecere:
Tædioque affectæ, rursum in fundo vacui loculi
In frigidis genibus capite posito manent.
Vbi ipsis squalida sedes est: quoniã re imperfecta redierunt. [tem amat?
Quis hominũ q̃ nunc sunt talis est? quis bene dicen-
Nescio: non enim amplius homines propter præstantia facta, vt antea,
Laudari cupiunt, verum a lucro victi sunt:
Quilibet vero sub sinu manũ tenens circumspectat vnde ipse auferat
Argentum, neque detersam æruginem aliis dederit:
Sed statim hoc dicit, Remotius abest tibia quã genu:
Mihi modo sit quod habeam, Dii benefaciãt Poetis.
Quis enim alium audiat? satis est omnibus Homer⁹:
Ille poetarum optim⁹ est, qui quidẽ a me nihil feret.
Insani, quid lucri est, si immensum intus aurum
Reconditũ sit? Non hic pecuniæ vsus est sapientib⁹:
Sed inde pars aliqua proprio vsui debetur, aliquid poetis dandum est.
Et multis affinib. benefaciendum: multis item aliis
Hominibus: ac semper diis sacra facias.
Neque hospes malignus sis: sed vbi mensa [tas.
Benigne exceperis hospites, cũ velint redire dimit-
Musarũ vero in primis venerare sacros interpretes,
Vt etiam apud inferos occultatus, bene audias,
Neq. inglorius lugeas apud frigidum Acherontẽ,
Vt aliqs fossor, cui man⁹ a ligone callis int⁹ duræ sũt,



© Centre d'Études Supérieures de la Renaissance - Tours

Qui grauem paupertatem a maioribus *atque vitam*
inopem deplorat.
Multi in Antiochi domo, & regis Aleuæ,
Cibum menstruum distribuebant ministri:
Multi ad stabula Scopadarum acti
Vituli, vna cum bobus cornutis mugiebant,
Et infinita per campos Cranonios ad æstiua agebát
Pastores eximia pecora hospitalibus Creondis:
Sed nulla ex his voluptas ipsis esset, postquam dulcem euacuarunt
Animam in latam cymbam tristis inferni:
Inglorii vero relictis multis illis & amplissimis opib.
Inter miseros mortuos per longa secula iacerent,
Nisi magnus vates Ceius *Simonides* varie cantans,
Super barbitum multis fidibus cõstans, fecisset claros inter homines
Posteros. Honorẽ vero & celeres sortiti sunt equi,
Qui ipsis ex sacris certaminibus coronati redierunt.
Quis vero vnquam principes Lyciorũ, quis comatos
Priamidas, aut colore muliebri Cycnum nosset,
Si non bella veterum cecinissent Poetæ?
Neq. Vlysses, qui centũ & viginti menses vagatus est
Per omnium gentium homines, quique tandem ad extremum Orcum descendit
Viuus adhuc, & ex antro sæui Cyclopis euasit,
Diuturnã famã obtinuisset. Silẽtio ẽt obrut' esset su-
Eumæus, & Philœtius circa boues armẽtales [bulcus
Opus *suum* habens, ipseque magnanimus Laertes;
Nisi eos iuuissent carmina viri Ionici, *i. Homeri*.
A Musis illustris fama venit hominibus:
Pecuniam vero mortuorum consumunt viuentes.
Sed similis labor est, in litore fluctus metiri,



© Centre d'Études Supérieures de la Renaissance - Tours

Δειλὴν ἐκ πατέρων πενίην ἀκτήμονα κλαίων.
Πολλοὶ ἐν Ἀντιόχοιο δόμοις καὶ ἄνακτος Ἀλεύα
Ἁρμαλιὴν ἔμμηνον ἐμετρήσαντο πενέσται·
Πολλοὶ δὲ Σκοπάδαισιν ἐλαυνόμενοι ποτὶ σακὸν
Μόσχοι σὺν κεραοῖσιν ἐμυκήσαντο βόεσσι·
Μυρία δ' ἀμπεδίον Κραννώνιον ἐνδιάασκον
Ποιμένες ἔκκριτα μῆλα φιλοξείνοισι Κρεώνδαις·
Ἀλλ' οὔ σφιν τῶν ἦδος, ἐπεὶ γλυκὺν ἐξεκένωσαν
Θυμὸν ἐς εὐρεῖαν σχεδίαν στυγνοῦ Ἀχέροντος·
Ἄμναστοι δὲ, τὰ πολλὰ καὶ ὄλβια τῆνα λιπόντες,
Δειλοῖς ἐν νεκύεσσι μακροὺς αἰῶνας ἔκειντο,
Εἰ μὴ δεινὸς ἀοιδὸς ὁ Κήιος αἰόλα φωνέων
Βάρβιτον ἐς πολύχορδον, ἐν ἀνδράσι θῆκ' ὀνομαστοὺς
Ὁπλοτέροις. τιμὰς δὲ καὶ ὠκέες ἔλλαχον ἵπποι,
Οἵ σφισιν ἐξ ἱερῶν στεφανηφόροι ἦλθον ἀγώνων.
Τίς δ' ἂν ἀριστῆας Λυκίων ποτὲ, τίς κομόωντας
Πριαμίδας, ἢ θῆλυν ἀπὸ χροιᾶς Κύκνον ἔγνω,
Εἰ μὴ φυλόπιδας προτέρων ὕμνησαν ἀοιδοί;
Οὐδ' Ὀδυσεὺς, ἑκατόν τε καὶ εἴκοσι μῆνας ἀλαθεὶς
Πάντας ἐπ' ἀνθρώπους, ἀΐδαν τ' εἰς ἔσχατον ἐλθὼν
Ζωὸς, καὶ σπήλυγγα φυγὼν ὀλοοῖο Κύκλωπος,
Δηναιὸν κλέος ἔσχεν· ἐσιγάθη δ' ἂν ὑφορβὸς
Εὔμαιος, καὶ βουσὶ Φιλοίτιος ἀμφ' ἀγελαίαις
Ἔργον ἔχων, αὐτός τε περίσπλαγχνος Λαέρτης·
Εἰ μὴ σφᾶς ὤνασαν Ἰάονος ἀνδρὸς ἀοιδαί.
Ἐκ μοισᾶν ἀγαθὸν κλέος ἔρχεται ἀνθρώποισι·
Χρήματα δὲ ζώοντες ἀμαλδύνουσι θανόντων.
Ἀλλ' ἴσος γὰρ ὁ μόχθος, ἐπ' ἀόνι κύματα μετρεῖν,



© Centre d'Études Supérieures de la Renaissance - Tours

Ὅσσ' ἄνεμος χέρσονδε μετὰ γλαυκᾶς ἁλὸς ὠθεῖ·
Ἢ ὕδατι νίζειν θολερὸν ἰοειδεῖ πλίνθον·
Καὶ φιλοκερδείῃ βεβλαμμένον ἄνδρα παρελθεῖν.
Χαιρέτω ὅστις τοῖος· ἀνήριθμος δέ οἱ εἴη
Ἄργυρος αἰεὶ δὲ πλεόνων ἔχοι ἵμερος αὐτόν·
Αὐτὰρ ἐγὼ τιμήν τε καὶ ἀνθρώπων φιλότητα
Πολλῶν ἡμιόνων τε καὶ ἵππων πρόσθεν ἑλοίμαν.
Δίζημαι δὲ τίνι θνατῶν κεχαρισμένος ἔνθω
Σὺν μοίσαις. χαλεπαὶ γὰρ ὁδοὶ τελέθουσιν ἀοιδᾶν,
Μουσάων ἀπάνευθε, Διὸς μέγα βουλεύοντος.
Οὔπω μῆνας ἄγων ἔκαμ' οὐρανὸς οὐδ' ἐνιαυτούς·
Πολλοὶ κινήσουσιν ἔτι τροχὸν ἅρματος ἵπποι.
Ἔσσεται οὗτος ἀνὴρ ὃς ἐμοῦ κεχρήσετ' ἀοιδοῦ,
Ῥέξας ἢ Ἀχιλεὺς ὅσσον μέγας, ἢ βαρὺς Αἴας
Ἐν πεδίῳ Σιμόεντος, ὅθι Φρυγὸς ἠρίον Ἴλου.
Ἤδη νῦν Φοίνικες, ὑπ' ἠελίῳ δύοντι
Οἰκεῦντες Λιβύας ἄκρον σφυρὸν, ἐρρίγασιν·
Ἤδη βαστάζουσι Συρακόσιοι μέσα δοῦρα,
Ἀχθόμενοι σακέεσσι βραχίονας ἰτείνοισιν.
Ἐν δ' αὐτοῖς Ἱέρων, προτέροις ἴσος ἡρώεσσι,
Ζώννυται· ἵππειαι δὲ κόρυν σκεπάουσιν ἔθειραι.
Αἲ γὰρ Ζεῦ, κύδιστε πάτερ, καὶ πότνι' Ἀθάνα,
Κούρη θ' ἃ σὺν ματρὶ πολυκλήρων Ἐφυραίων
Εἴλαχας μέγα ἄστυ, παρ' ὕδασι Λυσιμελείας,
Ἐχθροὺς ἐκ νάσοιο κακαὶ πέμψειαν ἀνάγκαι
Σαρδόνιον κατὰ κῦμα φίλων μόρον ἀγγέλλοντας
Τέκνοις ἠδ' ἀλόχοισιν, ἀριθματοὺς ἀπὸ πολλῶν·
Ἄστεα δὲ προτέροισι πάλιν ναίοιντο πολίταις,

Δυσ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Quam multos ventus in terram cum cæruleo mari
impellat:
Aut vnda perspicua lauare impurum laterem:
Atque hominem oppressum auaritia flectere.
Valeat igitur quicunq; talis est. & immensum illi sit
Argentū, semperq. desiderio plus habendi teneatur:
Verum ego honorem & hominum beneuolentiam
Multis mulis atque equis præferam.
Quæro autem, cuinam mortalium gratus veniam
Via cum Musis: difficiles enim sunt viæ cantatricū
Musarum, absque Ioue magno consultore. [nos:
Nondū cælū motu suo mēses efficere desiit, nec an-
Et multi equi adhuc mouebunt curruum rotas.
Exorietur vir ille qui me cantore indigebit,
Gerens res tantas, quantas aut magnus Achilles, aut
grauis Aiax
In campo Simoentis, vbi sepulchrum est Phrygii Ili.
Iam nūc Phœnices, *i. Carthaginenses*, sub sole occiduo
Habitantes in extremo calce Libyæ, horrescunt:
Iamque Syracusii gestant medias hastas,
*Et illis* brachia onusta sunt salignis scutis:
Interque eos Hiero, superioribus par heroibus,
Armatur, & equinæ iubæ galeam inumbrant.
Vtinā o Iupiter pater inclyte, & venerāda Minerua,
Et tu Proserpina, quæ vna cum matre opibus afflu-
entium Ephyrensium
Sortita es magnam vrbem, ad vndas Lysimeliæ,
Hostes ex insula eiiciat malum fatum,
Per mare Sardonium, vt amicorum stragē nunciēt
Liberis & vxoribus, iā numerabiles [*i. pauci*] a multis:
Et oppida a prioribus habitatoribus rursum tene-
antur,



© Centre d'Études Supérieures de la Renaissance - Tours

Quotquot hostium manus corruperunt funditus:
Et agros colant virentes: atque innumera
Ouium milia, herbis sagin·.ta,
Per campos balent: & bo'ues gregatim ad stabula
Euntes, tardum vrgeant viatorem:
Noualia excolantur ad sementem, cum cicada
Pastores sub dio agentes obseruans, intus arborum
Resonat in summis ramis: ac telas in armis araneæ
Tenues expandant, clamorisq. *bellici* amplius ne nomen quidem exaudiatur.
Excelsam vero Hieroni gloriam ferant poetæ
Et vltra Scythicũ põtum, & ea loca vbi latos muros
Bitumine colligans Semiramis regnauit.
Ex quibus ego quidem vnus ero: multos vero & alios Iouis amant
Filiæ: quib. omnibus studium erit Siculã Arethusam
Celebrare vna cum populis, & bellicosum Hieronẽ.
O Gratię Eteocleæ deæ, quæ Minyeum
Orchomenum amatis, inuisum olim Thebanis,
Inuocatus ego quidem manserim: in *domum* vero eorum qui me vocarint,
Confidenter vna cum nostris Musis veniam: [tiis
Nec vos relinquam. Quid. n. amabile hõibus, Gra-
Sine, esse potest? Vtinam semper Gratiæ mecũ sint.

## ARGVMENTVM XVII Idyllii.

Ptolemęi Philadelphi Ægyptiorum regis paternum genus celebrans, ab Hercule ipso deducit, & matrem Berenicen laudat. Vrbes 33339, imperio ei⁹ subditas numerat. Inde & bellicos apparatus, auri & argenti, aliarumque rerum pretiosarum immensam copiam, in primis vero studium pacis, & regiam munificentiam erga Musarum cultores commemorat.

LAV-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Δυσμενέων ὅσα χεῖρες ἐλωβήσαντο κατ' ἄκρας.
Ἀγροὶ δ' ἐργάζοιντο τεθαλότες· αἵ τ' ἀνάριθμοι
Μήλων χιλιάδες βοτάναις διαπιανθεῖσαι,
Ἀμπεδίον βλήχοιντο· βόες δ' ἀγεληδὸν ἐς αὖλιν
Ἐρχόμεναι σκίπτν ἧον ἐπισπεύδοιεν ὁδίταν.
Νειοὶ δ' ἐκπονέοιντο ποτὶ σπόρον, ἁνίκα τέττιξ
Ποιμένας ἐνδίους πεφυλαγμένος, ἔνδοθι δένδρων
Ἀχεῖ ἐν ἀκρεμόνεσσιν. ἀράχνια δ' εἰς ὅπλ' ἀράχναι
Λεπτὰ διαστήσαιντο, βοᾶς δ' ἔτι μηδ' ὄνομ' εἴη.
Ὑψηλὸν δ' Ἱέρωνι κλέος φορέοιεν ἀοιδοὶ
Καὶ πόντου Σκυθικοῖο πέραν, καὶ ὅπῃ πλατὺ τεῖχος
Ἀσφάλτῳ δήσασα Σεμίραμις ἐμβασίλευεν.
Εἷς μὲν ἐγὼ πολλοὺς δὲ Διὸς φιλέοντι καὶ ἄλλους
Θυγατέρες· τοῖς πᾶσι μέλοι Σικελὴν Ἀρέθοισαν
Ὑμνεῖν σὺν λαοῖσι, καὶ αἰχμητὰν Ἱέρωνα.
Ὦ Ἐτεόκλειοι Χάριτες θεαὶ αἳ Μινύειον
Ὀρχομενὸν φιλέοισαι, ἀπεχθόμενόν ποτε Θήβαις,
Ἄκλητος μὲν ἐγὼ μίμνοιμί κεν· ἐς δὲ καλεύντων
Θαρσήσας Μοίσαισι σὺν ἁμετέρῃσιν ἱκοίμαν·
Καλλείψω δ' οὐδ' ὔμμε. τί γὰρ Χαρίτων ἀγαπατὸν
Ἀνθρώποις ἀπάνευθεν; ἀεὶ Χαρίτεσσιν ἅμ' εἴην.

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ιζ Εἰδυλλίου.

Τοῦτο τὸ εἰδύλλιον εἰς Πτολεμαῖον τὸν Φιλάδελφον γέγραπται· Ἀρετείᾳ δὲ κέχρηται εἰσβολῇ. ὁ δὲ Φιλάδελφος Πτολεμαῖος, Πτολεμαίου τοῦ Λάγου καὶ Βερενίκης ἦν παῖς. διὸ καὶ ἁμαρτάνει ὁ Μουνάτος, τοὺς χρόνους τοῦ Θεοκρίτου ἀναβιβάζων εἰς τὸν Φιλοπάτορα, τοσούτου χρόνου μεταξὺ μέσου διαπταίων.

# ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΠΤΟΛΕΜΑΙΟΝ.
## Εἰδύλλιον ιζ.

Ἐκ Διὸς ἀρχώμεσθα, καὶ εἰς Δία λήγετε Μοῖσαι,
Ἀθανάτων τὸν ἄριστον ἐπὴν ᾄδωμεν ἀοιδαῖς.
Ἀνδρῶν δ' αὖ Πτολεμαῖος ἐνὶ πρώτοισι λεγέσθω,
Καὶ πύματος, καὶ μέσσος· ὃ γὰρ προφερέστατος ἀνδρῶν.
Ἥρωες τοὶ πρόσθεν ἀφ' ἡμιθέων ἐγένοντο,
Ῥέξαντες καλὰ ἔργα, σοφῶν ἐκύρησαν ἀοιδῶν·
Αὐτὰρ ἐγὼ Πτολεμαῖον ἐπιστάμενος καλὰ εἰπεῖν,
Ὑμνήσαιμ'. ὕμνοι δὲ, καὶ ἀθανάτων γέρας αὐτῶν.
Ἴδαν ἐς πολύδενδρον ἀνὴρ ὑλητόμος ἐλθὼν,
Παπταίνει παρεόντος ἅδην πόθεν ἄρξεται ἔργου·
Τί πρᾶτον καταλέξω; ἐπεὶ πάρα μυρία εἰπῆν,
Οἷσι θεοὶ τὸν ἄριστον ἐτίμησαν βασιλήων,
Ἐκ πατέρων. οἷος μὲν ἔην τελέσαι μέγα ἔργον
Ὁ Λαγίδας Πτολεμαῖος, ὅκα φρεσὶν ἐγκατάθοιτο
Βουλὰν, ἂν οὐκ ἄλλος ἀνὴρ οἷός τε νοῆσαι;
Τῆνον καὶ μακάρεσσι πατὴρ ὁμότιμον ἔθηκεν
Ἀθανάτοις, καί οἱ χρύσεος δόμος ἐν Διὸς οἴκῳ
Δέδμηται· παρὰ δ' αὐτὸν Ἀλέξανδρος φίλα εἰδὼς
Ἑδριάει, Πέρσαισι βαρὺς θεὸς αἰολομίτρας.
Ἀντία δ' Ἡρακλῆος ἕδρα σφιν ταυροφόνοιο
Ἵδρυται, στερεοῖο τετυγμένα ἐξ ἀδάμαντος·
Ἔνθα σὺν ἄλλοισιν θαλίας ἔχει οὐρανίδῃσι,
Χαίρων υἱωνῶν περιώσιον υἱωνοῖσιν·
Ὅττι σφέων Κρονίδας μελέων ἐξείλετο γῆρας·
Ἀθάνατοι δὲ καλεῦνται, θεοὶ νέποδες γεγαῶτες·



© Centre d'Études Supérieures de la Renaissance - Tours

## LAVDATIO PTOLEMÆI, Idyllion XVII.

Ab Ioue principium faciamus, & in Iouem desinite Musæ,
Cum præstantissimum Deorum immortalium carmine celebramus.
Ex hominib. v. Ptolemęus inter primos cõmemoretur,
Et postremus & medius: nã is præstantissim⁹ virorũ est.
Heroes, qui olim ex semideis extiterunt,
Cũ res magnas gessissẽt, p̃claros *sui* cãtores nacti sũt:
Verum ego Ptolemęum, bene dicendi peritus,
Cantu celebrabo: nam hymni, ipsorum etiam Immortalium ornamentum sunt.
Cum lignator in nemorosam Idam venit,
Circũspicit vnde opus incipiat, cũ vbiq. *materia* satis sit:
Sic ego quid primum edisseram? nam innumerabilia dicenda sunt,
Quib. superi pręstantissimum regẽ condecorauerũt,
Ab origine parentũ. qualis ad res magnas gerẽdas erat
Lagides Ptolemæus, cum animo conciperet
Cõsiliũ, quod nõ alii viro in mentẽ venire potuisset?
Illum & diis pater *Iupiter* æqualem fecit
Imortalib⁹, & illi domus aurea in Iouis domo, *i. cælo*.
Extructa est. & prope eum Alexander amicus
Sedem habet, qui Persis grauis deus & sapiens fuit.
E regione vero Herculis tauricidæ, sedes illis
Posita est, fabricata ex duro adamante:
Vbi inter alios cælicolas conuiuia agitat,
Eximie gaudens nepotum nepotibus,
Quod eis Iupiter ex membris exemit senectam:
Immortales vero vocantur dii, sine pedum vsu facti.

Ambo-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ambob'.n.ipsis generis autor est fortis Herculis fi-
Et ambo numerãtur ab vltimo Hercule.[lius *Hyllus*,
Quare cum Hercules ex epulo rediret satiatus iam
Nectaré odorato,ad domum caræ coniugis,
Tũc alteri arcũ tradidit,& quę sub axillis geritur pha-
Alteri ferratam clauam signatam nodis. [retram;
Illi veró in immortalem thalamum pulchræ Hebes
Arma *ferunt*,ipsumq.ducũt progenitoré *suũ* Iouis fi-
Qualis v.inter sapientes inclyta Berenice [lium.
Excellit fœminas,magna gloria parentibus!
Huius,veneranda filia Diones quæ Cyprum tenet,
In gremio odorato graciles attrectãdo immisit manus. [cuisse ferunt,
Itaque nullam vnquam mulierem viro tantum pla-
Quantum Ptolemæus suam amauit coniugem.
Et quidem redamatus est multo plus. Sicque liberis
Confidens suis,committit domum totam,
Cum amans in amantis torum ascendit.
Impię v.mulieris animus semper est apud virum alienum: [miles sunt patri.
Et faciles quidẽ partus sunt,sed liberi neutiquam si-
Venerãda Venus,excellẽs forma præ cæteris deab.
Tibi illa curæ fuit,& tua causa Berenice
Formosa ad Acherontem luctuosum non transiuit:
Verũ tu ipsam abreptã,priusquã ad riuũ perueniret
Nigrum,& tristem semper portitoré defunctorum,
In templo collocasti,& proprii honoris participem fecisti. [dem amores
Quare illa omnib' propitia mortalibus, faciles qui-
Adspirat,petenti v. faciles curas tribuit.
Argiua nigris oculis (*i. pulchris*) tu bellicosum Diomedem,

Congressa

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἀμφοῖν γὰρ πρόγονός σφιν ὁ καρτερὸς Ἡρακλείδας·
Ἀμφότεροι δ' ἀριθμεῦνται ἐς ἔσχατον Ἡρακλῆα.
Τῷ καὶ ἐπεὶ δαίτηθεν ἴοι κεκορημένος ἤδη
Νέκταρος εὐόδμοιο φίλας ἐς δῶμ' ἀλόχοιο,
Τῷ μὲν τόξον ἔδωκεν ὑπωλένιόν τε φαρέτραν,
Τῷ δὲ σιδάρειον σκύταλον, κεχαραγμένον ὄζοις·
Οἱ δ' εἰς ἀμβρόσιον θάλαμον λευκοσφύρου Ἥβας
Ὅπλα καὶ αὐτὸν ἄγουσι γενειήταν Διὸς υἱόν.
Οἵα δ' ἐν πινυταῖσι περικλειτὰ Βερενίκα
Ἔπρεπε θηλυτέρης, ὄφελος μέγα γειναμένοισι·
Τῆς μὲν Κύπρον ἔχοισα Διώνας πότνια κούρα
Κόλπον ἐς εὐώδη ῥαδινὰς ἐπεμάξατο χεῖρας·
Τῷ οὔπω τινὰ φαντὶ ἁδεῖν τόσον ἀνδρὶ γυναῖκα,
Ὅσσον περ Πτολεμαῖος ἑὴν ἐφίλασεν ἄκοιτιν·
Ἦ μὰν ἀντεφιλεῖτο πολὺ πλέον. ὧδέ κε παισὶ
Θαρσήσας σφετέροισιν ἐπιτρέποι οἶκον ἅπαντα,
Ὁππότε κεν φιλέων βαίνει λέχος ἐς φιλεούσης.
Ἀστόργου δὲ γυναικὸς ἐπ' ἀλλοτρίῳ νόος αἰέν·
Ῥηΐδιαι δὲ γοναί, τέκνα δ' οὔποτ' ἐοικότα πατρί.
Κάλλει ἀριστεύοισα θεάων πότνι' Ἀφροδίτα,
Σοὶ τήνα μεμέλητο· σέθεν δ' ἕνεκεν Βερενίκα
Εὐειδὴς Ἀχέροντα πολύστονον οὐκ ἐπέρασεν·
Ἀλλά μιν ἁρπάξασα, πάροιθ' ἐπὶ νᾶα κατενθεῖν
Κυάνεον, καὶ στυγνὸν ἀεὶ πορθμῆα καμόντων,
Ἐς ναὸν κατέθηκας, ἑᾶς δ' ἀπεδάσσαο τιμᾶς.
Πᾶσιν δ' ἤπιος ἥδε βροτοῖς· μαλακοὺς μὲν ἔρωτας
Προσπνείει, κούφας δὲ διδοῖ ποθέοντι μερίμνας.
Ἀργεία κυανόφρυ, σὺ λαοφόνον Διομήδεα,

Μισγο-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Μισγομένα Τυδῆι, τέκες Καλυδώνιον ἄνδρα.
Ἀλλὰ Θέτις βαθύκολπος ἀκοντιστὰν Ἀχιλῆα
Αἰακίδᾳ Πηλῆι· σὲ δ᾽ αἰχμητὰ Πτολεμαῖε
Αἰχμητᾷ Πτολεμαίῳ ἀρίζηλος Βερενίκα.
Καί σε Κόως ἀτίταλλε, βρέφος νεογιλὸν ἐόντα,
Δεξαμένα παρὰ ματρός, ὅτε πρώταν ἴδες ἀῶ.
Ἔνθα γὰρ Εἰλείθυιαν ἐβώσατο λυσίζωνον,
Ἀντιγόνας θυγάτηρ βεβαρημένα ὠδίνεσσιν.
Ἡ δέ οἱ εὐμενέοισα παρίστατο, κὰδ δ᾽ ἄρα πάντων
Νωδυνίαν κατέχευε μελῶν. ὁ δέ, πατρὶ ἐοικὼς
Παῖς ἀγαπητὸς ἔγεντο. Κόως δ᾽ ὀλόλυξεν ἰδοῖσα·
Φᾶ δέ, καθαπτομένα βρέφεος χείρεσσι φίλῃσιν,
Ὄλβιε κῶρε γένοιο· τίοις δέ με τόσσον ὅσονπερ·
Δᾶλον ἐτίμασεν κυανάμπυκα Φοῖβος Ἀπόλλων·
Ἐν δὲ μιᾷ τιμῇ Τρίοπον καταθεῖο κολώναν,
Ἶσον Δωριέεσσι νέμων γέρας ἐγγὺς ἐοῦσιν,
Ἶσον καὶ Ῥήναιαν ἄναξ ἐφίλασεν Ἀπόλλων.
Ὣς ἄρα νᾶσος ἔειπεν· ὁ δ᾽ ὑψόθεν ἔκλαγε φωνᾷ
Ἐς τρὶς ἀπαὶ νεφέων Διὸς αἴσιος αἰετὸς ὄρνις.
Ζηνός που τόδε σῆμα. Διὶ Κρονίωνι μέλη δὲ
Αἰδοίου βασιλῆος· ὁ δ᾽ ἔξοχος ὅν κε φιλάσει
Γεινόμενον τὰ πρῶτα· πολὺς δέ οἱ ὄλβος ὀπηδεῖ,
Πολλᾶς δὲ κρατέει γαίης, πολλᾶς δὲ θαλάσσης.
Μυρίαι ἄπειροί τε, καὶ ἔθνεα μυρία φωτῶν
Λήιον ἀλδήσκουσιν ὀφελλόμενον Διὸς ὄμβρῳ·
Ἀλλ᾽ οὔτις τόσα φύει ὅσα χθαμαλὸς Αἴγυπτος,
Νεῖλος ἀναβλύζων διερὰν ὅτε βώλακα θρύπτει.
Οὐδέ τις ἄστεα τόσσα βροτῶν ἔχει ἔργα δαέντων.

Τρεῖς

Congressa cum Tydeo, peperisti Calydonium virũ:
Sed Thetis sinuosa-veste-vtens, pepit iaculatorẽ Achillẽ
Æacidæ Peleo: te vero strenue Ptolemæe,
Bellicoso Ptolemæo eximia peperit Berenice:
Et te Cos insula eduxit infantem, nuper susceptum,
Excipiens a matre, cum primam vidisti auroram.
Ibi enim Lucinam inuocauit, quæ parturientes liberat,
Filia Antigones grauata doloribus partus:
Illa vero ipsi benigne adfuit, & per omnia
Membra indolentiam perfudit. tunc patri similis
Puer amabilis natus est. Cos vero conspicata exclamauit;
Et dixit, manibus caris puerum tenens,
Nascere beate puer, meque tantum honore afficias, quantum
Delum honorauit cæruleam Phœbus Apollo:
Et eodem honore afficias montem Triopum,
Parem Doriensibus vicinis tribuens honorem,
Sicut & rex Apollo coluit Rhenæam.
Sic insula dicebat. atque ex alto insonuit voce
Ter sub nubibus aquila propitia Iouis auis:
Iouis hoc scilicet signum erat: nã Ioui Saturnio curæ est
Venerãdus rex: & hic excellens est, quẽ Deus diligit
Natũ iam primum. Multa ipsum felicitas comitatur,
Multam vero tenet terram, multumque mare.
Multæ enim & infinitæ regiones, & innumeræ gentes hominum
Segetes augent amplificatas Iouis imbribus:
Verũ nulla terra tã multa gignit quã humilis Ægyptus,
Cũ Nil⁹ exũdãs humidas glebas molliter cõminuit:
Neq. quisquã tã multas vrbes hominũ artificũ tenet.

Tres

© Centre d'Études Supérieures de la Renaissance - Tours

Tres enim illi vrbium centuriæ extructæ ſunt,
Tria inſuper milia ſupra triginta milia,
Duo item terniones, & præterea ter vndecim:
In quib. omnib. magnanimus Ptolemęus regnū obtinet.
Et quidem Phœniciæ partem obtinet, atque Arabię
Et Syriæ, Libyæque, nigrorumque Aethiopum.
Pamphyliis vero omnibus, & bellicoſis Cilicibus
Imperat, Lyciis quoque & pugnacibus Caribus,
Atque inſulis Cycladibus. nam naues illi optimæ
Per mare nauigant: mare enim totum, & terra,
Et fluuii ſonori, regno Ptolemæi ſubiecti ſunt.
Multi vero equites, multique milites ſcutati,
Ære lucenti ſtipati ſtrepunt.
Opulentia quidem omnes ſuperat reges.*
Tantum quotidie opum in diuitem congeritur domum
Vndecunque. populi vero curant opus ſuū trāquilli.
Nullus enim hoſtium piſcoſum Nilum inuadens,
Pedeſtri exercitu in alienis villis tumultum bellicū ciet:
Neque quiſquam ex nauibus velocib' in litus exilit,
Armata manu inuadens iniuſte boues Ægyptias.
Talis vir latis ſedet in campis
Flauicomus Ptolemæus, qui haſtam vibrare nouit:
Cui omnino curæ eſt, vt paterna omnia tueatur,
Sicut regem præſtantem *decet:* alia vero acquirit ipſe.
Non tamen abſque vſu in domo optima aurum,
Ceu formicarum opes ſemper iacet laborantium:
Sed multum inde habent inclyta Deorum delubra,
Semper *eo* primitias ſoluente, præter alia dona.
Mul-
© Centre d'Études Supérieures de la Renaissance - Tours

Τρεῖς μέν οἱ πολίων ἑκατοντάδες ἐνδέδμηνται,
Τρεῖς δ᾽ ἄρα χιλιάδες τρισσαῖς ἐπὶ μυριάδεσσι,
Δοιαὶ δὲ τριάδες, μετὰ δέ σφισιν ἐνδεκάδες τρεῖς·
Τῶν πάντων Πτολεμαῖος ἀγήνωρ ἐμβασιλεύει.
Καὶ μὰν Φοινίκας ἀποτέμνεται, Ἀρραβίας τε,
Καὶ Συρίης, Λιβύης τε, κελαινῶν τ᾽ Αἰθιοπήων·
Παμφυλίοισί τε πᾶσι καὶ αἰχμηταῖς Κιλίκεσσι
Σημαίνει, Λυκίοις τε φιλοπτολέμοις τε Κάρεσσι,
Καὶ νάσοις Κυκλάδεσσιν. ἐπεί οἱ νᾶες ἄρισται
Πόντον ἐπιπλώοντι· θάλασσα δὲ πᾶσα καὶ αἶα
Καὶ ποταμοὶ κελάδοντες ἀνάσσονται Πτολεμαίῳ·
Πολλοὶ δ᾽ ἱππῆες, πολλοὶ δέ οἱ ἀσπιδιῶται
Χαλκῷ μαρμαίροντι σεσαγμένοι ἀσφαραγεῦντι.
Ὄλβῳ μὲν πάντας καταβεβρίθει βασιλῆας·
Τόσσον ἐπ᾽ ἆμαρ ἕκαστον ἐς ἀφνεὸν ἔρχεται οἶκον
Πάντοθε. λαοὶ δ᾽ ἔργα περιστέλλουσιν ἕκηλοι.
Οὐ γάρ τις δηίων πολυκήτεα Νεῖλον ἐπεμβὰς,
Πεζὸς ἐν ἀλλοτρίαισι βοὰν ἐστάσατο κώμαις·
Οὐδέ τις αἰγιαλόνδε θοᾶς ἐξάλατο ναός,
Θωρηχθεὶς ἐπὶ βουσὶν ἀνάρσιος Αἰγυπτίῃσιν.
Τοῖος ἀνὴρ πλατέεσσιν ἐνίδρυται πεδίοισι,
Ξανθόκομος Πτολεμαῖος, ἐπιστάμενος δόρυ πάλλειν·
Ὧι ἔπι πάγχυ μέλει πατρώια πάντα φυλάσσειν,
Οἷ᾽ ἀγαθῷ βασιλῆι· τὰ δὲ κτεατίζεται αὐτός.
Οὐ μὰν ἀχρεῖός γε δόμῳ ἐνὶ πίονι χρυσὸς,
Μυρμάκων ἅτε πλοῦτος ἀεὶ κέχυται μογεόντων·
Ἀλλὰ πολὺν μὲν ἔχοντι θεῶν ἐρικυδέες οἶκοι,
Αἰεὶ ἀπαρχομένοιο, σὺν ἄλλοισιν γεράεσσι·

Πολλὸν

© Centre d'Études Supérieures de la Renaissance - Tours

Πολλὸν δ' ἰφθίμοισι δεδώρηται βασιλεῦσι,
Πολλὸν δὲ πολίεσσι, πολὺν δ' ἀγαθοῖσιν ἑταίροις.
Οὐδὲ Διωνύσου τις ἀνὴρ ἱεροὺς κατ' ἀγῶνας
Ἵκετ' ἐπιστάμενος λιγυρὰν ἀναμέλψαι ἀοιδὰν,
Ὧι οὐ δωτίναν ἀντάξιον ὤπασε τέχνας.
Μουσάων δ' ὑποφῆται ἀείδοντι Πτολεμαῖον
Ἀντ' εὐεργεσίης. τί δὲ κάλλιον ἀνδρί κεν εἴη
Ὀλβίῳ, ἢ κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἀρέσθαι;
Τοῦτο καὶ Ἀτρείδαισι μένει· τὰ δὲ μυρία τῆνα
Ὅσσα μέγαν Πριάμοιο δόμον κτεάτισσαν ἑλόντες,
Ἀέρι πᾳ κέκρυπται, ὅθεν πάλιν οὐκέτι νόστος.
Μοῦνος ὅδε προτέρων τοκέων ἔτι θερμὰ κονίῃ,
Στειβόμενος καθύπερθε, ποδῶν ἐκμάσσεται ἴχνη.
Ματρὶ φίλᾳ καὶ πατρὶ θυώδεας εἵσατο νηώς·
Ἐν δ' αὐτοὺς χρυσῷ περικαλλέας ἠδ' ἐλέφαντι
Ἵδρυσεν, πάντεσσιν ἐπιχθονίοισιν ἀρωγούς.
Πολλὰ δὲ πιανθέντα βοῶν ἐπὶ μηρία καίει
Μασὶ περιπλομένοισιν, ἐρευθομένων ἐπὶ βωμῶν,
Αὐτός τ', ἰφθίμα τ' ἄλοχος· τᾶς οὔτις ἀρείω
Νυμφίον ἐν μεγάροισι γυνὰ περιβάλλετ' ἀγοστῷ,
Ἐκ θυμοῦ στέργοισα κασίγνητόν τε πόσιν τε.
Ὧδε καὶ ἀθανάτων ἱερὸς γάμος ἐξετελέσθη,
Οὓς τέκετο κρείουσα Ῥέα βασιλῆας Ὀλύμπου·
Ἓν δὲ λέχος στόρνυσιν ἰαύειν Ζηνὶ καὶ Ἥρῃ,
Χεῖρας φοιβήσασα μύροις, ἔτι παρθένος Ἶρις.
Χαῖρ' ὦναξ Πτολεμαῖε· σέθεν δ' ἐγὼ ἶσα καὶ ἄλλων
Μνάσομαι ἡμιθέων· δοκέω δ' ἔπος οὐκ ἀπόβλητον
Φθέγξομαι ἐσσομένοις· ἀρετήν γε μὲν ἐκ Διὸς αἰτεῦ.

ARGV-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Multum inde & potentibus datur regibus,
Multum & ciuitatibus, multum bonis amicis.
Neque vllus vir sacris certaminibus Bacchi
Prodit, sciens dulcem cantilenam canere,
Cui non dignum arte præmium dederit.
Musarum vero interpretes cantu celebrant Ptolemæum,
Propter beneficentiam. Quid autem præclarius homini contingat
Diuiti, quam vt gloriam illustrem inter homines consequatur?
Hoc & Atridis *integrũ* manet: nam illæ infinitæ *opes*,
Quas capta magna Priami domo acquisiuerunt,
Caligine oppresse alicubi iacẽt, vnde nõ est amplius reditus.
Solus hic priorũ parentum, adhuc calida in puluere
Transcendens pedum detergit vestigia.
Matri caræ & patri odorata templa condidit.
Inque his ex auro atque ebore ipsos insignes
Statuit, vt omnibus mortalibus sint opitulatores.
Multa vero pinguia exta boum incendit,
Mensibus circumiactis in aris rubentibus;
Et ipse. & eximia coniux: qua nulla præstantiorem
Sponsum domi mulier vlnis amplectitur,
Ex animo diligens fratrem atque maritum.
Sic & Deorum sacra connubia contracta sunt,
Quos peperit Rhea regina reges cæli:
Vnumq. torum sternit Ioui & Iunoni vt indormiãt,
Iris adhuc virgo, manib. vnguẽto nitẽtib⁹ *v. purgatis.*
Salue rex Ptolemæe: te ego similiter, sicut alios,
Celebrabo heroas, atq. (vt opinor) carmẽ nõ asper-
Posteris dicã: tu autem virtutẽ a Ioue petito. [nãdũ



© Centre d'Études Supérieures de la Renaissance - Tours

ARGVMENTVM

Inſcribitur hoc Idyllion Epithalamion Helenæ, id eſt, carmen nuptiale. Introducũtur autem duodecim primariæ puellæ ex vrbe Spartana, quæ in die nuptiarũ veſpereante thalamum Menelai & Helenæ ſponſæ hoc carmen canere finguntur. Primum autem iocis nuptialibus, ludũt: deinde ſponſo gratulantur, quod ſolus inter tot principes procos nuptiis talis ſpõſæ potitus, & iã Io uis ge-

HELENÆ EPITHALAMION, Idyllion XVIII.

In Sparta olim, apud flauum Menelaum,
Virgines virentem hyacinthum comis *implicitũ* habentes,
Ante recens depictũ thalamum chorũ instituerũt,
Duodecim primariæ vrbis, magnũ decus Lacęnarũ,
Quãdo Tyndari *filiam* amabilem *in thalamo* cõcluſit
Helenam, cum eam duxiſſet vxorem, minor natu filius Atrei.
Concinebant autẽ omnes carmen vnũ, applaudẽtes
Pedibus cõnexis: atque domus inſonuit Hymenęo.
Itane crepuſculo obdormiuiſti, o care ſponſe?
Nunquid nimis grauia tibi ſunt membra? num ſomniculoſus es?
An v. multum adbibiſti, quod in lectum cõiectus es?
Nam volentem dormire, tempeſtiue oportebat te *dormire*;
Puellam autem ſinere cum *cæteris* puellis apud cararam matrem
Ludere vſq. ad altũ diluculũ: nã & veſperi, & mane,
Et de anno in annum, hæc tua Menelae *ſponſa* erit.
Fortunate ſponſe, bonus tibi quiſpiam adſternutauit proficiſcenti
Ad Spartã, vbi & alii principes *erant*: vt hoc pficeres

Solus

## XVIII IDYLLII.

uis gener factus sit. postea Helenam laudant: atque in eo loco nonnihil immoratur Poeta. In fine, sicut fieri solet, bene precantur sponso & sponsę. Erant autē duo genera Epithalamiorum. alterum accinere solebant vespere, cum sponsa in thalamum duceretur: quod κατακοιμητικὸν vocabant. alterum mane sub aurora canebatur: idque διεγερτικὸν, id est excitatorium, vocabatur.

## ἙΛΕΝΗΣ ἘΠΙΘΑΛΑΜΙΟΣ, Εἰδύλλιον ιη'.

Ἐν ποκ' ἄρα Σπάρτᾳ, ξανθότριχι πὰρ Μενελάῳ,
Παρθενικαὶ θάλλοντα κόμαις ὑάκινθον ἔχοισαι,
Πρόσθε νεογράπτω θαλάμω χορὸν ἐστάσαντο,
Δώδεκα ταὶ πρᾶται πόλιος, μέγα χρῆμα Λακαινᾶν,
Ἁνίκα Τυνδάρεω κατεκλάξατο τὰν ἀγαπατὰν
Μναστήσας Ἑλέναν ὁ νεώτερος Ἀτρέος υἱός.
Ἄειδον δ' ἄρα πᾶσαι ἐς ἓν μέλος ἐγκροτέοισαι
Ποσσὶ περιπλέκτοις, περὶ δ' ἴαχε δῶμ' ὑμεναίῳ.
Οὕτω δὴ πρῴιζα κατέδραθες ὦ φίλε γαμβρέ;
Ἦ ῥά τις ἐσσὶ λίαν βαρυγούνατος; ἦ ῥα φίλυπνος;
Ἦ ῥα πολύν τιν' ἔπινες, ὅτ' εἰς εὐνὰν κατεβάλλευ;
Εὕδειν μὲν χρήζοντα, καθ' ὥραν αὐτὸν ἐχρῆν τύ,
Παῖδα δ' ἐᾶν σὺν παισὶ φιλοστόργῳ παρὰ ματρὶ
Παίσδειν ἐς βαθὺν ὄρθρον. ἐπεὶ καὶ ἔναν, καὶ ἐς ἀῶ,
Κεἰς ἔτος ἐξ ἔτεος Μενέλαε τεὰ νυὸς ἅδε.
Ὄλβιε γάμβρ', ἀγαθός τις ἐπέπταρεν ἐρχομένῳ τοι
Ἐς Σπάρταν, ὅποι ὦλλοι ἀριστέες, ὡς ἀνύσαιο.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Μοῦνος ἐν ἀμιθέοις Κρονίδαν Δία πενθερὸν ἑξεῖς.
Ζανός τοι θυγάτηρ ὑπὸ τὰν μίαν ᾤχετο χλαῖναν,
Οἷα Ἀχαιϊάδων γαῖαν πατεῖ οὐδεμί᾽ ἄλλα.
Ἦ μέγα τοί κε τέκοιτ᾽, εἰ ματέρι τίκτεν ὁμοῖον.
Ἄμμες γὰρ πᾶσαι συνομάλικες, αἷς δρόμος ωὑτὸς,
Χρισαμέναις ἀνδριστὶ παρ᾽ Εὐρώταο λοετροῖς,
Τετράκις ἑξήκοντα κόραι, θῆλυς νεολαία·
Τᾶν οὐδ᾽ ἄν τις ἄμωμος, ἐπεί χ᾽ Ἑλένᾳ παρισωθῇ.
Ἀὼς ἀντέλλοισα καλὸν διέφαινε πρόσωπον,
Πότνια νὺξ ἅτε, λευκὸν ἔαρ χειμῶνος ἀνέντος·
Ὧδε καὶ ἁ χρυσέα Ἑλένα διεφαίνετ᾽ ἐν ἡμῖν,
Πιείρη, μεγάλη. ἅτ᾽ ἀνέδραμεν ὄγμος ἀρούρᾳ,
Ἢ κάπῳ κυπάρισσος, ἢ ἅρματι Θεσσαλὸς ἵππος·
Ὧδε καὶ ἁ ῥοδόχρως Ἑλένα Λακεδαίμονι κόσμος.
Οὔτε τις ἐν ταλάρῳ πανίσδεται ἔργα τοιαῦτα,
Οὔτ᾽ ἐνὶ δαιδαλέῳ πυκινώτερον ἤτριον ἱστῷ
Κερκίδι συμπλέξασα μακρῶν ἔταμ᾽ ἐκ καλεόντων.
Οὐ μὰν οὐ κιθάραν τις ἐπίσταται ὧδε κροτῆσαι,
Ἄρτεμιν ἀείδοισα καὶ εὐρύστερνον Ἀθάναν,
Ὡς Ἑλένα· τᾶς πάντες ἐπ᾽ ὄμμασιν ἵμεροι ἐντί.
Ὦ καλὰ, ὦ χαρίεσσα κόρη, τὺ μὲν οἰκέτις ἤδη·
Ἄμμες δ᾽ ἐς δρόμον ἦρι καὶ ἐς λειμώνια φύλλα
Ἐρψοῦμες, στεφάνως δρεψεύμεναι ἁδὺ πνέοντας·
Πολλὰ τεῦ ὦ Ἑλένα μεμναμέναι, ὡς γαλαθηναὶ
Ἄρνες γειναμένης ὄϊος μαστὸν ποθέοισαι·
Πρᾶται τοι στέφανον λωτῶ χαμαὶ αὐξομένοιο
Πλέξασαι, σκιερὰν καταθήσομεν ἐς πλατάνιστον·
Πρᾶται δ᾽ ἀργυρέας ἐξ ὄλπιδος ὑγρὸν ἄλειφαρ

Λαζό-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Solus inter ſemideos Iouem ſocerum habebis:
Nam filia Iouis tecum ſub vnum ſubit ſtragulum,
Qualis ex mulieribus Græciæ nulla terram calcat.
Certe pręclarum quiddam tibi pariet, ſi matri peperit ſimile,
Nos oẽs enim æquales ætate, quib' idẽ vitę curs' eſt,
Quæ vngimur more virorum ad Eurotæ fluenta,
Quater ſexaginta puellæ de muliebri iuuentute:
Ex his nulla vitio caret, ſi cum Helena conferatur.
*Sicut* aurora exoriens decorum oſtendit aſpectum
Sacra cum nox *abit*, hyeme candidum ver laxante,
Sic & aurea Helena elucebat inter nos;
Valida, procera. quemadmodũ pcurrit ſulc' in aruo,
Aut in horto cupreſſus, aut in curru Theſſalicus equus:
Sic & roſea Helena Lacedæmoni ornamento fuit.
Nulla in quaſillo conglomerat talia opera,
Neque in tela picta maiore arte ſtamen,
Radio intextum, e longis ſcindit furculis.
Neque ſane vlla ſic citharam pulſare nouit,
Dianam cantu celebrans, & lato-pectore Mineruã,
Sicut Helena; cuius in oculis omnes amores inſunt.
O pulchra, o amabilis puella, tu iã matrona facta es:
Nos autem ad curſum in vere (*vel mane*) & ad folia in pratis naſcentia
Ibimus, vt colligamus ſerta ſuauiter redolentia,
Sæpe de te cogitantes o Helena: ſicut lactantes
Agnę quæ matris ouiculæ vbera deſiderant.
Primæ tibi coronam ex humi naſcente loto
Nectentes in vmbroſa ſuſpendemus platano:
Et primæ tibi ex argentea pyxide liquidum vnguentum



© Centre d'Études Supérieures de la Renaissance - Tours

Accipientes, stillabimus sub vmbrosam platanum.
Literæ vero in cortice scribentur (vt quis præteriẽs
Legat) Dorice: Venerare me: nã Helenæ arbor sum.
Salue o sponsa: salue felix propter socerum sponse, *vel gener*.
Latona quidẽ, Latona iuuẽtutis sustẽtatrix, det vobis
Felicem sobolem. Venus autẽ dea Venus det æqualem amorem
Inter vos mutuo; Iupiter vero Saturnides diuitias durabiles,
Vt a *vobis* nobilib. ad generosos *liberos vestros* perueniãt.
Dormite in pectora mutuo amorẽ inspirãtes,
Et desideriũ: expergiscamini v. sub aurorã, neq. obliuiscamini.
Redibim⁹ & nos mane, vbi primus cãtor
E cubili suo insonuerit, sustollẽs pulchre pẽnatã ceruicẽ.
Hymen, o Hymenæe, his nuptiis gaudeas.

## ARGVMENTVM

Cupido dũ mel furatur, & aluearc diripit, ab apicula pungitur: atque doloris ex vulnere impatiẽs, matri de crudelitate tam paruæ bestiolæ cõqueritur. Quæ & ipsum paruulũ esse respõdet, & tamẽ magna vulnera infligere. Monet

## FAVORVM FVR,
### Idyllion XIX.

Furem quõdam Amorem infesta punxit apicula,
Fauos ex aluearibus deprædantem: extremos vero manuum
Digitos omnes confixit. at ille dolebat, manusq. inflabat.
Et terram pulsauit, & exiliit: atque Veneri
Ostendit dolorem: & questus est, quod tam exilis
Bestiola esset apis, & tanta vulnera faceret.

Mater

© Centre d'Études Supérieures de la Renaissance - Tours

Λαζόμεναι, στάξεῦμες ὑπὸ σκιερὰν πλατάνιστον.
Γράμματα δ' ἐν φλοιῷ γεγράψεται (ὡς παριών τις
Ἀγνοίῃ) Δωριστί, Σέβου μ'· Ἑλένας φυτὸν εἰμί.
Χαίροις ὦ νύμφα, χαίροις εὐπένθερε γαμβρέ.
Λατὼ μὲν δοίη Λατὼ κουροτρόφος ὔμμιν
Εὐτεκνίαν, Κύπρις δὲ θεὰ Κύπρις ἶσον ἔρασθαι
Ἀλλάλων· Ζεὺς δὲ Κρονίδας Ζεὺς ἄφθιτον ὄλβον,
Ὡς ἐξ εὐπατριδᾶν εἰς εὐπατρίδας πάλιν ἔνθῃ.
Εὕδετ' ἐς ἀλλάλων στέρνον φιλότατα πνέοντες
Καὶ πόθον. ἔγρεσθε δὲ πρὸς ἀῶ· μή τι λάθησθε.
Νεύμεθα κἄμμες ἐς ὄρθρον, ἐπεί κα πρᾶτος ἀοιδὸς
Ἐξ εὐνᾶς κελαδήσῃ ἀνασχὼν εὔτριχα δειράν.
Ὑμὰν ὦ ὑμέναιε γάμῳ ἐπὶ τῷδε χαρείης.

---

## XIX IDYLLII.

Monet vero nos hęc imago, quod voluptati dolor & calamitas plerumque comes est: sicut dictum est,

*Dulcia sic tristi semper sunt mixta dolore,*
*Tincta voluptatis gaudia felle nocent.* Et Hor. ait
*---Nocet empta dolore voluptas.*

## ΚΗΡΙΟΚΛΕΠΤΗΣ, Εἰδύλλιον ιθ'.

Τὸν κλέπταν ποτ' Ἔρωτα κακὰ κέντασε μέλισσα,
Κηρίον ἐκ σιμβλῶν συλεύμενον. ἄκρα δὲ χειρῶν
Δάκτυλα πάνθ' ὑπένυξεν. ὁ δ' ἄλγεε, καὶ χέρ' ἐφύσῃ·
Καὶ τὰν γᾶν ἐπάταξε, καὶ ἅλατο. τᾷ δ' Ἀφροδίτᾳ
Δεῖξεν τὰν ὀδύναν, καὶ μέμφετο ὅττι γε τυτθὸν
Θηρίον ἐντὶ μέλισσα, καὶ ἁλίκα τραύματα ποιεῖ.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Χὰ μάτηρ γελάσασα, Τὺ δ' οὐκ ἴσος ἐσσὶ μελίσσαις;
Χὠ τυτθὸς μὲν ἔης, τὰ δὲ τραύματα ἁλίκα ποιεῖς;

---

## ARGVMENTVM

Pastor quidam, qui inter ruricolas suos eximie pulcher sibi videbatur, in vrbem venit. Vbi cum conspicatus fuisset puellam vrbanam, inusitata forma perculsus ad eam accessit, & rustice cum ea ludere, eamque osculari voluit. Illa vero hominis habitũ ac mores rusticos detestata, a se illum reiecit. Conqueritur ergo miser in hoc Idyllio, de insigni contumelia qua affectus sit, deque fastu

## ΒΟΥΚΟΛΙΣΚΟΣ, Εἰδύλλιον κ'.

Εὐνίκα μ' ἐγέλαξε θέλοντά μιν ἁδὺ φιλᾶσαι·
Καί μ' ἐπικερτομέοισα, τάδ' ἔννεπεν, Ἔῤῥ' ἀπ' ἐμεῖο.
Βωκόλος ὢν ἐθέλεις με κύσαι τάλαν; οὐ μεμάθηκα
Ἀγροίκως φιλέειν, ἀλλ' ἀστικὰ χείλεα θλίβειν.
Μὴ τύ γέ μευ κύσῃς τὸ καλὸν στόμα, μηδ' ἐν ὀνείροις.
Οἷα βλέπεις, ὁποῖα λαλεῖς, ὡς ἄγρια παίσδεις·
Ὡς τρυφερὸν λαλέεις, ὡς κωτίλα ῥήματα φράσδεις·
Ὡς μαλακὸν τὸ γένειον ἔχεις, ὡς ἁδέα χαίταν.
Χείλεά τοι νοσέοντι, χέρες δέ τοι ἐντὶ μέλαιναι·
Καὶ κακὸν ἐξόσδεις. ἀπ' ἐμεῦ φύγε, μή με μολύνῃς.
Τοιάδε μυθίζοισα, τρὶς εἰς ἑὸν ἔπτυσε κόλπον,
Καί μ' ἀπὸ τᾶς κεφαλᾶς ποτὶ τὼ πόδε συνεχὲς εἶδεν,
Χείλεσι μυθίζοισα, καὶ ὄμμασι λοξὰ βλέποισα·
Καὶ πολὺ τᾷ μορφᾷ θηλύνετο, καί τι σεσαρὸς

Καὶ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Mater autem ridens: Quid? *inquit*. an non tu similis
es apibus?
Et cum paruus sis, tamen vulnera tanta facis.

---

XX IDYLLII.

fastu ac superbia vrbanæ puellæ. Atque in fine commemorat etiam Dearum exempla, quæ pastorum amore arserint. ¶ Videtur Poeta perstringere hoc Idyllio aliquos Bucolici carminis contemptores, qui forte sua quadam proteruia tumentes, hęc vt pueriles nugas deriserunt: vt sunt aliqui ingenio nimium fastidioso ac superbo, quibus nihil pulchrum est, nisi quod ipsi iudicio suo comprobauerint.

BVBVLCVS, IDYLLION XX.

Eunica me derisit, cum ipsam vellem suauiter osculari:
Et mihi conuicians hæc dixit: Abi in malam rē a me.
Bubulcus quum sis, vis me osculari miser? nō didici
More rustico osculari, verum vrbana labra premere.
Non tu meū pulchrum os osculatus fueris, ne quidem per somnium.
Quali aspectu es! quomodo loqueris! quam rustice ludis!
Quam delicate loqueris! quam blāda verba profers!
Quam mollem habes barbulam! quam pulchram cæsariem!
Labra tibi sunt *velut* ægroto, manus sunt nigræ,
Et male oles. fuge hinc a me, ne me contamines.
Hæc locuta, ter in suum despuit sinum,
Et me a capite ad pedes vsque continue aspexit,
Labris mussitans, & oculis oblique aspiciens.
Atque admodum propter formam lasciuiebat, & ore diducto



© Centre d'Études Supérieures de la Renaissance - Tours

Ac fastuose me derisit. mihi autem statim exæstuauit sanguis,
Et corpore rubefactus sum præ dolore, sicut rosę a rore.
Atq. illa quidẽ me relicto abiit; fero a. in pectore irã,
Quod me tam elegantem fœda meretrix irrisit.
*Vos* pastores verum mihi dicite: nonne sum pulcher?
Num quis me subito Deus alium hominem fecit?
Etenim mihi prius emicabat grata quædam forma
Sicut hædera circa arboris stirpẽ, meãq. ornabat bar[bã:
Capilli autẽ velut apium circũ tẽpora fusi erant:
Et frons alba splendebat supra nigra supercilia.
Oculi mihi erant multo venustiores quã Mineruæ.
Os etiam lacte concreto dulcius; ex ore autem
Fluebat mihi vox dulcior quam faui.
Dulce meum carmen est, & cum fistula modulor,
Et tibia cano, cumque calamo & obliqua tibia *canto.*
Et omnes me pulchrum dicũt in montib. mulieres,
Omnesque me amant: vrbanæ vero me nõ amarũt;
Verum propterea quod bubulcus sum, prætereũt, nec vnquam audiunt
Quomodo formosus Bacchus in vallibus vitulã pa-[scit.
Neque sciunt quod Venus amore bubulci insaniuit,
Et in montib. Phrygię vna pauit: ipsumque Adonidẽ
In siluis amauit, & in siluis deplorauit.
Endymion autem quis erat? annon bubulcus? quem tamen Luna
Boues pascentem amauit, deque cælo descendens
In Latmium saltum venit, & vna cum puero cubuit.
Et tu Rhea deploras bubulcum: nonne & tu
O Iupiter propter puerũ boues pascẽtẽ ipse errasti?
Eunica v. sola bubulcum suo amore non est dignata,

Cybe-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Καὶ σοβαρόν μ' ἐγέλαξεν. ἐμοὶ δ' ἄφαρ ἔζεσεν αἷμα,
Καὶ χρόα φοινίχθην ὑπὸ τὤλγεος, ὡς ῥόδον ἔρσᾳ.
Χὰ μὲν ἔβα με λιποῖσα· φέρω δ' ὑποκάρδιον ὀργὰν
Ὅττι με τὸν χαρίεντα κακὰ μωμήσαθ' ἑταίρα.
Ποιμένες εἴπατέ μοι τὸ κρήγυον· οὐ καλὸς ἐμμί;
Ἆρά τις ἐξαπίνας με θεὸς βροτὸν ἄλλον ἔτευξε;
Καὶ γὰρ ἐμοὶ τὸ πάροιθεν ἐπάνθεεν ἁδύ τι κάλλος
Ὡς κισσὸς ποτὶ πρέμνον, ἐμὰν δ' ἐπύκαζεν ὑπήναν·
Χαῖται δ' οἷα σέλινα περὶ κροτάφοισι κέχυντο·
Καὶ λευκὸν τὸ μέτωπον ἐπ' ὀφρύσι λάμπε μελαίναις·
Ὄμματά μοι δ' ἄρ ἦν χαροπώτερα πολλὸν Ἀθάνας·
Τὸ στόμα καὶ πακτᾶς γλυκερώτερον· ἐκ στομάτων δὲ
Ἔρρεέ μοι φωνὰ γλυκερωτέρα ἢ μελικήρω.
Ἁδὺ δέ μοι τὸ μέλισμα, καὶ ἢν σύριγγι μελίσδω,
Κἢν αὐλῷ λαλέω, κἢν δώνακι, κἢν πλαγιαύλῳ.
Καὶ πᾶσαι καλόν με κατ' ὤρεα φαντὶ γυναῖκες,
Καὶ πᾶσαί με φιλεῦντι· ταὶ δ' ἀστικά μ' οὐκ ἐφίλασεν,
Ἀλλ' ὅτι βουκόλος ἐμμὶ παρέδραμε· κοὔποτ' ἀκούει
Ὡς καλὸς Διόνυσος ἐπ' ἄγκεσι πόρτιν ἐλαύνει·
Οὐκ ἔγνω δ' ὅτι Κύπρις ἐπ' ἀνέρι μήνατο βούτα,
Καὶ Φρυγίης ἐνόμευσεν ἐν ὤρεσιν· αὐτὸν Ἄδωνιν
Ἐνδρυμοῖσι φίλασε, καὶ ἐν δρυμοῖσιν ἔκλαυσεν.
Ἐνδυμίων δὲ τίς ἦν; οὐ βουκόλος; ὅντε Σελάνα
Βουκολέοντα φίλασεν· ἀπ' Οὐλύμπω δὲ μολοῖσα
Λάτμιον αὖ νάπος ἦλθε, καὶ εἰς ἕνα παιδὶ κάθευδε.
Καὶ τὺ Ῥέα κλαίεις τὸν βουκόλον· οὐχὶ δὲ καὶ τὺ
Ὦ Κρονίδα διὰ παῖδα βοηνόμον αὐτὸς ἐπλάγχθης;
Εὐνίκα δὲ μόνα τὸν βουκόλον οὐκ ἐφίλασεν,

Ἀκυ

Ἁ Κυβέλας κρέσσων καὶ Κύπριδος, ἅ τε Σελάνας·
Μηκέτι μηδὲ σὺ Κύπρι τὸν ἀδέα, μήτε κατ' ἄστυ
Μήτ' ἐν ὄρει φιλέοις, μώνη δ' ἀνὰ νύκτα καθεύδοις.

## ARGVMENTVM

Monet hoc Idyllion vt sua quisque sorte contentus viuat: & sub imagine somnii de aureo pisce, vanas hominum spes ac cupiditates venustissime depingit. Nam quum piscatores duo sub noctem ad capturam piscium domo exissent, ac in paupere tugurio ante mediam noctem vna dormirent, alter eorum somniat se grandem aureum piscem cepisse. Ingenti gaudio affectus iurat in somnis, nunquam se amplius piscibus capiendis operam daturum, verum de aureo illo pisce, in otio & luxu

post-

## ἉΛΙΕΙΣ, εἰδύλλιον κα'.

Ἁ πενία Διόφαντε μόνα τὰς τέχνας ἐγείρει·
Αὐτὰ τῶ μόχθοιο διδάσκαλος· οὐδὲ γὰρ εὕδειν
Ἀνδράσιν ἐργατίναισι κακαὶ παρέχοντι μέριμναι.
Κἂν ὀλίγον νυκτός τις ἐπιψαύσῃσι τὸν ὕπνον,
Αἰφνίδιον θορυβεῦσιν ἐφιστάμεναι μελεδῶναι.
Ἰχθύος ἀγρευτῆρες ὁμῶς δύο κεῖντο γέροντες,
Στρωσάμενοι βρύον αὖον ὑπὸ πλεκταῖς καλύβαισι,
Κεκλιμένοι τοίχῳ τῷ φυλλίνῳ. ἐγγύθι δ' αὐτοῖν
Κεῖτο τὰ ταῖν χεροῖν ἀθλήματα, τοὶ καλαθίσκοι,
Τοὶ κάλαμοι, τὤγκιστρα, τὰ φυκιόεντά τε λῆδα,
Ὁρμειαὶ, κύρτοι, καὶ ἐκ σχοίνων λαβύρινθοι,
Μήρινθοι, κῶπαί τε, γέρων δ' ἐπ' ἐρείσμασι λέμβος·
Νέρθεν τᾶς κεφαλᾶς φορμὸς βραχὺς, εἵματα, πῖλοι.

Οὗτος

© Centre d'Études Supérieures de la Renaissance - Tours

Cybele *scilicet* melior, & Venere & Luna.
Neq; amplius tu Venus amabilem illũ *Adonidem* in vrbe,
Neque in monte ames, verum sola per noctem dormias.

---

XXI IDYLLII.

posthac suauiter victurum. Mane quum aureus ille piscis & spes ipsa auolasset, neque esset experrecto vnde victitaret, nisi & ipse & vxor ac liberi fame perire vellent: vel inuitus, & contra quam iurauerat in somnis, ad consuetos labores redire cogitur. Apparet Theocritum Ægyptiis suis, apud quos fuit, hanc fabulam cecinisse: qui quum plerique essent piscatores, atque homines otio dediti, ad laborem non facile nisi inopia & necessitate perpelli poterant: nec faciebant officium donec esset vnde victitarent.

PISCATORES.

Paupertas, o Diophante, sola excitat artes,
Ipsa laboris magistra est. neque enim dormire
Viros operarios improbæ curæ sinunt.
Et cum breui noctis tempore quis attigit somnum,
Subito obturbant instantes curæ.
Piscium venatores vna duo cubabant senes,
Cum strauissent aridam algam sub textili tugurio,
Inclinati ad parietem foliaceum: prope v. apud ipsos
Posita erant manuum exercitia, calathisci,
Arundines, hami, & algosa retia,
Funiculi *ex setis equinis*: sagenę gibbosę, & viminei labyrinthi, *i. nassæ*,
Laquei, & pellis, & vetusta super phalangas cymba;
Sub capite storea breuis, vestes, pilea.

Hic

© Centre d'Études Supérieures de la Renaissance - Tours

Hic erat piscatoribus omnis labor, hæ diuitiæ:
Nullus ollam habebat, nec canem: omnia *hæc* eximia
Omnia eius venationis videbantur: paupertas ipsis amica *erat*, [psam
Neque vllus aderat vicinus: verum vndecunque ad i-
Afflictam casulam suauiter adnatabat mare.
Nondum medium cursum confecerat currus Lunæ,
Cum piscatores excitabat amicus labor: e palpebris autem [men.
Somnum excutientes, hoc animis suis incitabāt car-
*Asphalion.*
Mentiuntur, amice, omnes quicunq. noctes dixerūt
Æstate breues esse, quando dies lōgos affert Iupiter.
Iam. *n.* innumerabilia vidi somnia, necdum tamē aurora *est*. [ctes trahunt.
Nunquid deceptus sum? quid hoc rei est? moram no-
*Hosp.* Asphalion, accusas pulchram æstatem: non e-
Sponte transit cursu suo: sed somnum [nim tempus
Cura excutiens, longam tibi noctem efficit.
*Asph.* Nunquid interpretari didicisti somnia? nā bo-
Non volo te meæ visionis esse expertem, [na vidi.
Vt sicut pisciū prædā, ita & sōnia omnia diuidamus.
Non enim vinceris ingenio. ille optimus
Est somniorū iudex in quo mens est, quę doceat ipsū.
Nam alioqui & otium est. Quid enim faciat aliquis
Iacens in foliis ad mare, neque dormiens
Facile in frondibus? nam lychnum in Prytaneo
Sēper prædā habere ferunt. *Hosp.* Dic mihi noctis
Visionem, & omnia narrans tuo indica amico.
*Asph.* Vespere vt obdormiui in marinis laboribus,
(Nō erā multo cibo repletus: nā cū cœnaremus sero,
Si meministi, ventri parcebamus.) videbā me ipsum
In rupe

Οὗτος τοῖς ἁλιεῦσιν ὁ πᾶς πόνος, οὗτος ὁ πλοῦτος.
Οὐδεὶς δ' οὐ χύτραν εἶχ', οὐ κύνα· πάντα περισσὰ
Πάντ' ἐδόκει τήνοις ἄγρας· πενία σφιν ἑταίρα.
Οὐδεὶς δ' ἐν μέσσῳ γείτων, παντᾷ δὲ παρ' αὐτὴν
Θλιβομέναν καλύβαν τρυφερὸν προσέναχε θάλασσα.
Οὔπω τὸν μέσατον δρόμον ἄνυεν ἅρμα σελάνας,
Τοὺς δ' ἁλιεῖς ἤγειρε φίλος πόνος· ἐκ βλεφάρων δὲ
Ὕπνον ἀπωσάμενοι σφετέραις φρεσὶν ἤρεθον ᾠδάν.
α. Ψεύδονται φίλε πάντες ὅσοι τὰς νύκτας ἔφασκον
Τῶ θέρεος μινύθειν, ὅτε τἄματα μακρὰ φέρει Ζεύς.
Ἤδη μυρί' ἐσεῖδον ὀνείρατα, κοὐδέπω ἀώς.
Μὴ λαθόμην; τί τὸ χρῆμα; χρόνον δ' αἱ νύκτες ἔχοιεν.
β. Ἀσφαλίων, μέμφῃ τὸ καλὸν θέρος· οὐ γὰρ ὁ καιρὸς
Αὐτομάτως παρέβα τὸν ἑὸν δρόμον· ἀλλὰ τὸν ὕπνον
Ἁ φροντὶς κόπτοισα, μακρὰν τὰν νύκτα ποιεῖ τιν.
α. Ἄρ' ἔμαθες κρίνειν ποκ' ἐνύπνια; χρηστὰ γὰρ εἶδον.
Οὔ σε θέλω τὠμῶ φαντάσματος ἦμεν ἄμοιρον·
Ὡς καὶ τὰν ἄγραν, τὠνείρατα πάντα μερίζευ.
Οὐ γὰρ νικαξῇ κατὰ τὸν νόον. οὗτος ἄριστος
Ἐστὶν ὀνειροκρίτας, ὁ διδάσκαλός ἐστι παρ' ᾧ νοῦς.
Ἄλλως καὶ σχολή ἐστι. τί γὰρ ποιεῖν ἂν ἔχοι τις
Κείμενος ἐν φύλλοις ποτὶ κύματι, μηδὲ καθεύδων
Ἄσμενος ἐν ῥάμνῳ; τὸ δὲ λύχνιον ἐν πρυτανείῳ·
Φαντὶ γὰρ αἰὲν ἄγραν τόδ' ἔχειν. β. Λέγε μοι ποτὶ νυκτὸς
Ὄψιν, πάντα τεῷ δὲ λέγων μήνυσον ἑταίρῳ.
α. Δειλινὸν ὡς κατέδαρθον ἐν εἰναλίοισι πόνοισιν,
(Οὐκ ἦν μὰν πολύσιτος· ἐπεὶ δειπνεῦντες ἐν ὥρᾳ,
Εἰ μέμνῃ, τᾶς γαστρὸς ἐφειδόμεθα) εἶδον ἐμαυτὸν

Ἐν πέ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἐν πέτρᾳ μεμαῶτα· καθεζόμενος δὲ δόκευον
Ἰχθύας, ἐκ καλάμων δὲ πλάνον κατέσειον ἐδωδάν.
Καί τις τῶν τραφερῶν ὠρέξατο. καὶ γὰρ ἐν ὕπνοις
Πᾶσα κύων ἄρτως μαντεύεται· ἰχθύα κἠγών.
Χὠ μὲν τἀγκίστρῳ ποτεφύετο, καὶ ῥέεν αἷμα·
Τὸν κάλαμον δ' ὑπὸ τοῦ κινήματος ἀγκύλον εἶχον.
Τὼ χέρε τεινόμενος, περὶ κνώδαλον εὖρον ἀγῶνα,
Πῶς μιν ἕλω μέγαν ἰχθὺν ἀφαυροτέροισι σιδάροις.
Εἶθ' ὑπομιμνάσκων τῶ τραύματος, ἆρ' ἐμὲ νύξεις;
Καὶ νύξῃ χαλεπῶς. καὶ οὐ φεύγοντος ἔτεινα.
Ἤνυσ' ἰδὼν τὸν ἄεθλον· ἀνήλκυσα χρύσεον ἰχθὺν,
Πάντα τῷ χρυσῷ πεπυκασμένον· εἶχε δὲ δεῖμα
Μή τι Ποσειδάωνι πέλοι πεφιλαμένος ἰχθύς;
Ἢ τάχα τᾶς γλαυκᾶς κειμήλιον Ἀμφιτρίτης.
Ἠρέμα δ' αὐτὸν ἐγὼ ἐκ τὠγκίστρω ἀπέλυσα,
Μή ποτε τῶ στόματος τἀγκίστρια χρυσὸν ἔχοιεν.
Καὶ τὸν μὲν πειστῆρσι κατῆγον ἐπ' ἠπείροιο·
Ὤμοσα δ' οὐκέτι λοιπὸν ὑπὲρ πελάγους πόδα θεῖναι,
Ἀλλὰ μένειν ἐπὶ γᾶς καὶ τῷ χρυσῷ βασιλεύειν.
Ταῦτά με κἀξήγειρε· τὺ δ' ὦ ξένε λοιπὸν ἔρειδε
Τὰν γνώμαν· ὅρκον γὰρ ἐγὼ τὸν ἐπώμοσα ταρβῶ.
β. Καὶ σύ γε μὴ τρέσῃς· οὐκ ὤμοσας· οὐδὲ γὰρ ἰχθὺν
Χρύσεον εἶδες ἢ εὗρες· ἴσαι δὲ ψεύδεσιν ὄψεις.
Εἰ δ' ὕπαρ, οὐ κνώσσων τὺ τὰ χωρία ταῦτα ματεύσεις,
Ἐλπὶς τῶν ὕπνων ζάτει τὸν σάρκινον ἰχθύν·
Μὴ σὺ θάνῃς λιμῷ, καίτοι χρυσοῖσιν ὀνείροις.

ΑΡΓΥ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

In rupe conantem *pisces capere.* Sedens autem obseruabam
Pisces; ex arundine vero *suspensam* fallacem quatiebam escam;
Et vnus ex grandibus appetiuit: nam & in somnis
Omnis canis offam auguratur; *sic* & ego pisces.
Et ille quidē hamo adhærescebat, & fluebat sanguis.
Et arundinem tenebam curuatam a motu.
Manus extendēs, circa hoc animal inueni certamē,
Quomodo magnum caperem piscem exiguo ferro.
Deinde & de vulnere cogitans, nū me pūges? *inquā.*
Et pūgeris grauiter. & cum nō fugeret, extēdi *manū:*
Video me confecisse certamē: attraxi aureum piscē,
Vndiq; ex auro compositum. metus a *me* tenebat,
Ne forte Neptuno dilectus esset piscis,
Aut forte cæruleæ thesaurus Amphitrites.
Placide vero ego ipsum ab hamo solui,
Ne hamo ex ore aurum adhæreret;
Et illum funiculis traxi in terram,
Ac iuraui me posthac in mari non amplius positurum esse pedem,
Sed in terra mansurum, & auro dominaturum.
Hęc me excitarunt: tu v. hospes ad id quod restat intende
Mentem. nā iuramentū timeo quod iuraui.
*Hosp.* At tu ne verearis: non enim iurasti: nā neq; piscem
Aureum vidisti, aut nactus es: *tales* autem visiones similes sunt mendaciis.
Nam si vigilans, nec dormiens, tu loca illa perquiras;
Tum spes somniorum carneum piscem requiret,
Ne tu moriaris fame, licet *in* aureis somniis, *h. e. aurum somnians.*



© Centre d'Études Supérieures de la Renaissance - Tours

ARGVMENTVM

Pugnam inter Pollucem & Amycum Bebryciorum principem commemorat. Amycus, cum robore corporis, & arte pugilum superaret omnes, crudelē tulit legem: Ne quis hospes qui ea loca adiisset, inde discederet, quin prius

GEMINI, IDYLLION XXII.

Hymno celebramus Iouis ægiochi Ledæque filios,
Castorem & terribilē Pollucē in certamine pugilū,
Cum manus cinxit mediis bubulis loris, *i. cæstib.*
Canimus bis terque masculos filios
Filię Thestii (*i. Ledæ*) Lacedęmonios geminos fratres,
Hominum seruatores in *acie* nouaculæ iam existentium,
Et equorum turbatorum in cruento *hominum* cœtu:
Et nauium, quæ occidentia & cælo orientia
Astra implorātes, in graues inciderunt vētorum flatus:
Qui a puppi ipsarum extollentes ingentem vndam,
Aut etiam a prora, aut vnde cuique libet *ventorum*,
In cauam *nauem* infuderunt, ruperuntque latera
Vtraque; pendent autem cum velo instrumenta omnia,
Temere disrupta: plurimus vero e cælo imber
Sub noctem subsequens: cum fremitu resonat amplum mare
Pulsatum *ventorumque* flatibus & valida grandine.
Attamen vos etiam ex profundo retrahitis naues
*Vna* cum ipsis nautis qui se morituros esse putabant:
Statim vero venti desinunt, & mitis tranquillitas *oritur*
Per mare, nebulæque diffugere aliæ alio:

Et rur-

© Centre d'Études Supérieures de la Renaissance - Tours

## XXII IDYLLII.

prius secum cæstu decertaret. Ac cum ita multos hospites interfecisset, tandem & Pollucem, qui cum Argonautis eo venerat, secum decertare cogit; a quo & victus est.

## ΔΙΟΣΚΟΥΡΟΙ,
### Εἰδύλλιον κβ΄.

Ὑμνέομες Λήδας τε καὶ αἰγιόχω Διὸς υἱώ,
Κάστορα καὶ φοβερὸν Πολυδεύκεα πὺξ ἐρεθίζειν,
Χεῖρας ἐπιζεύξαντα μέσοις βοέοισιν ἱμᾶσιν.
Ὑμνέομες καὶ δὶς καὶ τὸ τρίτον ἄρσενα τέκνα
Κούρης Θεστιάδος, Λακεδαιμονίους δύ' ἀδελφούς,
Ἀνθρώπων σωτῆρας ἐπὶ ξυροῦ ἤδη ἐόντων,
Ἵππων θ' αἱματόεντα ταρασσομένων καθ' ὅμιλον,
Ναῶν θ' αἳ διώοντα καὶ οὐρανοῦ ἐξανιόντα
Ἄστρα βιαζόμεναι, χαλεποῖς ἐνέκυρσαν ἀήταις·
Οἱ δέ, σφέων κατὰ πρύμναν ἀείραντες μέγα κῦμα,
Ἠὲ καὶ ἐκ πρώραθεν, ἢ ὅππα θυμὸς ἑκάστου,
Εἰς κοίλαν ἔρριψαν, ἀνέρρηξαν δ' ἄρα τοίχους
Ἀμφοτέρους· κρέμαται δὲ σὺν ἱστίῳ ἄρμενα πάντα,
Εἰκῆ ἀποκλασθέντα· πολὺς δ' ἐξ οὐρανοῦ ὄμβρος
Νυκτὸς ἐφερπούσας· παταγεῖ δ' εὐρεῖα θάλασσα,
Κοπτομένη πνοιαῖς τε καὶ ἀρρήκτοισι χαλάζαις.
Ἀλλ' ἔμπης ὑμεῖς τε καὶ ἐκ βυθοῦ ἕλκετε νᾶας
Αὐτοῖσιν ναύταισιν ὀιομένοις θανέεσθαι·
Αἶψα δ' ἀπολήγοντ' ἄνεμοι, λιπαρὰ δὲ γαλάνα
Ἀμπέλαγος· νεφέλαι δὲ διέδραμον ἄλλυδις ἄλλαι·



© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἐκ δ' ἄρκτοι τ' ἐφάνησαν, ὄνων τ' ἀνὰ μέσσον ἀμαυρὴ
Φάτνη, σημαίνουσα τὰ πρὸς πλόον εὔδια πάντα.
Ὦ ἄμφω θνατοῖσι βοηθόοι, ὦ φίλοι ἄμφω,
Ἱππῆες, κιθαρισταὶ, ἀεθλητῆρες, ἀοιδοί·
Κάστορος ἢ πρώτου Πολυδεύκεος ἄρξομ' ἀείδειν;
Ἀμφοτέρους ὑμνέων, Πολυδεύκεα πρῶτον ἀείσω.
Ἡ μὲν ἄρα προφυγοῦσα πέτρας εἰς ἓν ξυνιούσας
Ἀργὼ, καὶ νιφόεντος ἀταρτηρὸν στόμα Πόντου,
Βέβρυκας εἰσαφίκανε, θεῶν φίλα τέκνα φέροισα·
Ἔνθα μιᾶς πολλοὶ κατὰ κλίμακος ἀμφοτέρων ἐξ
Τοίχων ἄνδρες ἔβαινον Ἰησονίης ἀπὸ νηός.
Ἐκβάντες δ' ἐπὶ θῖνα βαθὺν, καὶ ὑπήνεμον ἀκτὴν,
Εὐνάς τ' ἐστόρνυντο, πυρειά τε χερσὶν ἐνώμων.
Κάστωρ δ' αἰολόπωλος ὅ τ' οἰνωπὸς Πολυδεύκης
Ἄμφω ἐρημάζεσκον, ἀποπλαγχθέντες ἑταίρων.
Παντοίην δ' ἐν ὄρει θηεύμενοι ἄγριον ὕλην,
Εὗρον ἀέναον κράναν ὑπὸ λισσάδι πέτρῃ
Ὕδατι πεπληθυῖαν ἀκηράτῳ· αἱ δ' ὑπένερθεν
Ἄλλαι κρυστάλλῳ ἠδ' ἀργύρῳ ἰνδάλλοντο
Ἐκ βυθοῦ. ὑψηλαὶ δὲ πεφύκεσαν ἀγχόθι πεῦκαι,
Λεῦκαί τε, πλάτανοί τε, καὶ ἀκρόκομοι κυπάρισσοι,
Ἄνθεά τ' εὐώδη, λασίαις φίλα ἔργα μελίσσαις,
Ὅσσ' ἔαρος λήγοντος ἐπιβρύει ἂν λειμῶνας.
Ἔνθα δ' ἀνὴρ ὑπέροπλος ἐνήμενος ἐνδιάασκε,
Δεινὸς ἰδεῖν, σκληραῖσι τεθλασμένος οὔατα πυγμαῖς·
Στήθεα δ' ἐσφαίρωτο πελώρια, καὶ πλατὺ νῶτον,
Σαρκὶ σιδαρείῃ, σφυρήλατος οἷα κολοσσός·
Ἐν δὲ μύες στερεοῖσι βραχίοσιν ἄκρον ὑπ' ὦμον

Ἔστα-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Et rursum apparent vrsæ, atque inter medios asinos obscurum
Præsepe, significans ad nauigationem serena omnia.
O ambo mortalibus auxiliatores, o amici ambo,
Equites, citharistæ, pugiles, cantores.
Vtrũ de Castore prius, an de Polluce incipiã canere?
Vtrosque hymno celebrans, de Polluce prius canã.
Ipsa quidẽ cum effugisset petras in vnũ cõcurrẽtes
Argo, & niuosi sæuum os Ponti,
Ad Bebrycas puenit, Deorũ caros liberos vehẽs *i. he-*
Ibi vnam multi per scalam, ex vtrisque [*roas.*
*Nauis* parietibus viri descendebant, ex naue Iasonia.
Egressi autẽ in litus ꝓfundũ, & ventosam *maris* orã,
Toros sternebant: & vasa quæ ad ignem ponerent, manibus versabant,
Castor autem eques, & fuscus Pollux,
Ambo in solitudine vagabantur, deerrantes a sociis.
Copiosam autẽ & immensam in mõte spectãtes sil-
Inuenerunt fontem perennem sub ardua rupe, [uã,
Plenum pura aqua; atque infra
Alii fontes crystallo & argento similes erant
Ex imo fundo *scaturientes*. sublimes autem prope natæ erant tædæ,
Populique, platanique & frondosæ cupressi,
Floresque odoriferi, gratum opus hirtis apiculis,
Qui sub finem veris vigent in pratis.
Ibi vir immanis sedem habens, sub dio manebat,
Sæuus aspectu, cui duris cæstibus aures erant fractæ:
Pectus eminebat rotundum instar globi, & latum dorsum,
Carne ferrea, quasi malleis fabricatus instar colossi.
In validis autẽ brachiis musculi sub summo humero



© Centre d'Études Supérieures de la Renaissance - Tours

Extabant, ceu ſcopuli rotundi, quos voluens
Torrens fluuius magnis circumpoliuit gurgitibus.
A dorſo vero & collo pendebat
Pellis leonis, ab extremis ſuſpenſa pedibus. [batur:
Eũ Pollux in certamine pugilũ victor prior alloque-
*Poll.* Salue hoſpes, quicũq; es. quinam ſunt homines
quorum hic eſt locus? [quam vidi?
*Am.* Quomodo ſalu'ſim, cũ videã homines quos nũ-
*Poll.* Bono animo ſis: neq; iniuſtos, neq; ex iniuſtis
natos te videre exiſtima. [ter.
*Am.* Bono sũ animo: neq; a te hoc me diſcere opor-
*Poll.* Ferox es, & ad omnia iracũdus, & ſuperbus. [rã.
*Am.* Talis sũ qualẽ *me* vides: attamẽ tuã nõ calco *ſ.ter*
*Poll.* Venias: & dona adeptus hoſpitalia rurſum do-
mum redeas.
*Am.* Neq; tu me hoſpitio accipias: quæq; a me acci-
pienda, ea non ſunt in promptu.
*Poll.* Age o bone, an nõ cõcedes de hac aqua bibere?
*Am.* Scies, cum tibi ſitis remiſſa labra cruciabit.
*Pollux.* Argẽto, aut quę ſit merces, dicas, qua tibi per-
ſuadeamus. [rum conſiſtens
*Amyc.* Vnus cõtra vnum manus attolle, aduerſus vi-
Pugil, aut etiam pedibus figẽs crus: oculos v. rectos
Pugilice intendens, veſtrę ne parcito arti.
*Poll* Quis ille eſt cũ quo manib. & meis cõfligã cęſtib.
*Am.* Prope vides: nõ imbellis exiſtens vocabit pugil.
*Poll.* An & pręmiũ adeſt ꝓ quo decertabimus ambo?
*Am.* Tuus ego, tu vero meus vocabere, ſi pręualeam.
*Pollux.* Auium rubricriſtium talia ſunt prœlia.
*Amycus.* Siue auibus ſimiles, ſiue leonibus
Simus, non aliud certabimus ob præmium.
Dixit ſane Amyc⁹, & caua cõcha accepta inſonuit.
Tunc

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἔστασαν, ἠύτε πέτροι ὀλοοίτροχοι, οὕστε κυλίνδων
Χειμάρρους ποταμὸς μεγάλαις περιέξεσε δίναις.
Αὐτὰρ ὑπὲρ νώτοιο καὶ αὐχένος ἠωρεῖτο
Ἄκρων δέρμα λέοντος ἀφημμένον ἐκ ποδεώνων.
Τὸν πρότερος προσέειπεν ἀεθλοφόρος Πολυδεύκης·
π. Χαῖρε ξεῖν', ὅστ' ἐσσί· τίνες βροτοὶ ὧν ὅδε χῶρος;
α. Χαίρω πῶς, ὅτε τ' ἄνδρας ὁρῶ τοὺς μήποτ' ὄπωπα;
π. Θάρσει· μήτ' ἀδίκους, μήτ' ἐξ ἀδίκων φάθι λεύσσειν.
α. Θαρσέω· κοὐκ ἐκ σοῦ με διδάσκεσθαι τόδ' ἔοικεν.
π. Ἄγριος εἶ, πρὸς πάντα παλίγκοτος, ἠδ' ὑπερόπτης.
α. Τοιόσδ' οἷος ὁρᾷς· τῆς σῆς γε μὲν οὐκ ἐπιβαίνω.
π. Ἔλθοις, καὶ ξενίων γε τυχὼν, πάλιν οἴκαδ' ἱκάνοις.
α. Μήτε σύ με ξείνιζε· τάτ' ἐξ ἐμεῦ οὐκ ἐν ἑτοίμῳ.
π. Δαιμόνι', οὐδ' ἂν τοῦ γε πιεῖν ὕδατος σύ γε δοίης;
α. Γνώσεαι, εἴ σου δίψος ἀνειμένα χείλεα τέρσει.
π. Ἄργυρος, ἢ τίς ὁ μισθὸς ἐρεῖς, ᾧ κέν σε πίθοιμεν;
α. Εἷς ἑνὶ χεῖρας ἄειρον, ἐναντίος ἀνδρὶ καταστὰς
Πυγμάχος, ἢ καὶ ποσσὶ θένων σκέλος· ἄμματα δ' ὀρθὰ
Πὺξ διατεινάμενος, σφετέρης μὴ φείδεο τέχνης.
π. Τίς γὰρ ὅτῳ χεῖρας καὶ ἐμοὺς συνερείσω ἱμάντας;
α. Ἐγγὺς ὁρᾷς· οὐ γύννις ἐὼν κεκλήσεθ' ὁ πύκτης.
π. Ἦ καὶ ἄεθλον ἑτοῖμον ἐφ' ᾧ δηρισόμεθ' ἄμφω;
α. Σὸς μὲν ἐγὼ, σὺ δ' ἐμὸς κεκλήσεαι, εἴ κε κρατήσω.
π. Ὀρνίχων φοινικολόφων τοιοίδε κυδοιμοί.
α. Εἴτ' οὖν ὀρνίχεσσιν ἐοικότες εἴτε λέουσι
Γεινόμεθ', οὐκ ἄλλῳ γε μαχεσσαίμεσθ' ἐπ' ἀέθλῳ.
Ἦ ῥ' Ἄμυκος, καὶ κόχλον ἑλὼν μυκάσατο κοῖλον.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Οἱ δὲ θοῶς συναγέρθεν ὑπὸ σκιερᾶς πλατανίστω,
Κόχλῳ φυσαθέντος, ἀεὶ Βέβρυκες κομόωντες.
Ὣς δ' αὔτως ἥρωας ἰὼν ἐκαλέσατο πάντας
Μαγνήσσης ἀπὸ ναὸς ὑπείροχος ἐν δαὶ Κάστωρ.
Οἱ δ', ἐπεὶ οὖν σπείραισιν ἐκαρτύναντο βοείαις
Χεῖρας, καὶ περὶ γυῖα μακροὺς εἵλιξαν ἱμάντας,
Ἐς μέσσον σύναγον, φόνον ἀλλάλοισι πνέοντες.
Ἔνθα πολύς σφισι μόχθος ἐπειγομένοισιν ἐτύχθη,
Ὁππότερος κατὰ νῶτα λάβῃ φάος ἠελίοιο.
Ἀλλ' ἰδρίῃ μέγαν ἄνδρα παρήλυθες ὦ Πολύδευκες·
Βάλλετο δ' ἀκτίνεσσιν ἅπαν Ἀμύκοιο πρόσωπον·
Αὐτὰρ ὅγ' ἐν θυμῷ κεχολωμένος ἵετο πρόσσω
Χερσὶ τιτυσκόμενος· τοῦ δ' ἄκρον τύψε γένειον
Τυνδαρίδης ἐπιόντος. ὀρίνθη δὲ πλέον ἢ πρίν,
Σὺν δὲ μάχαν ἐτίναξε, πολὺς δ' ἐπέκειτο νενευκὼς
Ἐς γαῖαν. Βέβρυκες δ' ἐπαΰτεον· ἐκ δ' ἑτέρωθεν
Ἥρωες κρατερὸν Πολυδεύκεα θαρσύνεσκον,
Δειδιότες μή πως μιν ἐπιβρίσας δαμάσῃ
Χώρῳ ἐνὶ στεινῷ Τιτυῷ ἐναλίγκιος ἀνήρ.
Ἤτοι ὅγ' ἔνθα καὶ ἔνθα παριστάμενος Διὸς υἱὸς
Ἀμφοτέραισιν ἄμυσσεν ἀμοιβαδίς· ἔσχεθε δ' ὁρμῆς
Παῖδα Ποσειδάωνος, ὑπερφίαλόν περ ἐόντα.
Ἔστη δὲ πληγαῖς μεθύων· ἐκ δ' ἔπτυσεν αἷμα
Φοίνιον. οἱ δ' ἅμα πάντες ἀριστῆες κελάδησαν,
Ὡς ἴδον ἕλκεα λυγρὰ περὶ στόμα τε γναθμούς τε.
Ὄμματα δ' οἰδήσαντος ἀπεστείνωτο πρόσωπα.
Τὸν μὲν ἄναξ ἐτάραξεν, ἐτώσια χερσὶ προδεικνὺς
Πάντοθεν· ἀλλ' ὅτε δή μιν ἀμηχανέοντ' ἐνόησε,

Μέσσαις

© Centre d'Études Supérieures de la Renaissance - Tours

Tunc celeriter cōuenerunt sub vmbrosam platanū,
Concha inflata, Bebryces semper comam alentes,
Sic & heroas abiens euocauit omnes
Magnesia e naui præstans in pugna Castor.
Illi igitur cum spiris muniuissent bubulis
Manus, & circum membra innexuissent longa lora,
In medium congressi sunt, cædē sibi mutuo spirātes.
Ibi magnus ipsis labor annitentibus fuit,
Vter post tergum acciperet lumen solis:
Sed solertia virum ingentem anteuertisti, o Pollux:
Feriebatur vero *Solis* radiis totus Amyci vultus.
At ipse animo iratus, pergebat vltra,
Manibus ictum dirigens. huius autem summā percussit genam
Tyndarides irruentis. commotus est autem magis quam antea,
Pugnáq. concitauit: & multum incumbebat, inclinans se
In terram. Bebryces v. acclamabāt; ex altera a. parte
Heroes fortem Pollucem confirmabant,
Metuentes ne quo modo ipsum obruens superaret
In loco angusto vir Tityo (*Terræ filio*) similis.
At ille hinc & inde instans Iouis filius,
Ambabus manibus laniabat alternis, & ab impetu cohibebat
Filium Neptuni, quanuis immanem existentem.
At ille stabat plagis ebrius, & expuebat sanguinem
Cruentum: principes vero omnes exclamauerunt,
Vt vlcera dira viderunt circa os & genas:
Oculi vero in tumido vultu arctiores fiebant.
Illū q̄dē Princeps cōturbabat frustra manus ꝑtendēs
Vndique: verum cum ipsum deficere sensit,

Supra

© Centre d'Études Supérieures de la Renaissance - Tours

Supra medium nasum inter supercilia impegit ictũ,
Totamque auulsit frontem vsque ad os. at ille sauciatus,
Supinus in foliis virentibus extensus iacuit.
Ibi pugna aspera iterum excitata est, cum se iterum erexisset.
Nam mutuo se vulnerabant duris cędentes cęstibus.
At in pectus manus iactabat & extra
Ceruicem, princeps Bebrycum: sed indignis plagis
Totam faciem fœdabat inuictus Pollux.
Caro autem sudore subsidebat, & e magno
Viro mox paruus factus est. At ille, *s. Pollux*, firmiora membra
Laborem sustinens ferebat, & colore *fiebat* melior.
Quomodo tãdem Iouis filius voracem virũ deiecit,
Dic Dea: tu enim nosti: ego vero aliorum interpres,
Loquar sicut tu vis, & vt tibi gratum est.
Scilicet ille magnum aliquod opus facere cupiẽs,
Sinistra sinistram Pollucis apprehendit manum,
Obliquus ab ictu declinans; altera vero subiens
Dextro extulit a latere latam manum.
Et *forte* assecutus læsisset Amyclæorum regem:
Verum ille elabebatur capite: & insuper forti manu
Percussit sub læuum tempus, & inuasit humerum:
Effusus a. est statim ater sanguis ex hianti tempore.
Sinistra v. percussit os, crebriq; increpuerunt dẽtes:
Semper acriore pugnorum crebra ingeminatione lædebat faciem,
Donec contudit genas: totus vero *stratus* humi
Iacebat exanimis, & porrigebat, pugnæ renuntians,
Ambas simul manus, quoniam morti proximus erat.
Huic quidem, licet victor, indignum nihil fecisti

O pugil

© Centre d'Études Supérieures de la Renaissance - Tours

Μέσας ῥινὸς ὕπερθε κατ' ὀφρύος ἤλασε πυγμήν,
Πᾶν δ' ἀπέσυρε μέτωπον ἐς ὀστέον. αὐτὰρ ὁ πλαγείς,
Ὕπτιος ἐν φύλλοισι τεθαλόσιν ἐξετανύσθη.
Ἔνθα μάχη δριμεῖα πάλιν γένετ' ὀρθωθέντος·
Ἀλλάλους δ' ὄλεκον στερεοῖς θείνοντες ἱμᾶσιν.
Ἀλλ' ὁ μὲν ἐς στῆθός τε καὶ ἔξω χεῖρας ἐνώμα
Αὐχένος ἀρχαγὸς Βεβρύκων· ὁ δ' ἀεικέσι πλαγαῖς
Πᾶν συνέφυρε πρόσωπον ἀνίκατος Πολυδεύκης.
Σάρκες δ' αἱ μὲν ἱδρῶτι συνίζανον· ἐκ μεγάλου δὲ
Αἶψ' ὀλίγος γένετ' ἀνδρός· ὁ δ' αἰεὶ μάσσονα γυῖα
Ἁπτόμενος φορέεσκε πόνου, καὶ χροιῇ ἀμείνων.
Πῶς γὰρ δὴ Διὸς υἱὸς ἀδηφάγον ἄνδρα καθεῖλεν,
Εἰπὲ θεά· σὺ γὰρ οἶσθα. ἐγὼ δ' ἑτέρων ὑποφήτης
Φθέγξομαι ὡς ἐθέλεις σὺ, καὶ ὅππως τοι φίλον αὐτῇ.
Ἦ τοι ὅγε ῥέξαι τι λιλαιόμενος μέγα ἔργον,
Σκαιῇ μὲν σκαιὴν Πολυδεύκεος ἔλλαβε χεῖρα,
Δοχμὸς ἀπὸ προβολῆς κλινθείς· ἑτέρᾳ δ' ἐπιβαίνων,
Δεξιτερῆς ἤνεγκεν ἀπὸ λαγόνος πλατὺ γυῖον.
Καί κε τυχὼν ἔβλαψεν Ἀμυκλαίων βασιλῆα·
Ἀλλ' ὅγ' ὑπεξανέδυ κεφαλῇ· στιβαρᾷ δ' ἄρα χειρὶ
Πλᾶξεν ὑπὸ σκαιὸν κρόταφον, καὶ ἐπέμπεσεν ὤμῳ·
Ἐκ δ' ἐχύθη μέλαν αἷμα θοῶς κροτάφοιο χανόντος.
Λαιῇ δὲ στόμα τύψε, πυκνοὶ δ' ἀράβησαν ὀδόντες.
Αἰεὶ δ' ὀξυτέρῳ πιτύλῳ δαλεῖτο πρόσωπον,
Μέχρι συνηλοίησε παρήια· πᾶς δ' ἐπὶ γαίῃ
Κεῖτ' ἀλλοφρονέων, καὶ ἀνέσχεθε, νεῖκος ἀπαυδῶν,
Ἀμφοτέρας ἅμα χεῖρας, ἐπεὶ θανάτου σχεδὸν ἦεν.
Τὸν μὲν ἄρα, κρατέων περ, ἀτάσθαλον οὐδὲν ἔρεξας

Ὦ πύ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ὦ πύκτα Πολύδευκες· ὄμοσσε δέ τοι μέγαν ὅρκον,
Ὃν πατὲρ ἐκ πόντοιο Ποσειδάωνα κικλήσκων,
Μήποτ' ἔτι ξείνοισιν ἑκὼν ἀνιηρὸς ἔσεσθαι.
Καὶ σὺ μὲν ὕμνησαί μοι ἄναξ· σὲ δὲ Κάστορ ἀείσω
Τυνδαρίδα, ταχύπωλε, δορυσσόε, χαλκεοθώραξ.

## ALTERA PARS

Continet monomachiam Castoris & Lyncei: cuius certaminis hæc causa fuit. Castor & Pollux rapuerunt filias Leucippi, Phœben ac Talairam, Lynceo & Idæ fratribus desponsatas. Sponsi eas bello repetiuerunt: in quo bello Castor a Lynceo occisus est, & Pollux Lyncea inter-

Τὼ μὲν ἀναρπάξαντε δύω φερέτην Διὸς υἱὼ
Δοιὰς Λευκίπποιο κόρας· δοιὼ δ' ἄρα τώγε
Ἐσσυμένως ἐδίωκον ἀδελφεὼ, υἷ' Ἀφαρῆος,
Γαμβρὼ μελλογάμω, Λυγκεὺς καὶ ὁ καρτερὸς Ἴδας.
Ἀλλ' ὅτε τύμβον ἵκανον ἀποφθιμένου Ἀφαρῆος,
Ἐκ δίφρων ἅμα πάντες ἐπ' ἀλλάλοισιν ὄρουσαν,
Ἔγχεσι καὶ κοίλοισι βαρυνόμενοι σακέεσσι.
Λυγκεὺς δ' αὖ μετέειπεν ὑπ' ἐκ κόρυθος μέγ' ἀΰσας,
Δαιμόνιοι τί μάχης ἱμείρετε; πῶς δ' ἐπὶ νύμφαις
Ἀλλοτρίαις χαλεποὶ, γυμναὶ δ' ἐν χερσὶ μάχαιραι;
Ἡμῖν τοι Λεύκιππος ἑὰς ἔδνωσε θυγατρας
Τάσδε πολὺ προτέροις· ἁμὶν γάμος οὗτος ἐν ὅρκῳ.
Ὑμεῖς δ' οὐ κατὰ κόσμον, ἐπ' ἀλλοτρίοις λεχέεσσι,
Βουσὶ καὶ ἡμιόνοισι, καὶ ἀλλοτρίοις κτεάτεσσιν,
Ἄνδρα παρετρέψασθε, γάμον δ' ἐκλέψατε δώροις.
Ἦ μὰν πολλάκις ὔμμιν ἐνώπιος ἀμφοτέροισιν,
Αὐτὸς ἐγὼ τάδ' ἔειπα, καὶ οὐ πολύμυθος ἐὼν περ·

Οὐχ

© Centre d'Études Supérieures de la Renaissance - Tours

O pugil Pollux: iurauit autem tibi magnũ iusiurandum;
Patrem suum Neptunum e mari inuocans,
Quod nũquã amplius hospitib. volẽs molest⁹ foret.
Et tu quidem o Princeps iam mihi hymno celebratus es: sed & te o Castor canam,
Tyndarida, celerrime eques, bellator, æreo thorace loricate.

HVIVS IDYLLII.

interemit: fuissetque & ipse ab Ida interfectus, nisi Iupiter id fulmine prohibuisset. Sic referuntur hæc ab Ouidio, in fine quinti Fastorum. Theocritus hic aliter narrat. ait enim Lyncea a Castore occisum, & Idam fulmine a Ioue interfectum.

Duo Iouis filii raptas abducebant
Duas Leucippi filias, verum hos duos
Celeriter persequebantur duo fratres, filii Apharei,
Sponsi futuri, Lynceus & robustus Idas.
Verum vt ad tumulum peruenerũt mortui Apharei,
E curribus simul omnes congressi sunt,
Hastis & cauis muniti scutis.
Lynceus autem dixit e galea alte succlamans:
Infelices, cur pugnã appetitis? Quid ꝓpter spõsas
Alienas molesti estis, & stricti sunt in manib. enses?
Nobis certe Leucippus suas despondit filias
Has longe prioribus: nobis hæ nuptiæ iuramento confirmatæ sunt:
Vosque non decenter in alienos toros,
Bouesque & mulos & alienas opes *irruentes,*
Virum peruertistis, & nuptias furati estis munerib⁹.
Certe sæpe vobis coram ambobus
Ipse ego hæc dixi, etsi non verbosus sim:

Viri

© Centre d'Études Supérieures de la Renaissance - Tours

Viri amici non ita principes decet
Ducere vxores quibus sponsi iam sunt parati.
Lata est Sparta, lata equestris Elis,
Et Arcadia pecorosa, & ciuitates Achiuorum,
Messeneq; & Argos, & tota Sisyphia ora maritima;
Vbi puellę sub parentum suorum *cura* aluntur
Multæ, neq; decora forma carentes, neque ingenio.
Ex illis facile erit vobis ducere quascũq; volueritis.
Nam bonis multi volent soceri esse:
Vos autem inter omnes excellentes heroes estis,
Et patres vestri, & a maioribus omne paternũ genus.
Verum amici has sinite ad finem procedere
Nobis nuptias: vobis alias excogitemus omnes.
Dicebam talia multa: ea v. in humidos fluctus abiit
Flatus venti auferens, neque gratia secuta est sermonem:
Vos enim immites & sæui. Sed etiam nunc
Obtẽperate: ambo enim nobis fratres patrueles ex patre estis.
Sin a. vobis animus bellũ cupit, & sanguine oportet,
Prœlio ancipiti conserto odia dirimere;
Idas quidem, & consanguineus meus fortis Pollux,
Manus inimicas continebunt a pugna:
Nos duo vero, ego L. & Castor, prœlio decertabim⁹,
Minores natu existentes: neque parentibus nimium luctum
Nostris relinquemus: satis est mortuus vna ex domo
Vnus: verum cæteri omnes amicos lætitia afficient,
Sponsi pro mortuis; ducent autem virgines
Hasce. modico malo par est magnum dissidium dirimere.
Dixit, ea vero Deus non irrita facturus erat.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Οὐχ οὕτω φίλοι ἄνδρες ἀριστήεσσιν ἔοικε
Μνηστεύειν ἀλόχους, αἷς νυμφίοι ἤδη ἑτοῖμοι.
Πολλά τοι Σπάρτα, πολλὰ δ' ἱππήλατος Ἆλις,
Ἀρκαδία τ' εὔμαλος, Ἀχαιῶν τε πτολίεθρα,
Μεσσάνα τε καὶ Ἄργος, ἅπασά τε Σισυφὶς ἀκτά·
Ἔνθα κόραι τοκέεσσιν ὑπὸ σφετέροισι τρέφονται
Μυρίαι, οὔτε φυῆς ἐπιδευέες οὔτε νόοιο·
Τάων εὐμαρὲς ὔμμιν ὀπυίειν ἅς κ' ἐθέλητε·
Ὡς ἀγαθοῖς πολέες βούλοιντό γε πενθεροὶ εἶναι·
Ὑμεῖς δ' ἐν πάντεσσι διακριτοὶ ἡρώεσσι,
Καὶ πατέρες, καὶ ἄνωθεν ἅπαν πατρώιον αἷμα.
Ἀλλὰ φίλοι τοῦτον μὲν ἐάσατε πρὸς τέλος ἐλθεῖν
Νῶι γάμον, σφῷν δ' ἄλλον ἐπιφραζώμεθα πάντες.
Ἴσκον τοιάδε πολλά· τὰ δ' εἰς ὑγρὸν ᾤχετο κῦμα
Πνοιὴ ἔχοισ' ἀνέμοιο· χάρις δ' οὐχ ἕσπετο μύθοις.
Σφὼ γὰρ ἀκηλήτω καὶ ἀπηνέες. ἀλλ' ἔτι καὶ νῷν
Πείθεσθ'· ἄμφω δ' ἄμμιν ἀνεψιὼ ἐκ πατρὸς ἐστόν.
Εἰ δ' ὑμῖν κραδία πόλεμον ποθεῖ, αἵματι δὲ χρὴ
Νεῖκος ἀναρρήξαντας ὁμοίιον ἔχθεα λῦσαι,
Ἴδας μὲν καὶ ὅμαιμος ἐμὸς κρατερὸς Πολυδεύκης
Χεῖρας ἐρωήσουσιν ἀπεχθομένας ὑσμίνης·
Νῶι δ', ἐγὼ Κάστωρ τε, διακρινώμεθ' Ἄρηϊ,
Ὁπλοτέρω γεγαῶτε. γονεῦσι δὲ μὴ πολὺ πένθος
Ἁμετέροις λείπωμεν· ἅλις νέκυς ἐξ ἑνὸς οἴκου
Εἷς· ἀτὰρ ὧλλοι πάντες εὐφρανέουσιν ἑταίρους,
Νυμφίοι ἀντὶ νεκρῶν, ὑμεναιώσουσι δὲ κούρας
Τάσδ'· ὀλίγῳ τοι ἔοικε κακῷ μέγα νεῖκος ἀναιρεῖν.
Εἶπε. τὰ δ' οὐκ ἄρ' ἔμελλε θεὸς μεταμώνια θήσειν.

Ταὶ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Τοὶ μὲν γὰρ ποτὶ γαῖαν ἀπ' ὤμων τεύχε' ἔθεντο,
Τοὶ γυῖα προφέρεσκον· ὁ δ' εἰς μέσον ἤλυθε Λυγκεὺς,
Σείων καρτερὸν ἔγχος ὑπ' ἀσπίδος ἄντυγα πρώτην·
Ὡς δ' αὔτως Κάστωρ ἐπινάξατο δούρατος ἀκμὰς
Καρτερός· ἀμφοτέροις δὲ λόφων ἐπένευον ἔθειραι.
Ἔγχεσι μὲν πράτιστα τιτυσκόμενοι πόνον εἶχον,
Ἀλλάλων εἴ πού τι χροὸς γυμνωθὲν ἴδοιεν.
Ἀλλ' ἤτοι τὰ μὲν ἄκρα, πάρος τινὰ δηλήσασθαι,
Δοῦρ' ἐάγη, σακέεσσιν ἐνὶ δεινοῖσι παγέντα.
Τὼ δ' ἄορ ἐκ κολεοῖιν ἐρυσσαμένω, φόνον αὖτις
Τεῦχον ἐπ' ἀλλάλοισι· μάχης δ' οὐ γίνετ' ἐρωή.
Πολλὰ μὲν εἰς σάκος εὐρὺ καὶ ἱππόκομον τρυφάλειαν
Κάστωρ, πολλὰ δ' ἔνυξεν ἀκριβὴς ὄμμασι Λυγκεὺς
Τοῖο σάκος, φοίνικα δ' ὅσον λόφον ἵκετ' ἀκωκή.
Τοῦ μὲν ἄκραν ἐκόλουσεν ἐπὶ σκαιὸν γόνυ χεῖρα
Φάσγανον ὀξὺ φέροντος ὑπεξαναβὰς ποδὶ Κάστωρ
Σκαιῷ. ὁ δὲ πλαγεὶς ξίφος ἔκβαλεν· αἶψα δὲ φεύγειν
Ὡρμάθη ποτὶ σᾶμα πατρὸς, τόθι καρτερὸς Ἴδας
Κεκλιμένος θηεῖτο μάχην ἐμφύλιον ἀνδρῶν.
Ἀλλὰ μεταΐξας πλατὺ φάσγανον ὦσε διαπρὸ
Τυνδαρίδας λαγόνος τε καὶ ὀμφαλοῦ· ἔγκατα δ' εἴσω
Χαλκὸς ἄφαρ διέχευεν. ὁ δ' εἰς χθόνα κεῖτο νενευκὼς
Λυγκεὺς, κὰδ δ' ἄρα οἱ βλεφάρων βαρὺς ἔδραμεν ὕ-
Οὐ μὰν οὐδὲ τὸν ἄλλον ἐφ' ἑστίῃ εἶδε πατρῴῃ [πνος.
Παίδων Λαοκόωσα, φίλον γάμον ἐκτελέσαντα.
Ἦ γὰρ ὅγε στάλαν Ἀφαρηΐου ἐξανέχουσαν
Τύμβου ἀναῤῥήξας ταχέως Μεσσάνιος Ἴδας
Μέλλε κασιγνήτοιο βαλεῖν σφετέροιο φονῆα·

Ἀλλὰ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Illi enim ab humeris in terram arma deponebant,
Qui ætate præstabant: verum Lynceus in medium processit,
Quatiens fortem hastam sub orbe summo scuti.
Eodem modo & Castor quatiebat hastæ cuspidem
Fortis. vtrique vero cristæ in cono galeæ nutabant.
Hastas quidem primum dirigentes, laborabant
Sicubi alter in alterius corpore partem aliquã nudam videret.
Verum extremitates, priusquã quenquam læsissent,
Hastarũ frangebãtur, cum in duris scutis fixæ essent.
Illi vero enses e vaginis stringentes, rursum cædem
Sibi mutuo struebãt, neq; vlla pugnę remissio fiebat.
Multum in scutum latum & comantem galeam
Castor, multũ etiã percussit acrib⁹ oculis Lynceus
Illius scutum, rubram vero ad cristam vsque gladii acies peruenit.
Huius quidẽ summam mutilauit manũ in lęuo genu
Acutum ensem ferentis cedens pede Castor
Sinistro: ille v. ictus abiecit ensem, & statim ad fugiẽ-
Incitabatur ad patris sepulcrum, vbi fortis Idas [dũ
Reclinatus spectabat pugnam intestinam virorum.
Sed irruens, latum ensem penitus adegit
Tyndarides, per ilia & vmbilicum: intestina vero intus
Ferrum statim disiecit. ille vero humi strat⁹ iacebat
Lynceus, oculosque illi grauis inuasit somnus.
Neque sane alterum etiam in domo vidit paterna
Ex filiis Laocoossa gratas nuptias perficientem.
Certe enim ille columnam quæ in Apharei extabat
Sepulcro, erutam celeriter Messenius Idas,
Iacere volebat in fratris sui interfectorem:

M Sed

© Centre d'Études Supérieures de la Renaissance - Tours

Sed Iupiter opem tulit, manibusq; illius excussit fabrefactum
Marmor, ipsumque flammeo combussit fulmine.
Sic cum Tyndaridis pugnare haud leue est.
Nam & ipsi fortes sunt, & ex forti nati.
Saluete filii Ledæ, & nostris famam hymnis
Bonã semper mittite. Amici enim sunt omnes Poetę
Tyndaridis & Helenæ, & aliis heroibus,
Qui Troiam exciderũt, auxilium ferentes Menelao.
Vobis, o reges, gloriam peperit Chius vates, *id est Homerus*,
Carmine celebrans vrbẽ Priami, & naues Græcorũ,
Et prœlia Iliaca, & Achillem turrim belli.
Vobis autem & ego suauiter canentium lenimina Musarum,
Qualia ipsę præbent, & vt domus nostræ facultas est,
Talia fero. Carmẽ autẽ diis pulcherrimus honor est.

---

## ARGVMENTVM

Narratio de quodam infelici amatore, qui durum & inhumanum adolescentem amabat; a quo cum contemptus esset, ipse sibi mortem cõsciuit. Et adolescens quoque paulo post interiit, statuæ cuiusdã ruina oppressus. Simile argumentũ est secundæ Eclogæ Virgilii, præterquam

## AMATOR, vel INFELIX AMAtor. Idyllion XXIII.

Vir quidam valde amori deditus, crudelem amabat adolescentem,
Forma quidem bona, sed moribus nequaquam similibus *præditum*.
Oderat amãtem, nec quicquam mansuetudinis habebat:
Nec norat Amorem qualis esset Deus, quales arcus

Mani-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἀλλὰ Ζεὺς ἐπάμυνε, χερῶν δέ οἱ ἔκβαλε τυκτὰν
Μάρμαρον, αὐτὸν δὲ φλογέῳ συνέφλεξε κεραυνῷ.
Οὕτω Τυνδαρίδαις πολεμιζέμεν οὐκ ἐπ' ἐλαφρῷ.
Αὐτοί τε κρατέοντι, καὶ ἐκ κρατέοντος ἔφυσαν.

Χαίρετε Λήδας τέκνα, καὶ ἁμετέροις κλέος ὕμνοις
Ἐσθλὸν ἀεὶ πέμποιτε. φίλοι δέ τε πάντες ἀοιδοὶ
Τυνδαρίδαις, Ἑλένᾳ τε, καὶ ἄλλοις ἡρώεσσιν,
Ἴλιον οἳ διέπερσαν, ἀρήγοντες Μενελάῳ.
Ὑμῖν κῦδος ἄνακτες ἐμήσατο Χῖος ἀοιδὸς,
Ὑμνήσας Πριάμοιο πόλιν, καὶ νῆας Ἀχαιῶν,
Ἰλιάδας τε μάχας, Ἀχιλῆά τε πύργον ἀϋτῆς.
Ὑμῖν αὖ καὶ ἐγὼ λιγεᾶν μειλίγματα μουσῶν,
Οἷ' αὐτὴ παρέχει, καὶ ὡς ἐμὸς οἶκος ὑπάρχει,
Τοῖα φέρω. γεράων δὲ θεοῖς κάλλιστον ἀοιδή.

---

## XXIII IDYLLII.

quàm quod hoc magis tragicum est. ¶ Traditur vero hic doctrina, Quod nemo debet superbire propter formam: quia id bonum fragile est, & fugacissimum, iuxta dictum Poetę,

*Forma bonum fragile est, quantumque accedit ad annos,*
*Fit minor, & spatio carpitur ipsa suo.*

## ΕΡΑΣΤΗΣ, Ἢ ΔΥΣΕΡΩΣ,
## Εἰδύλλιον κγ'.

Ἀνήρ τις πολύφιλτρος ἀπηνέος ἤρατ' ἐφάβω,
Τὰν μορφὰν ἀγαθῶ, τὸν δὲ τρόπον οὐκ ἔθ' ὁμοίω.
Μίσει τὸν φιλέοντα, καὶ οὐδὲ ἓν ἅμερον εἶχε,
Κοὐκ ᾔδη τὸν Ἔρωτα τίς ἦν θεὸς, ἡλίκα τόξα



© Centre d'Études Supérieures de la Renaissance - Tours

Χερσὶ κρατεῖ, πῶς πικρὰ βέλη ποτὶ παιδία βάλλει.
Πάντα δὲ κἂν μύθοισι καὶ ἐν προσόδοισιν ἀτηρής.
Οὐδέ τι τῶν πυρσῶν παραμύθιον. οὐκ ἀμάρυγμα
Χείλεος, οὐκ ὄσσων λιπαρὸν σέλας, οὐ ῥοδόμαλον,
Οὐ λόγος, οὐχὶ φίλαμα τὸ κουφίζον τὸν ἔρωτα.
Οἷα δὲ θὴρ ὑλαῖος ὑποπτεύησι κυναγώς,
Οὕτω πάντ' ἐποίει ποτὶ τὸν βροτόν· ἄγρια δ' αὐτῷ
Χείλεα, καὶ κῶραι δεινὸν βλέπον, εἶχεν ἀνάγκαν·
Τᾷ δὲ χολᾷ τὸ πρόσωπον ἀμείβετο· φεῦγε δ' ἀπὸ χρώς,
Ὕβριν τᾶς ὀργᾶς περικείμενος· ἀλλὰ καὶ οὕτως
Ἦ καλὸς ἐξόρπαξ ἐρεθίζετο μᾶλλον ἐραστάς.
Λοίσθιον οὐκ ἤνεικε τὰ συμφορὰ τᾶς Κυθερείας,
Ἀλλ' ἐλθὼν ἔκλαιε ποτὶ στυγνοῖσι μελάθροις,
Καὶ κύσε τὰν φλιάν. οὕτω δ' ἀνενείκατο φωνάν·
Ἄγριε παῖ καὶ στυγνὲ, κακᾶς ἀνάθρεμμα λεαίνας,
Λάινε παῖ, καὶ ἔρωτος ἀνάξιε, δῶρά τοι ἦλθον
Λοίσθια ταῦτα φέρων, τὸν ἐμὸν βρόχον. οὐκ ἔτι γάρ σε
Κῶρε θέλω λυπεῖν κεχολωμένον· ἀλλὰ βαδίζω
Ἔνθα τύ μευ κατέκρινας, ὅπη λόγος ἦμεν ἀταρπὸν,
Ξυνὸν τοῖσιν ἐρῶσι τὸ φάρμακον, ἔνθα τὸ λᾶθος.
Ἀλλὰ καὶ ἢν ὅλον αὐτὸ λαβὼν ποτὶ χεῖλος ἀμέλξω,
Οὐδέ κε τὼς σβέσσω τὸν ἐμὸν πόθον. ἄρτι δὲ χαίρειν
Τοῖσι τεοῖς προθύροις ἐπιβάλλομαι. οἶδα τὸ μέλλον·
Καὶ τὸ ῥόδον καλόν ἐστι, καὶ ὁ χρόνος αὐτὸ μαραίνει·
Καὶ τὸ ἴον καλόν ἐστιν ἐν εἴαρι, καὶ ταχὺ γηρᾷ·
Λευκὸν τὸ κρίνον ἐστὶ, μαραίνεται ἁνίκα πίπτῃ.
Ἁ δὲ χιὼν, λευκὰ, καὶ τάκεται ἁνίκα παχθῇ·
Καὶ κάλλος καλόν ἐστι τὸ παιδικὸν, ἀλλ' ὀλίγον ζῇ.

Ἤξει

© Centre d'Études Supérieures de la Renaissance - Tours

Manib. tenet, quo acerba tela in adolescetes coiicit.
Vbique vero & in verbis & in congressibus ferus;
Neque vllum flammæ solatium erat, non nitor
Oris, non oculorum nitidum iubar, non roseæ genę.
Non oratio, non osculum leniens amorem:
Sed veluti fera siluestris *quæ* obseruat venatores,
Ita omnia faciebat erga hominem. sæua illi erant
Labra, & oculi toruum aspiciebant: inerat his truculentia,
Atque bili facies respondebat. fugiebat inde color,
Contumelia ex iracundia circumfusus erat. Attamē etiam sic,
*Velut* pulcher *esset*, magis incitabatur amator.
Tandem non continuit lacrymas Veneris,
Sed fleuit accedens tristem domum,
Et osculatus est limen; ac sic extulit vocem:
Sæue puer, & tristis alumne malæ leænæ,
Saxee puer, & indigne amore, dona tibi veni
Vltima hæc ferens, nempe laqueum meum. non enim amplius te,
Puer, volo molestia afficere iratum; sed abeo
Quo tu me adiudicasti; vbi fama est esse viam,
Commune amantibus remedium, vbi obliuio:
Quam etiam si totam ori admouens exhauriam,
Ne sic quidem restrinxero meum desiderium. iam vero Vale
Tuis vestibulis denuncio. Scio quid futurum sit:
Et rosa pulchra est, & tempus eam contabefacit:
Et viola pulchra est in vere, & statim senescit:
Candidum est lilium, tabescit vero cum decidit.
Et nix candida est, & liquitur cum concreuerit. [rat.
Et forma puerilis pulchra est, sed breui tēpore du-



© Centre d'Études Supérieures de la Renaissance - Tours

Veniet tempus illud, cum & tu amabis,
Cum corde tosto amarè flebis.
Sed tu puer saltem hoc vltimum mihi gratũ facito:
Quando egressus suspensum in foribus
Hisce tuis videris, ne me miserum prætereas:
Consiste autem & modicum lacrymare. libans vero lacrymam,
Solue a laqueo me, & circunda a membris tuis
Vestimenta, & tege me: & postremum me osculare:
Saltem & mortuo gratificare labris tuis. Ne me metuas:
Nõ possum reuiuiscere, etsi mutat' me osculaberis.
Tumulũ vero mihi excauato, qui meũ tegat amorẽ.
Cũq; abieris, ter mihi istud acclama: O amice iaces.
Si voles, & hoc adde; Bonus mihi periit sodalis.
Scribe & hãc inscriptionẽ, quã tibi versib. exarabo:
Hunc Amor occidit, viator; ne transeas,
Sed consistens hoc dicito, Crudelẽ habuit sociũ.
Sic loquutus, accepit lapidem: & erigens ad parietem,
Vsque ad medium limen ingentem lapidem, alligauit ex illo, *s. limine*,
Exilem funiculum, laqueumque iniecit collo,
Et sedem deuoluit a pedibus, atque pependit
Mortuus. Ille autem aperuit fores, & mortuũ vidit
Ex atrio suo suspensum: neque delenitus est
Animo, nec defleuit recentẽ interitũ, sed in mortuo
Vestimẽta omnia polluit puerilia: iuitq. ad certamẽ
Athletarum, & procul grata requirebat lauacra.
Et ad deum venit quem læserat: nam lapidea
Stabat ex basi Cupido, *eminens* supra aquas.
Exiliit simulacrũ, & improbũ occidit adolescentem:

Flu-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἥξει καιρὸς ἐκεῖνος ὁπανίκα καὶ τὺ φιλάσεις,
Ἁνίκα τὰν κραδίαν ὀπτεύμενος, ἁλμυρὰ κλαύσεις.
Ἀλλὰ τὺ παῖ κἂν τοῦτο πανύστατον ἁδύ τι ῥέξον·
Ὁππόταν ἐξενθὼν ἠρτημένον ἐν προθύροισι
Τοῖσι τεοῖσιν ἴδῃς, τὸν τλάμονα μή με παρένθῃς·
Στᾶθι δὲ, καὶ βραχὺ κλαῦσον· ἐπισπείσας δὲ τὸ δάκρυ,
Λῦσον τᾶς σχοίνω με· καὶ ἀμφίθες ἐκ ῥεθέων σῶν
Εἵματα, καὶ κρύψον με· τὸ δ' αὖ πύματόν με φίλασον.
Κἂν νεκρῷ χάρισαι τὰ σὰ χείλεα. μή με φοβαθῇς·
Οὐ δύναμαι ζῆν, εἴ γε διαλλάξας με φιλάσεις.
Χῶμα δέ μοι κοίλανον, ὅ μευ κρύψει τὸν ἔρωτα·
Κἂν ἀπίῃς, τόδε μοι τρὶς ἐπάυσον, Ὦ φίλε κεῖσαι·
Ἢν δέ γε λῇς, καὶ τοῦτο, Καλὸς δέ μοι ὤλεθ' ἑταῖρος.
Γράψον καὶ τόδε γράμμα, τό σοι στίχοισι χαράξω,
Τοῦτον Ἔρως ἔκτεινεν, ὁδοιπόρε· μὴ παροδεύσῃς,
Ἀλλὰ στὰς τόδε λέξον, Ἀπηνέα εἶχεν ἑταῖρον.

Ὧδ' εἰπὼν, λίθον εἷλεν· ἐρεισάμενος δ' ἐπὶ τοίχῳ
Ἄχρι μέσων οὐδῶν φοβερὸν λίθον, ἧπτεν ἀπ' αὐτῶν
Τὰν λεπτὰν σχοινίδα· βρόχον δ' ἐμβάλλε τραχήλῳ·
Τὰν ἕδραν δ' ἐκύλισεν ὑπὲκ ποδὸς, ἠδ' ἐκρεμάσθη
Νεκρός. ὁ δ' αὖτ' ὤϊξε θύρας, καὶ τὸν νεκρὸν εἶδεν
Αὐλᾶς ἐξ ἰδίας ἠρτημένον· οὐδ' ἐτυλίχθη
Τὰν ψυχὰν, οὐ κλαῦσε νέον φόνον· ἀλλ' ἐπὶ νεκρῷ
Εἵματα πάντ' ἐμίαινεν ἐφηβικά· βαῖνε δ' ἐπ' ἄθλον
Γυμναστῶν, καὶ τῆλε φίλων ἐπεμαίετο λουτρῶν.
Καὶ ποτὶ τὸν θεὸν ἦνθε τὸν ὕβρισε· λαϊνέας δὲ
Ἵστατ' ἀπὸ κρηπῖδος Ἔρως, ὑδάτων ἐφύπερθεν.
Ἆλατο καὶ τὤγαλμα, κακὸν δ' ἔκτεινεν ἔφαβον.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Αἷμα δ' ἐφοινίχθη· παιδὸς δ' ἐπενάχεε φωνά.
Χαίρετε τοὶ φιλέοντες· ὁ γὰρ μισῶν ἐφονεύθη.
Στέργετε δ' ὔμμες αἴτας· ὁ γὰρ θεὸς οἶδε δικάζειν.

## ARGVMENTVM

Hoc Idyllion totum est διηγηματικόν. Primum enim commemorat, quomodo Hercules puer decem tantum natus menses, duos immani magnitudine dracones, nocturno tempore vt ipsum interficerent, immissos a Iunone, manibus eliserit ac lacerauerit. Deinde vaticinium Tiresiæ refertur. Sequitur postea pulchra distributio quibus præceptoribus Hercules, quaque in arte vsus fuerit. Ait Linum illi præceptorem in literarum ac doctrinę studiis fuisse: ab Eumolpo vero Musicā ipsum didicisse; ab aliis porro belli artes, & rei militaris scientiam. Pars vltima, qua vitę ac victus ratio exponitur, intercidit. Mancum itaque seu mutilum hoc Idyllion, fine preciso, habemus: sicut & sequenti Idyllio caput seu initium

## ΗΡΑΚΛΙΣΚΟΣ,
### Εἰδύλλιον κδʹ.

Ἡρακλέα δεκάμηνον ἐόντα ποχ' ἁ Μιδεᾶτις
Ἀλκμήνα, καὶ νυκτὶ νεώτερον Ἰφικλῆα,
Ἀμφοτέρους λούσασα καὶ ἐμπλήσασα γάλακτος,
Χαλκείαν κατέθηκεν ἐπ' ἀσπίδα, τὰν Πτερελάου
Ἀμφιτρύων καλὸν ὅπλον ἀπεσκύλευσε πεσόντος·
Ἁπτομένα δὲ γυνὰ κεφαλᾶς μυθήσατο παίδων,
Εὕδετ' ἐμὰ βρέφεα γλυκερὸν καὶ ἐγέρσιμον ὕπνον·
Εὕδετ' ἐμὰ ψυχὰ, δύ' ἀδελφεὼ, εὔσοα τέκνα·
Ὄλβιοι εὐνάζοισθε, καὶ ὄλβιοι ἀῶ ἵκοισθε.

Ὡς

© Centre d'Études Supérieures de la Renaissance - Tours

Fluxit ſanguis purpureus. pueri a. emergebat vox:
Valete amantes. nam qui oderat interfectus eſt.
Vos vero amicos diligite: Deus enim nouit iudicare.

---

## IDYLLII XXIV.

initium deeſt. ¶ Eſt vero in primis illuſtris ac venuſta in principio huius Idyllii imago, quum Alcmena pueros Herculem atque Iphiclum, in ſcuto æreo, quod hoſti occiſo maritus ademerat, ponit, ſcutumque ceu cunas mouet: & precationem addit, vt pueri feliciter dormiant. Dulcis hic eſt ſcuti vſus, & iucundus poſt res bello geſtas finis, pacata educatio ſobolis. Eſt vero imago futurorum præſtantium virorum, & magnorum bellatorum, qui etiam infantes in armis cubuerunt, & inter arma prima vitę exordia ſumpſerũt. Quod autem Hercules decem menſium puer dracones elidit, ſignificatur mature eminere eã quę futura ſit eximia virtus. Hoc Idyllion Moſcho aut Bioni tribuunt nonnulli.

## HERCVLISCVS, IDYLLION vigeſimumquartum.

Herculem, cum iam decem menſes natus eſſet, quondam Mideatis
Alcmena, & nocte minorem Iphiclum,
Cum ambos lauiſſet, & lacte repleuiſſet,
Poſuit ſuper ſcutum æreum, quod Pterelæ
Amphitryo pulchram armaturam ademerat interfecto.
Tangens vero mulier puerorum capita, ſic dixit:
Dormite pueri mei dulcem & excitabilem ſomnum;
Dormite animi mei, fratres duo, incolumes liberi:
Felices dormiatis, & felices auroram conſequamini.

Sic

© Centre d'Études Supérieures de la Renaissance - Tours

Sic locuta, mouit ſcutum grande: illos autem occupauit ſomnus.
Cum vero media nocte vrſa ad occaſum vertitur,
Iuxta Orionem ipſum, ille aũt latũ oſtẽdit humerũ:
Tunc horrenda monſtra duo inſidioſa Iuno,
Cæruleis horrentes ſpiris dracones,
Immiſit ad latum limen, vbi ſunt cauæ poſtes ianuæ
Domus; minis inſtigans vt deuorarent infantem Herculem.
Illi vero prouoluti in terra, ventres ambo
Cruoriuoros voluebant: ab oculis mala flamma
Euntibus lucebat, noxiumque expuebant venenũ.
Verum vbi iam prope pueros venerũt, ora lãbentes,
Tũc illi experrecti ſunt (Ioue proſpiciẽte omnia)
Alcmenæ cari pueri: lux autem in domo extitit.
Et alter qdẽ ſtatim exclamauit, vbi malas beſtias ſen-
Super cauũ ſcutum, & obſcenos vidit dentes [ſit
Iphiclus, molleq. pedibus calcitrando diſiecit lęnã,
Fugere cupiẽs: alter autem aduerſus hęrebat manib.
Hercules, amboſq; graui innexuit vinculo,
Comprimẽs iugulum, vbi mala venena ſedẽ habent
Pernicioſis ſerpentibus, quæ etiam dii oderunt.
Illi autẽ ſpiris voluebantur circum puerũ [gientem.
Tarde genitum, lactẽtem, nec ſub nutrice vnquã va-
Mox vero rurſus *ſpiras* ſoluerunt, cum defatigati eſſent ſpinis *dorſi*,
Vinculi violenti conantes ſolutionem inuenire.
Alcmena autem audiuit clamorem, & prima expergefacta eſt;
Surge Amphitryo: me enim met' tenet formido-
Surge, neq. pedibus tuis ſandalia ſubiicias. [loſus:
Audis ne filiorum minor natu quàm clamat?

Non

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ὣς φαμένα δίνασε σάκος μέγα· τὼς δ' ἔλαβ' ὕπνος.
Ἆμος δὲ στρέφεται μεσονύκτιον ἐς δύσιν ἄρκτος
Ὠρίωνα κατ' αὐτὸν, ὃ δ' ἀμφαίνει μέγαν ὦμον·
Τᾶμος ἄρ' αἰνὰ πέλωρα δύω πολυμήχανος Ἥρη
Κυανέαις φρίσσοντας ὑπὸ σπείραισι δράκοντας
Ὦρσεν ἐπὶ πλατὺν οὐδὸν, ὅθι σταθμὰ κοῖλα θυράων
Οἴκου· ἀπειλήσασα φαγεῖν βρέφος Ἡρακλῆα.
Τὼ δ' ἐξειλυσθέντες ἐπὶ χθονὶ γαστέρας ἄμφω
Αἱμοβόρως ἐκύλιον· ἀπ' ὀφθαλμῶν δὲ κακὸν πῦρ
Ἐρχομένοις λάμπεσκε, βαρὺν δ' ἐξέπτυον ἰόν.
Ἀλλ' ὅτε δὴ παίδων λιχμώμενοι ἐγγύθεν ἦλθον,
Καὶ τότ' ἄρ' ἐξέγροντο (Διὸς νοέοντος ἅπαντα)
Ἀλκμήνας φίλα τέκνα· φάος δ' ἀνὰ οἶκον ἐτύχθη.
Ἤτοι ὅγ' εὐθὺς ἄϋσεν, ὅπως κακὰ θηρί' ἀνέγνω
Κοίλου ὑπὲρ σάκεος, καὶ ἀναιδέας εἶδεν ὀδόντας
Ἰφικλέης· οὔλαν δὲ ποσὶν διελάκτισε χλαῖναν,
Φευγέμεν ὁρμαίνων. ὁ δ' ἐναντίος εἴχετο χερσὶν
Ἡρακλέης· ἄμφω δὲ βαρεῖ ἐνεδήσατο δεσμῷ,
Δραξάμενος φάρυγος, τόθι φάρμακα λυγρὰ τέτυκται
Οὐλομένοις ὀφίεσσι, τὰ καὶ θεοὶ ἐχθαίροντι.
Τὼ δ' αὖτε σπείρῃσιν ἑλισσέσθην περὶ παῖδα
Ὀψίγονον, γαλαθηνὸν, ὑπὸ τροφῷ αἰὲν ἄδακρυν.
Ἂψ δὲ πάλιν διέλυον, ἐπεὶ μογέοιεν ἀκάνθας,
Δεσμοῦ ἀναγκαίου πειρώμενοι ἔκλυσιν εὑρεῖν.
Ἀλκμήνα δ' ἐσάκουσε βοᾶς, καὶ ἐπέγρετο πράτα,
Ἄνσταθ' Ἀμφιτρύων· ἐμὲ γὰρ δέος ἴσχει ὀκνηρόν·
Ἄνστα, μηδὲ πόδεσσι τεοῖς ὑπὸ σάνδαλα θείης.
Οὐκ ἀΐεις παίδων ὁ νεώτερος ὅσσον ἀϋτεῖ;

Οὐ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Οὐ νοέεις ὅτι νυκτὸς ἀωρί που οἵδε τε τοῖχοι
Πάντες ἀριφραδέες, καθαρᾶς ἄτερ ἠριγενείης;
Ἔστι τί μοι κατὰ δῶμα νεώτερον, ἔστι, φίλ' ἀνδρῶν.
Ὣς φάθ'. ὁ δ' ἐξ εὐνᾶς ἀλόχῳ κατέβαινε πιθήσας·
Δαιδάλεον δ' ὥρμησε μετὰ ξίφος, ὅππ' οἱ ὕπερθε
Κλιντῆρος κεδρίνῳ περὶ πασσάλῳ αἰὲν ἄωρτο.
Ἤτοι ὅγ' ὠριγνᾶτο νεοκλώστου τελαμῶνος,
Κουφίζων ἑτέρᾳ κολεόν, μέγα λώτινον ἔργον.
Ἀμφιλαφὴς δ' ἄρα παστὰς ἐνεπλήσθη πάλιν ὄρφνης.
Δμῶας δὴ τότ' ἄυσεν ὕπνον βαρὺν ἐκφυσῶντας,
Οἴσετε πῦρ ὅτι θᾶσσον ἀπ' ἐσχαρεῶνος ἑλόντες
Δμῶες ἐμοί, στιβαροὺς δὲ θυρᾶν ἀνακόψατ' ὀχῆας·
Ἄνστατε δμῶες ταλασίφρονες. αὐτὸς ἀϋτεῖ·
Οἱ δ' αἶψα προγένοντο λύχνοις ἅμα δαιομένοισι
Δμῶες· ἐνεπλήσθη δὲ δόμος σπεύδοντος ἑκάστου.
Ἤτοι ἄρ' ὡς εἴδοντ' ἐπιτίτθιον Ἡρακλῆα
Θῆρε δύω χείρεσσιν ἀπρὶξ ἁπαλαῖσιν ἔχοντα
Συμπλήγδην, ἰάχησαν· ὁ δ' ἐς πατέρ' Ἀμφιτρύωνα
Ἑρπετὰ δεικανάασκεν· ἐπάλλετο δ' ὑψόθι χαίρων
Κωροσύνᾳ· γελάσας δὲ, πάρος κατέθηκε ποδοῖιν
Πατρὸς ἑοῦ θανάτῳ κεκαρωμένα δεινὰ πέλωρα.
Ἀλκμήνα μὲν ἔπειτα ποτὶ σφέτερον βάλε κόλπον
Ξηρὸν ὑπαὶ δείους ἀκράχολον Ἰφικλῆα·
Ἀμφιτρύων δὲ τὸν ἄλλον ὑπ' ἀμνείαν θέτο χλαῖναν
Παῖδα· πάλιν δ' ἐς λέκτρον ἰὼν ἐμνάσατο κοίτου.
Ὄρνιθες τρίτον ἄρτι τὸν ἔσχατον ὄρθρον ἄειδον,
Τειρεσίαν τόκα μάντιν, ἀλαθέα πάντα λέγοντα,
Ἀλκμήνα καλέσασα, χρέος κατέλεξε νεοχμόν,

Καὶ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Non sentis quod nocte intẽpesta adhuc hi parietes
Omnes collucent, cum nondum sit clara aurora?
Aliquid mihi noui est in domo, est, care vir.
Sic ait: ille vero e lecto descendit, coniugi obtẽ-
perans,
Affabrefactũ ad ensem properabat, qui illi ad caput
Lectuli cedrini a clauo semper suspensus erat.
Petebat recens contextum lorum,
Leuans altera manu vaginam, magnum e loto opus.
Amplus autẽ thalamus rursum caligine repletus est.
Tunc famulos clamore vocauit, grauem somnum
efflantes,
Afferte quam celerrime ignem e foco arreptum,
Famuli mei; & firma ianuarum remouete repagula.
Surgite famuli operum patientes. *Sic* ipse clamabat:
Illi vero statim aderãt vna cum lychnis ardentib.
Famuli: & dom⁹, cũ ꝑ se quisq. festinaret, repleta est.
Sane vt viderunt Herculem paruulum
Belluas duas tenaciter manibus teneris prementem
Constrictim, exclamarunt. ille vero ad patrem Am-
phitryonem [dens
Serpẽtes *cõprehensos* porrigebat, & alte exiliebat gau-
Pueriliter: cumque risu ad pedes abiecit
Patris sui, morte sopita horrenda monstra.
Alcmena deinde in suum coniecit gremium,
Exanimatum metu biliosum Iphiclum.
Amphitryo vero alterum sub agninam posuit lena
Puerum, & iterum ad lectum rediit vt dormiret.
Galli tertium iam vltimum diluculum cantu in-
dicabant,
Tunc Tiresiam vatem vera omnia dicentem
Alcmena cum vocasset, portentum exposuit recens:
Et

© Centre d'Études Supérieures de la Renaissance - Tours

Et ipsum respondere, quid euenturum esset,
Iussit: Et ne si quid (*inquit*) Dii aduersi cogitant,
Reueritus me celes: non enim effugere possunt
Homines, id quod Parca per fila sua vrget,
Vates Eueride: admodum sapientem te doceo.
Sic locuta est regina. ille autem taliter respondit:
Confide mulier optimæ prolis genitrix, nata ex sanguine Persei.
Per meũ dulce lumen, quod olim ab oculis meis recessit,
Multæ Achaiades, mollia fila inter genua
Manib. versabũt, extremo vespere cantu celebrãtes
Alcmenam nominatim: reuerenter colent te mulieres Argiuæ.
Talis hic vir in astriferum cælum
Ascensurus est filius tuus lato pectore heros:
A quo & belluæ omnes, & alii viri superabuntur.
Fatatum illi est, vbi duodecim perfecerit, in *domo* Iouis habitare,
Labores: & pyra in Trachine omnia mortalia capiet.
Gener autẽ Immortaliũ vocabitur, q̃ hæc excitarũt
Monstra speluncis occultata, *vt* puerum læderent.
Tempus erit illud, quando hinnulum in suo lustro
Serratis dentibus lupus videns, lædere non volet.
Verũ Domina, vide vt ignis tibi sub cinere parat9 sit,
Et ligna arida aspalathi instruite, vel paliuri,
Vel rubi, vel vento agitatum siccum acherdum:
In siluestrib. hisce lignis sectis cõburite hos dracones
Media nocte, quando puerũ tuum occidere ipsi volebant.
Sub auroram aliqua ex ancillis collectum cinerem
Proiiciat bene omnem, ad fluuium ferens,
In petras p̃ruptas, in vẽtũ secũdum: statimq. redeat,
Non

© Centre d'Études Supérieures de la Renaissance - Tours

Καί νιν ὑποκρίνεσθαι ὅπως τελέεσθαι ἔμελλεν
Ἠνώγει· μηδ' εἴ τι θεοὶ νοέοντι πονηρὸν,
Αἰδόμενος ἐμὲ κρύπτειν. καὶ ὡς οὐκ ἔστιν ἀλύξαι
Ἀνθρώποις ὅ τι μοῖρα κατὰ κλωστῆρος ἐπείγει,
Μάντι Εὐηρείδα, μάλα σε φρονέοντα διδάσκω.
Τὼς ἔλεγεν βασίλεια· ὁ δ' ἀνταμείβετο τοίως,
Θάρσει ἀριστοτόκεια γύναι, Περσήιον αἷμα.
Ναὶ γὰρ ἐμὸν γλυκὺ φέγγος ἀποιχόμενον πάλαι ὄσσων,
Πολλαὶ Ἀχαιϊάδων μαλακὸν περὶ γούνατι νῆμα
Χειρὶ κατατρίψοντι, ἀκρέσπερον ἀείδοισαι
Ἀλκμήναν ὀνόματι· σέβας δ' ἔσση Ἀργείαισι.
Τοῖος ἀνὴρ ὅδε μέλλει ἐς οὐρανὸν ἄστρα φέροντα
Ἀμβαίνειν, τεὸς υἱὸς, ἀπὸ στέρνων πλατὺς ἥρως·
Οὗ καὶ θηρία πάντα καὶ ἀνέρες ἥσσονες ἄλλοι.
Δώδεκά οἱ τελέσαντι πεπρωμένον ἐν Διὸς οἰκεῖν
Μόχθους· θνητὰ δὲ πάντα πυρὰ Τραχίνιος ἕξει.
Γαμβρὸς δ' ἀθανάτων κεκλήσεται, οἳ τάδ' ἐπῶρσαν
Κνώδαλα φωλεύοντα βρέφος διαδηλήσασθαι.
Ἔσται δὴ τοῦτ' ἆμαρ ὁπηνίκα νεβρὸν ἐν εὐνᾷ
Καρχαρόδων σίνεσθαι ἰδὼν λύκος οὐκ ἐθελήσει.
Ἀλλὰ γύναι πῦρ μέν τοι ὑπὸ σποδῷ εὔτυκον ἔστω,
Κάγκανα δ' ἀσπαλάθω ξύλ' ἑτοιμάσατ', ἢ παλιούρω,
Ἢ βάτω, ἢ ἀνέμῳ δεδονημένον αὖον ἄχερδον·
Καῖε δὲ τώδ' ἀγρίῃσιν ἐπὶ σχίζῃσι δράκοντε
Νυκτὶ μέσᾳ, ὅκα παῖδα κανεῖν τεὸν ἤθελον αὐτοί.
Ἦρι δὲ, συλλέξασα κόνιν πυρὸς ἀμφιπόλων τις,
Ῥιψάτω εὖ μάλα πᾶσαν ὑπὲρ ποταμοῖο φέρουσα,
Ῥωγάδας ἐς πέτρας, ὑπὲρ οὔριον· ἂψ δὲ νέεσθαι

Ἄστρε-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἄστεπτον· καθαρῷ δὲ πυρώσατε δῶμα θεείῳ
Πρᾶτον ἔπειτα δ᾽ ἄλεσσι μεμιγμένον (ὡς νενόμισται)
Θαλλῷ ἐπιῤῥαίνειν ἐστεμμένον ἀβλαβὲς ὕδωρ·
Ζηνὶ δ᾽ ἐπιῤῥέξαι καθυπερτέρῳ ἄρσενα χοῖρον·
Δυσμενέων αἰεὶ καθυπέρτεροι ὡς τελέθοιτε.
Φῆ, καὶ ἐρωήσας ἐλεφάντινον ᾤχετο δίφρον
Τειρεσίας, πολλοῖσι βαρύς περ ἐὼν ἐνιαυτοῖς.
Ἡρακλέης δ᾽ ὑπὸ ματρὶ, νέον φυτὸν ὡς ἐν ἀλωᾷ,
Ἐτρέφετ᾽, Ἀργείου κεκλημένος Ἀμφιτρύωνος.
Γράμματα μὲν τὸν παῖδα γέρων Λίνος ἐξεδίδαξεν,
Υἱὸς Ἀπόλλωνος, μελεδωνεὺς ἄγρυπνος ἥρως·
Τόξον δ᾽ ἐντανύσαι καὶ ἐπίσκοπον εἶναι ὀϊστῶν,
Εὔρυτος, ἐκ πατέρων μεγάλαις ἀφνειὸς ἀρούραις.
Αὐτὰρ ἀοιδὸν ἔθηκε καὶ ἄμφω χεῖρας ἔπλαξε
Πυξίνᾳ ἐν φόρμιγγι Φιλαμμονίδας Εὔμολπος.
Ὅσσα δ᾽ ἀπὸ σκελέων ἑδροστρόφοι Ἀργόθεν ἄνδρες
Ἀλλήλους σφάλλοντι παλαίσμασιν, ὅσσα τε πύκται
Δεινοὶ ἐν ἱμάντεσσιν, ἅ τ᾽ εἰς γαῖαν προπεσόντες
Πυγμάχοι ἐξεύροντο παλαίσματα σύμφορα τέχνᾳ,
Πάντ᾽ ἔμαθ᾽ Ἑρμείαο διδασκόμενος παρὰ παιδὶ
Ἁρπαλύκῳ Φανοτῆϊ· τὸν οὐδ᾽ ἂν τηλόθι λεύσσων
Θαρσαλέως τις ἔμεινεν ἀεθλεύοντ᾽ ἐν ἀγῶνι·
Τοῖον ἐπισκύνιον βλοσυρῷ ἐπέκειτο προσώπῳ.
Ἵππους δ᾽ ἐξελάσασθαι ὑφ᾽ ἅρματι, καὶ περὶ νύσσαν
Ἀσφαλέως κάμπτοντα τροχῶν σύριγγα φυλάξαι,
Ἀμφιτρύων ὃν παῖδα φίλα φρονέων ἐδίδασκεν
Αὐτός· ἐπεὶ μάλα πολλὰ θοῶν ἐξήρατ᾽ ἀγώνων
Ἄργει ἐν ἱπποβότῳ κειμήλια· καί οἱ ἀαγεῖς

Δίφροι

© Centre d'Études Supérieures de la Renaissance - Tours

Non respectans: & puro lustrate domum sulphure
Primum, deinde sale mixta (vt consuetum est)
Ramoque virenti coronata, aspergite pura aqua.
Ioui autem mactate supremo masculum porcum,
Vt hostibus *vestris* semper superiores sitis.
Dixit, & recedens ad eburneum currum abiit
Tiresias, etsi multis annis grauis erat.
Hercules v. apud matrẽ, sicut tenera planta in viridario,
Alebatur, Argiui *filius* dictus Amphitryonis.
Literas quidem puerum senex docuit Linus,
Filius Apollinis, procurator diligẽs, peruigil heros:
Arcũ autẽ tendere, & certũ esse sagitta iaculatorem,
Eurytus a maioribus amplis locuples auis.
Sed cantorem eum fecit, & ambas manus formauit
In buxea cithara Philammonides Eumolpus.
Quomodo vero a cruribus podicem inuertentes ex Argo viri
Sese mutuo luctando supplantant, & quomodo pugiles
Segui cæstibus, & quæ in terram ruentes
Luctatores inuenerunt certamina idonea arti,
Omnia hæc didicit edoctus a filio Mercurij
Harpalyco Phanopeo; cuius ne procul quidem conspectum
Audacter quis sustinuit, pugnantis in certamine:
Tale supercilium terribili incumbebat faciei.
Porro equos ad currũ iunctos educere, & circa metã
Tuto flectẽdo in rotis modiolos axium *ne frangantur* tueri,
Amphitryo filium suum amans docuit
Ipse: quoniam multa ex velocibus reportauit certaminibus,
In equestri Argo preciosa munera; & illi nunquã fracti

N Currus

© Centre d'Études Supérieures de la Renaissance - Tours

Currus quibus vehebatur, longo iam tempore lora soluta habebant.
At *quomodo* hasta directa, tergo sub scutum occultato,
Virum peteret, & gladiorum vulnera sustineret,
Instrueretque aciem, atque insidias disponeret,
Hostes aggrediens, & equites hortaretur,
Castor eques docuit, quũ profugus ex Argo venisset,
Quo tempore totum regnum & viniferum solum magnum Tydeus
Tenebat, equestri Argo ab Adrasto accepto.
Castori autem nullus similis inter heroas bellator
Alius erat, priusquam senium aboleret iuuentam.
Sic autem Herculem cara edocuit mater.
Torus erat puero instructus prope patrem,
Exuuium leonis, valde illi ipsi gratum:
Prandium autem carnes assatæ, & grandis e canistro panis
Doricus, qui facile etiam fossorem satiare posset.
Verum finito die exilem absq; igni sumebat cœnam.
Vestes autem nõ elaboratas induebat super mediam suram.

* * *

*Deficit finis huius Idyllij.*

---

ARGVMENTVM

Poeta vbique instituti sui memor, de pastoribus potissimum agit. Quærens hoc Idyllio Hercules Augiam regem Elidis, locupletissimum pastorem, primum incidit in senem quendã ex pastoribus Augiæ: a quo ad regem, qui rus ab vrbe ad inspicienda armẽta cum filio Phyleo

expatiatum

© Centre d'Études Supérieures de la Renaissance - Tours

Δίφροι ἐφ' ὧν ἐπέβαινε, χρόνῳ διέλυσαν ἱμάντας.
Δούρατι δὲ προβολαίῳ, ὑπ' ἀσπίδι νῶτον ἔχοντα,
Ἀνδρὸς ὀρέξασθαι, ξιφέων τ' ἀνέχεσθαι ἀμυχμόν·
Κοσμῆσαί τε φάλαγγα, λόχον τ' ἀναμετρήσασθαι
Δυσμενέων ἐπιόντα, καὶ ἱππήεσσι κελεῦσαι,
Κάστωρ Ἱππαλίδας ἔδαεν, φυγὰς Ἄργεος ἐλθὼν,
Ὁππόκα κλᾶρον ἅπαντα καὶ οἰνόπεδον μέγα Τυδεὺς
Ναῖε, παρ' Ἀδρήστοιο λαβὼν ἱππήλατον Ἄργος.
Κάστορι δ' οὔτις ὁμοῖος ἐν ἡμιθέοις πολεμιστὴς
Ἄλλος ἔην, πρὶν γῆρας ἀποτρῖψαι νεότητα.
Ὧδε μὲν Ἡρακλῆα φίλα παιδεύσατο μάτηρ·
Εὐνὰ δ' ἦς τῷ παιδὶ τετυγμένα ἀγχόθι πατρὸς,
Δέρμα λεόντειον, μάλα οἱ κεχαρισμένον αὐτῷ·
Δεῖπνον δὲ, κρέα τ' ὀπτὰ, καὶ ἐν κανέῳ μέγας ἄρτος
Δωρικός· ἀσφαλέως κε φυτοσκάφον ἄνδρα κορέσαι.
Αὐτὰρ ἐπ' ἄματι τυννὸν ἄνευ πυρὸς αἴνυτο δόρπον.
Εἵματα δ' οὐκ ἀσκητὰ μέσας ὑπὲρ ἔννυτο κνήμας.

* * *

Λείπει τὸ τέλος τοῦ παρόντος Εἰδυλλίου.

---

XXV IDYLLII.

expatiatum ierat, deducitur. Inde in vrbem vna eunt Hercules & Phyleus: & orto inter eundum, vt fit, sermone, dum Phyleus immane exuuium leonis, quo Hercules tectus erat, miratur, & vnde illi hæc pellis sit, quærit: Hercules quomodo a se leo Nemeæus interfectus sit, commemorat. Hæc summa est Idyllii.



© Centre d'Études Supérieures de la Renaissance - Tours

# ἩΡΑΚΛΗΣ ΛΕΟΝΤΟΦΟΝΟΣ, ἢ κατά τινα ἀντίγραφα, Αὐγείου κλῆρος, Εἰδύλλιον κέ.

Λείπει ἡ ἀρχή.

* * *

Τὸν δ' ὁ γέρων προσέειπε βοῶν ἐπιβουκόλος ἀνὴρ,
Παυσάμενος ἔργοιο τό οἱ μετὰ χερσὶν ἔκειτο·
Ἔκ τοι ξεῖνε πρόφρων μυθήσομαι ὅσσ' ἐρεείνεις,
Ἑρμέω ἀζόμενος δεινὴν ὄπιν εἰνοδίοιο.
Τὸν γάρ φασι μέγιστον ἐπουρανίων κεχολῶσθαι,
Εἴ κεν ὁδοῦ ζαχρεῖον ἀνήνηταί τις ὁδίτην.
Ποίμναι μὲν βασιλῆος ἐΰτριχες Αὐγείαο,
Οὐ πᾶσαι βόσκονται ἴαν βόσιν, οὐδ' ἕνα χῶρον·
Ἀλλ' αἱ μέν ῥα νάοντος ἐπ' ὄχθαις ἀμφ' Ἐλισσοῦντος,
Αἱ δ' ἱερὸν θείοιο παρὰ ῥόον Ἀλφειοῖο,
Αἱ δ' ἐπὶ Βουπρασίου πολυβότρυος· αἱ δὲ, καὶ ὧδε.
Χωρὶς δὴ σηκοί σφι τετυγμένοι εἰσὶν ἑκάστοις·
Αὐτὰρ βουκολίοισι περιπλήθουσί περ ἔμπης.
Πάντεσσιν νομοὶ ὧδε τεθηλότες αἰὲν ἔασι,
Μηνίου ἂν μέγα τῖφος· ἐπεὶ μελιηδέα ποίην
Λειμῶνές τε φέρουσιν ὑπόδροσοι εἱαμεναί τε
Εἰς ἄλις, ἥ ῥα βόεσσι μένος κεραῇσιν ἀέξει.
Αὖλις δέ σφισιν ἥδε τεῆς ἐπιδέξια χειρὸς
Φαίνεται εὖ μάλα πᾶσα πέρην ποταμοῖο ῥέοντος,
Κείνῃ ὅθι πλατάνιστοι ἐπηετανοὶ πεφύασι,
Χλωρή τ' ἀγριέλαιος, Ἀπόλλωνος νομίοιο
Ἱερὸν ἁγνὸν, ξεῖνε, τελειοτάτοιο θεοῖο·

Εὐθὺς

© Centre d'Études Supérieures de la Renaissance - Tours

# HERCVLES LEONIS INTERFECTOR, vel AVGIÆ Opulentia, Idyllion XXV.

*Deest initium.*

* * *

Hunc ſenex allocutus eſt vir boum paſtor,
Intermittens opus quod illi in manibus erat:
Lubens tibi hoſpes quod quæris dicam,
Mercurij grauem iram veritus in viis conſecrati:
Hunc enim cælicolarum maxime aiunt iraſci,
Siquis via indigentem auerſetur viatorem.
Greges quidem lanigeri, regis Augiæ
Non omnes in iiſdem paſcuis, aut eodem in loco paſcuntur:
Sed alij ad circumque ripas fluentis Eliſuntis,
Alij ad ſacra fluenta diuini Alphei,
Alij ad Bupraſium vitiferum: alij & hic.
Separatim illis & ſtabula extructa ſunt ſingulis.
Verum armentis, quamuis magno numero ſint, tamen
Omnibus paſcua hic virentia ſemper ſunt,
Circa magna paluſtria Menij. nam dulces herbas
Prata ferunt roſcida, & loca irrigua
Abunde, quæ cornutis bobus robur augent.
Stabulum illorum hoc ad dexteram tuam manum
Apparet, inſigne totum trans fluentem amnem,
Illic vbi platani perennes natæ ſunt,
Viridiſque oleaſter, & Apollinis a paſtoribus culti,
Sacellum inuiolabile, o hoſpes, perfectiſſimi dei.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Mox & ſtabula permagna agricolis
Ædificata ſunt, qui regi multas & immenſas opes
Cuſtodimus accurate, terſubactis in noualibus ſementem
Nonnunquam ſpargentes, & quater aratis ſimiliter.
Limites norunt plantarum foſſores, qui operoſi
Ad torcularia veniunt, cum ęſtas tempeſtiua venit.
Nam omnes hi campi ſunt lęti Augiæ,
Iugera frumentifera, & horti arboribus conſiti,
Vſque ad extrema mõtium iuga, ſcaturiginib. plena:
Ad quę loca nos opus facientes commeamus toto die;
Sicut decet famulos, quibus vita ruri peragitur.
Sed tu mihi dic (quod & tibi ipſi vtile
Erit) cuius indigus huc veniſti?
Num nam Augiam, aut aliquem famulorum illius,
Quæris, qui illi ſunt? ego autem, qui certo ſcio, tibi
Omnia dicere poſſum. neque enim te ex malis ſtatuo
Eſſe ortum, neque te malis ſimilem natum:
Sicut te hæc præſtans forma decet. Certe filii
Immortalium huiuſmodi inter mortales eminent.
Huic reſpondens dixit Iouis fortis filius:
Certe ſenex, Augiam cuperem Epeorum principem
Videre: eius me huc adduxit neceſſitas:
Qui ſi in vrbe eſt apud ſuos ciues,
Plebem curans, & iura dicit,
Ex his famulis dic alicui, vt me ducat,
Qui ruri hic honoratior & præfectus eſt;
Cui aliquid exponere poſſim, & viciſſim ab eo referente aliquid audire.
Nam Deus alium alio indigere ſtatuit viro.

Huic

© Centre d'Études Supérieures de la Renaissance - Tours

Εὐθὺς γὰρ σταθμοὶ περιμήκεες ἀγροιώταις
Δέδμηνθ', οἱ βασιλῆι πολὺν καὶ ἀθέσφατον ὄλβον
Ῥυόμεθ' ἐνδυκέως, τριπόλοις σπόρον ἐν νειοῖσιν
Ἔσθ' ὅτε βάλλοντες, καὶ τετραπόλοισιν ὁμοίως.
Οὔρους μὴν ἴσασι φυτοσκάφοι, οἱ πολυεργοὶ
Ἐς ληνοὺς ἱκνεῦνται, ἐπὴν θέρος ὥριον ἔλθῃ.
Πᾶν γὰρ δὴ πεδίον τόδ', ἐΰφρονος Αὐγείαο,
Πυροφόροι τε γύαι, καὶ ἀλωαὶ δενδρήεσσαι,
Μέχρι πρὸς ἐσχατιὰς πολυπίδακος Ἀκρωρείης·
Ἃς ἡμεῖς ἔργοισιν ἐποιχόμεθα πρόπαν ἦμαρ,
Ἣ δίκη οἰκήων οἷσιν βίος ἔπλετ' ἐπ' ἀγροῖς.
Ἀλλὰ σύ περ μοι ἔνισπε, (τό τοι καὶ κέρδιον αὐτῷ
Ἔσσεται) ὅτινος ὧδε κεχρημένος εἰλήλουθας.
Ἠέ τοι Αὐγείην ἢ καὶ δμώων τινὰ κείνου
Δίζεαι, οἵ οἱ ἔασιν· ἐγὼ δέ κέ τοι σάφα εἰδὼς
Πάντα μάλ' ἐξείποιμ'· ἐπεὶ οὔ σέ γε φημὶ κακῶν ἐξ
Ἔμμεναι, οὐδὲ κακοῖσιν ἐοικότα φύμεναι αὐτόν,
Οἷόν τοι μέγα εἶδος ἐπιπρέπει· ἦ ῥά νυ παῖδες
Ἀθανάτων τοιοίδε μετὰ θνητοῖσιν ἔασι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη Διὸς ἄλκιμος υἱός,
Ναὶ γέρον Αὐγείην ἐθέλοιμί κεν ὄρχαμον Ἐπειῶν
Εἰσιδέειν· τοῦ γάρ με καὶ ἤγαγεν ἐνθάδε χρειώ.
Εἰ δ' ὁ μὲν ἄρ κατ' ἄστυ μένει παρὰ οἷσι πολίταις,
Δήμου κηδόμενος, διά τε κρίνησι θέμιστας,
Δμώων δή τινα τῶνδε σύ μοι φράσον ἡγεμονεῦσαι,
Ὅστις ἐπ' ἀγρῶν τῶνδε γεραίτερος αἰσυμνήτης,
Ὧι κε τὸ μὲν κ' εἴποιμι, τὸ δ' ἐκ φαμένοιο πυθοίμην.
Ἄλλου δ' ἄλλον ἔθηκε θεὸς γ' ἐπιδευέα φωτῶν.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Τὸν δ' ὁ γέρων ἐξαῦτις ἀμείβετο δῖος ἀγρώτης,
Ἀθανάτων ὦ ξεῖνε φραδῇ τινὸς ἐνθάδ' ἱκάνεις.
Ὥς τοι πᾶν ὃ θέλεις αἶψα χρέος ἐκτετέλεσται.
Ὧδε γὰρ Αὐγείης υἱὸς φίλος Ἠελίοιο,
Σφωιτέρῳ σὺν παιδὶ, βίῃ Φυλῆος ἀγαυοῦ,
Χθιζὸς γ' ἐλήλυθεν ἀπ' ἄστεος, ἤμασι πολλοῖς
Κτῆσιν ἐποψόμενος ἥ οἱ νήριθμος ἐπ' ἀγρῶν·
Ὥς που καὶ βασιλεῦσιν ἐείδεται ἐν φρεσὶν ᾗσιν
Αὐτοῖς κηδομένοισι σαώτερος ἔμμεναι οἶκος.
Ἀλλ' ἴομεν μάλα πρός μιν· ἐγὼ δέ τι ἡγεμονεύσω
Αὖλιν ἐς ἡμετέρην, ἵνα κεν τετμοίμεν ἄνακτα.
Ὣς εἰπὼν ἡγεῖτο· νόῳ δ' ὅγε πολλὰ μενοίνα,
Δέρμα τε θηρὸς ὁρῶν χειροπληθῆ τε κορύνην,
Ὁππόθεν ὁ ξεῖνος· μέμαεν δέ μιν ἐξερέεσθαι.
Ἂψ δ' ὄκνῳ ποτὶ χεῖλος ἐλάμβανε μῦθον ἰόντα,
Μή τι οἱ οὐ κατὰ καιρὸν ἔπος προμυθήσαιτο
Σπερχομένῳ. χαλεπὸν δ' ἑτέρου νόον ἴδμεναι ἀνδρός.
Τοὺς δὲ κύνες προσιόντας ἀπόπροθεν αἶψ' ἐνόησαν,
Ἀμφότερόν τ', ὀδμῇ τε χροὸς, δούπῳ τε ποδοῖιν.
Θεσπέσιον δ' ὑλάοντες ἐπέδραμον ἄλλοθεν ἄλλος
Ἀμφιτρυωνιάδῃ Ἡρακλέι· τὸν δὲ γέροντα,
Ἀχρεῖον κλάζοντε, περίσσαινόν γ' ἑτέρωθεν.
Τοὺς μὲν ὅγε λάεσσιν ἀπὸ χθονὸς ὅσσον ἀείρων,
Φεύγειν ἂψ ὀπίσω δειδίσσετο. τρηχὺ δὲ φωνῇ
Ἠπείλει μάλα πᾶσιν, ἐρητύσασκε δ' ὑλαγμοῦ·
Χαίρων ἐν φρεσὶν ᾗσιν ὅθ' οὕνεκεν αὖλιν ἔρυντο
Αὐτοῦ γ' οὐ παρεόντος· ἔπος δ' ὅγε τοῖον ἔειπεν,
Ὢ πόποι, οἷον τοῦτο θεοὶ ποίησαν ἄνακτες

Θηρίον

© Centre d'Études Supérieures de la Renaissance - Tours

Huic senex vicissim respondit, inclytus agricola:
Alicuius ex diis immortalibus consilio huc venisti
hospes:
Ná tibi omne negotiũ quod vis statim confectũ est.
Huc enim Augias carus Solis filius
Vna cum filio suo illustri Phyleo
Heri venit ab vrbe, multis diebus
Inspecturus opes, quæ illi innumerabiles ruri sunt.
Ita aliquando & regibus videtur in animo,
Cum ipsi curant, domus magis salua esse.
Sed eamus ad eum, egoque tibi dux ero
In stabulum nostrum, vt inueniamus regem.
Sic locutus, præibat; animo v. multa cogitabat,
Exuuium feræ videns, & clauam manum implẽtem,
Vnde hic hospes veniret, cupiebat a. ipsum interro-
gare:
Reprimebat vero cunctando intra labra sermonem
euntem,
Ne quod ei non opportune verbum diceret
Properanti. Difficile enim est, mentem alterius ho-
minis nosse.
Hos accedentes, canes procul statim senserunt,
Vtrumque, & ab odore corporis, & pedum strepitu.
Valde autem latrantes incurrerunt aliunde alius
In Amphitryoniadem Herculem. sed seni
Placide latrantes adblandiebantur ab altera parte.
Hos ille lapidibus a terra tantum sublatis
In fugam retrorsum perterrebat: aspere vero voce
Minabatur omnibus, & cohibuit a latratu,
Animo suo gaudens, quod stabulum custodirent
Ipso absente: & verbum tale loquutus est:
Papæ, quale hoc fecerunt dij reges

Animal.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Animal,vt cum hominibus ſit? quam callidum?
Si ei & mens ita intelligens in pectore eſſet,
Vt intelligeret cui iraſci deberet, & cui minus,
Tum nullũ animal cũ hoc de honore certare poſſet.
Nunc nimis furẽter iracundũ, & ſæuum eſt temere.
Sic dixit: & *canes* celeriter in ſtabulũ regreſſi conſidebant.
Interea ſol ad occaſum vertit equos,
Veſpertinum diem adducens: aduenerunt autem pinguia pecora
Ex paſcuis redeuntia ad caulas & ſtabula.
Deinde boues innumeræ, aliæ poſt alias
Venientes apparebant, ſicut nubes pluuioſæ
Quam multæ in cælo feruntur impulſæ vlterius
Vel Noti violentia, vel Threicij Boreæ:
Harum autẽ nullus numerus eſt in aere exiſtentium,
Neque modus: tam multas prioribus agglomerat
Vis venti, & aliæ ſubinde aſſurgunt ſuper alias:
Tot ſemper retro boum armenta ibant.
Omnis vtique campus implebatur, omneſque viæ,
Incedentium pecorum *multitudine*: reſonabantque pingues agri
Mugitu: ſtabula boum ſtatim facile repleta ſunt
*Bobus* flexipedibus; oues autẽ in caulis ſtabulabãtur.
Ibi quanuis innumeri adeſſent, nullus tamẽ quietus
Stabat apud boues vir operis indigens.
Verum alius pedibus bene inciſis loris
Ligneas pedicas adaptabat prope adſtãdo mulgens:
Alius autẽ caris matribus carã ſobolẽ ſubmittebat,
Vt biberent de dulci *lacte*: prorſus autem lacte diſtentæ erant.
Alius mulctram tenebat, alius pinguem addenſabat caſeum,
Alius

© Centre d'Études Supérieures de la Renaissance - Tours

Θηρίον ἀνθρώποισι μετέμμεναι· ὡς ἐπιμηθές.
Εἰ δὲ καὶ φρένες ὧδε νοήμονες ἔνδοθεν ἦσαν,
ᾜδει δ' ὧτε χρὴ χαλεπαινέμεν, ὧτε καὶ οὐκί,
Οὐκ ἄν τοι θηρῶν τις ἐδήρισεν περὶ τιμῆς·
Νῦν δὲ λίην ζάκοτόν τι καὶ ἀρρίωες γένεθ' αὕτως.
Ἦ ῥα, καὶ ἐσσυμένως ποτὶ ταὔλιον ἷζον ἰόντες.
Ἠέλιος μὲν ἔπειτα ποτὶ ζόφον ἔτραπεν ἵππους,
Δείελον ἦμαρ ἄγων· τὰ δ' ἐπήλυθε πίονα μῆλα
Ἐκ βοτάνης ἀνιόντα μετ' αὔλιά τε σηκούς τε.
Αὐτὰρ ἔπειτα βόες μάλα μυρίαι ἄλλαι ἐπ' ἄλλαις
Ἐρχόμεναι φαίνονθ', ὡσεὶ νέφη ὑδατόεντα
Ὅσσα τ' ἐν οὐρανῷ εἰσὶν ἐλαυνόμενα προτέρωσε
Ἠὲ νότοιο βίη ἠὲ Θρηκὸς βορέαο·
Τῶν μέν τ' οὔτις ἀριθμὸς ἐν ἠέρι γίνεται ὄντων,
Οὐδ' ἄνυσις· τόσα γάρ τε μετὰ πρώτοισι κυλίνδει
Ἲς ἀνέμου, τὰ δέ τ' ἄλλα κορύσσεται αὖθις ἐπ' ἄλλοις·
Τόσσ' αἰεὶ μετόπισθε βοῶν ἐπὶ βουκόλι' ἤει·
Πᾶν δ' ἄρ' ἐνεπλήσθη πεδίον, πᾶσαι δὲ κέλευθοι,
Ληΐδος ἐρχομένης· στείνοντο δὲ πίονες ἀγροὶ
Μυκηθμῷ· σηκοὶ δὲ βοῶν ῥεῖα πλήσθησαν
Εἰλιπόδων· ὄιες δὲ κατ' αὐλὰς ηὐλίζοντο.
Ἔνθα μὲν οὔτις ἕκηλος, ἀπειρεσίων περ ἐόντων,
Εἱστήκει παρὰ βουσὶν ἀνὴρ κεχρημένος ἔργου·
Ἀλλ' ὁ μὲν ἀμφὶ πόδεσσιν ἐϋτμήτοισιν ἱμᾶσι
Καλοπέδιλ' ἀράρισκε, παρασταδὸν ἐγγὺς ἀμέλγων·
Ἄλλος δ' αὖ φίλα τέκνα φίλας ὑπὸ μητέρας ἵει
Πινέμεναι λιαροῖο· πέπλωντο δὲ πάγχυ γάλακτος.
Ἄλλος ἀμόλγιον εἶχ', ἄλλος τρέφε πίονα τυρόν·

Ἄλλος

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἄλλος ἐστήκει ἔσω ταύρους, δίχα θηλειάων.
Αὐγείης δ' ἐπὶ πάντας ἰὼν θηεῖτο βοαύλους,
Ἥντινά οἱ κτεάνων κομιδὴν ἐτίθεντο νομῆες.
Σιὼ δ' υἱός τε βίη τε πολύφρονος Ἡρακλῆος
Ὡμάρτευν βασιλῆι διερχομένῳ μέγαν ὄλβον.
Ἔνθα καὶ ἄρρηκτόν περ ἔχων ἐν στήθεσι θυμὸν
Αμφιτρυωνιάδης, καὶ ἀρηρότα νωλεμὲς αἰεί,
Εκπάγλως θαύμαζε βοῶν τόγε μυρίον ἔθνος
Εἰσορόων. οὐ γάρ κεν ἔφασκέ τις οὐδὲ ἐώλπει
Ανδρὸς ληίδ' ἑνὸς τόσσην ἔμεν, οὐδὲ δέκ' ἄλλων,
Οἵ γε πολύρρηνες πάντων ἔσαν ἐκ βασιλήων.
Ηέλιος δ' ᾧ παιδὶ τόδ' ἔξοχον ὤπασε δῶρον,
Αφνειὸν μήλοις πέρι πάντων ἔμμεναι ἀνδρῶν.
Καὶ ῥά οἱ αὐτὸς ὄφελλε διαμπερέως βοτὰ πάντα
Ες τέλος· οὐ μὲν γάρ τις ἐπήλυθε νοῦσος ἐκείνοις
Βουκολίοις, αἵτ' ἔργα καταφθείρουσι νομήων.
Αἰεὶ δὲ πλέονες κεραοὶ βόες, αἰεὶ ἀμείνους
Εξ ἔτεος γείνοντο μάλ' εἰς ἔτος. ἦ γὰρ ἅπασαι
Ζωοτόκοι τ' ἦσαν περιώσια θηλυτόκοι τε.
Ταῖς δὲ τριηκόσιοι ταῦροι συνάμ' ἐστιχόωντο,
Κνήμαργοί θ' ἕλικές τε· διηκόσιοι τὲ μὲν ἄλλοι
Φοίνικες· πάντες δ' ἐπιβήτορες οἵγ' ἔσαν ἤδη.
Ἄλλοι δ' αὖ μετὰ τοῖσι δυώδεκα βουκολέοντο,
Ἱεροὶ Ηελίου· χροιὴν δ' ἔσαν ἠύτε κύκνοι,
Αργησταί. πᾶσιν δὲ μετέπρεπον εἰλιπόδεσσιν,
Οἳ καὶ ἀτιμαγέλαι βόσκοντ' ἐριθηλέα ποίην
Εν νομῷ, ὧδ' ἔκπαγλον ἐπὶ σφίσι γαυριόωντες.
Καὶ ῥ' ὁπότ' ἐκ λασίοιο θοοὶ προγενοίατο θῆρες

Ες

© Centre d'Études Supérieures de la Renaissance - Tours

Alius intus tauros agebat, seiunctim a vaccis.
Augias vero per omnia obiēs boū stabula, spectabat
Quem illi opum prouentum reposuissent pastores.
Vna filius, & sapiens Hercules,
Comitabantur regem perlustrantem suas magnas facultates.
Ibi quamuis animum infractum haberet in pectore
Amphitryoniades, & sibi constantem iugiter:
*Tamen* vehementer mirabatur, hæc boum innumera armenta
Aspiciens. non enim diceret aliquis, neque putaret,
Viri vnius tot greges esse, neque decem aliorum,
Qui etiam ex omnibus regibus maxime abūdarunt pecore.
Sol vero filio suo eximium hoc donum præbuit,
Vt diuitijs pecuarijs præcelleret omnibus hominib.
Et quidem ipse cōtinue augebat illi armenta omnia
Perpetuo. nam nullus morbus illa inuadebat
Armenta; qui *morbi* corrumpunt pastorum labores.
Semper itaq; plures cornutæ boues, semper meliores,
In annos singulos nascebantur. certe enim omnes
Fœcundæ erant, eximie viuos fœtus & fœmellas parientes.
Cum illis vna trecenti tauri incedebant,
Cruribus albis, incuruis cornibus: & ducenti alij
Rufi, qui omnes vaccarum inscensores erant.
Rursum alij inter hos duodecim pascebantur,
Sacri Soli: erant vero colore velut cycni,
Candidi & inter omnes boues excellebant,
Qui q; seiuncti ab armento pascebant virentē herbā
In pascuis ibi vehementer inter se exultantes.
Cumque ex densis celeres venirent feræ

Saltibus

© Centre d'Études Supérieures de la Renaissance - Tours

Saltibus in campum, propter boues agrestes,
Hi primi ad pugnam corporum impetu ruebant:
Horribiliter v. fremebãt, cædẽ ipso aspectu minãtes.
Inter hos autem excellebat viribus & robore suo,
Atque animo elato, Phaethõ ingens; quem quidem pastores
Stellæ omnes comparabant, propterea quod eximie inter alios
Boues incedẽs lucebat, & insigniter conspicuus erat:
Qui cum aridam pellem videret leonis fuluoculi,
In ipsum irruit circunspectum Herculem,
Vt admoueret lateribus caput, & robustam frõtem.
Huius quidẽ accedentis heros prehendit forti manu
Statim sinistrũ cornu, deorsum v. ceruicẽ in terram
Inflexit quanuis grauem existẽtem, & rursum ipsum repulit retrorsum,
Humerum *tauri* premens: ille v. neruos extendens
Musculorum, in summis armis rectus constitit.
Mirabantur & rex ipse, & bellicosus filius
Phyleus, quique apud cornutas boues pastores erãt,
Herculis robur immensum videntes.
Illi v. relictis illic pinguibus agris, in vrbem
Ibant, Phyleus & Herculea virtus.
Viam autem publicam vbi primum ingressi sunt,
Exigua velocibus semita pedibus confecta,
Quæ per vinetum a stabulo porrigebatur,
Non admodum conspicua in viridi silua existens:
Ibi Iouis altissimi filium allocutus est
Augiæ dilectus filius post se incedentem,
Leuiter inclinans caput in dextrum humerum:
Iampridem hospes, aliquem omnino de te sermonem audiui,

Sicut

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἐς πεδίον δρυμοῖο, βοῶν ἕνεκ' ἀγροτεράων,
Πρῶτοι τοίγε μάχην δὲ κατὰ χρόος ἥεσαν ὁρμήν.
Δεινὸν δὲ βρυχῶντο, φόνον λεύσσοντε προσώπῳ.
Τῶν μέν τε προφέρεσκε βίηφί τε καὶ σθένει ᾧ,
Ἠδ' ὑπερόπλιη Φαέθων μέγας, ὅν ῥα βοτῆρες
Ἀστέρι πάντες ἔισκον, ὅθ' οὕνεκα πολλὸν ἐν ἄλλοις
Βουσὶν ἰὼν λάμπεσκεν, ἀρίζηλος δ' ἐτέτυκτο.
Ὅς δή τοι σκύτος αὖον ἰδὼν χαροποῖο λέοντος,
Αὐτῷ ἔπειτ' ἐπόρουσεν ἐϋσκόπῳ Ἡρακλῆϊ,
Χρίμψασθαι ποτὶ πλευρὰ κάρη στιβαρόν τε μέτωπον.
Τοῦ μὲν ἄναξ προσιόντος ἐδράξατο χειρὶ παχείῃ
Σκαιοῦ ἄφαρ κέραος· κατὰ δ' αὐχένα νέρθ' ἐπὶ γαίης
Κλάσσε βαρύν περ ἐόντα· πάλιν δέ μιν ὦσεν ὀπίσσω,
Ὤμῳ ἐπιβρίσας· ὁ δέ οἱ ἐπὶ νεῦρα τανυσθεὶς
Μυῶν ἐξ ὑπάτοιο βραχίονος ὀρθὸς ἀνέστη.
Θαύμαζεν δ' αὐτός τε ἄναξ, υἱός τε δαΐφρων
Φυλεύς, οἵ τ' ἐπὶ βουσὶ κορωνίσι βουκόλοι ἦσαν,
Ἀμφιτρυωνιάδαο βίην ὑπέροπλον ἰδόντες.
Τὼ δ' εἰς ἄστυ, λιπόντε κατ' αὐτόθι πίονας ἀγρούς,
Ἐστιχέτην, Φυλεύς τε βίη θ' Ἡρακληείη.
Λαοφόρου δ' ἐπέβησαν ὅθι πρώτιστα κελεύθου,
Λεπτὴν καρπαλίμοισι τρίβον ποσὶν ἐξανύσαντες·
Ἧ ῥα δι' ἀμπελεῶνος ἀπὸ σταθμοῦ τετάνυστο,
Οὔτι λίην ἀρίσημος ἐν ὕλῃ χλωρᾷ ἐοῦσα·
Τῇ μὲν ἄρα προσέειπε Διὸς γόνον ὑψίστοιο
Αὐγείεω φίλος υἱός, ἕθεν μετόπισθεν ἐόντα,
Ἦκα παρακλίνας κεφαλὴν κατὰ δεξιὸν ὦμον·
Ξεῖνε, πάλαι τινὰ πάγχυ σέθεν πέρι μῦθον ἀκούσας,

Ὥς-

Ὥσεί περ σφετέρῃσιν ἐνὶ φρεσὶ βάλλομαι ἔτι.
Ἤλυθε γὰρ στείχων τις ἀπ' Ἄργεος ὡς νέος ἀκμὴν
Ἐνθάδ' Ἀχαιὸς ἀνήρ, Ἑλίκης ἐξ ἀγχιάλοιο,
Ὅς δή τοι μυθεῖτο καὶ ἐν πλεόνεσσιν Ἐπειῶν,
Οὕνεκεν Ἀργείων τις ἔθεν παρεόντος ὄλεσσε
Θηρίον, αἰνολέοντα, κακὸν τέρας ἀγροιώταις,
Κοίλην αὖλιν ἔχοντα Διὸς Νεμέοιο παρ' ἄλσος.
Οὐκ οἶδ' ἀτρεκέως ἢ Ἄργεος ἐξ ἱεροῖο
Αὐτόθεν, ἢ Τίρυνθα νέμων πόλιν, ἠὲ Μυκήνην.
Ὣς κεῖνος ἀγόρευε· γένος δέ μιν εἶναι ἔφασκεν
(Εἰ ἐτεόν περ ἐγὼ μιμνήσκομαι) ἐκ Περσῆος.
Ἔλπομαι οὐχ ἕτερον τόδε τλήμεναι Αἰγιαλήων
Ἠὲ σέ. δέρμα δὲ θηρὸς ἀριφραδέως ἀγορεύει
Χειρῶν καρτερὸν ἔργον, ὅ τοι περὶ πλευρὰ καλύπτει.
Εἴπ' ἄγε νῦν μοι πρῶτον (ἵνα γνώω κατὰ θυμὸν,
Ἥρως, εἴτ' ἐτύμως μαντεύομαι, εἴτε καὶ οὐκί)
Εἰ σύ γ' ἐκεῖνος ὃν ἄμμιν ἀκουόντεσσιν ἔειπεν
Οὑξ Ἑλίκηθεν Ἀχαιός· ἐγὼ δέ σε φράζομαι ὀρθῶς.
Εἰπὲ δ' ὅπως ὀλοὸν τόδε θηρίον αὐτὸς ἔπεφνες,
Ὅππως τ' εὔυδρον Νεμέης εἰσήλυθε χῶρον.
Οὐ μὲν γάρ κε τοσόνδε κατ' Ἀπίδα κνώδαλον εὕροις,
Ἱμείρων ἰδέειν· ἐπεὶ οὐ μάλα τηλίκα βόσκει,
Ἀλλ' ἄρκτους τε σύας τε, λύκων τ' ὀλοφώιον ἔρνος.
Τῷ καὶ θαυμάζεσκον ἀκούοντες τότε μῦθον·
Οἱ δέ νυ καὶ ψεύδεσθαι ὁδοιπόρον ἀνέρ' ἔφαντο,
Γλώσσης μαψιδίοιο χαριζόμενον παρεοῦσιν.
  Ὣς εἰπὼν μέσσης ἐξηρώησε κελεύθου
Φυλεύς, ὄφρα κιοῦσιν ἅμα σφίσιν ἄρκιος εἴη,

Καί

© Centre d'Études Supérieures de la Renaissance - Tours

Sicut animo meo nunc repeto.
Venit enim aliquis ex Argo profectus, vigore ætatis vt iuuenis
Huc vir Achiuus, ex Helice maritima;
Qui etiam inter plures Epeios narrabat,
Quod cum ipse adesset, quidam Argiuus interfecisset
Feram, sæuum leonem, malum monstrum agricolis,
Cauum lustrum habentem in nemore Iouis Nemei.
Neque certo scio, vtrum ex Argo sacro
Indidem *natus*, an vero in Tirynthe habitans, aut Mycenis.
Sic ille narrabat: genere autem ipsum esse dicebat
(Si recte quidem ego memini) ex Perseo.
Existimo non alium hoc *efficere* sustinuisse Ægialiorum, *i. Achiuorum*,
Quam te: nam pellis belluæ manifeste indicat
Opus forte manuum, quæ *pellis* tibi latera tegit.
Dic age nunc mihi, vt animo cognoscam,
O heros, vtrum verum auguror, an vero minus:
Vtrum tu ille es, de quo nobis audientibus referebat
Ille ex Helice Achiuus, & *an* ego recte te coniecto.
Narra vero quomodo exitialem feram ipse occidisti,
Et quomodo in loca irrigua Nemeæ peruenit.
Non enim talem belluam in Græcia inuenire possis,
Si videre cupias. non enim tam grandes alit,
Sed vrsos *tantum* & sues, ac perniciosum luporum genus.
Quocirca mirabantur qui illum tunc sermonem audiebant,
Nonnulli etiam mentiri ipsum viatorem dicebant,
Vt vana lingua gratificaretur præsentibus,
Sic locutus, e media deflexit via
Phyleus, vt ambobus ipsis incedentibus sufficeret;



© Centre d'Études Supérieures de la Renaissance - Tours

Et vt facilius Herculem loquentem exaudiret.
Qui ipsum sequens tali allocutus est sermone:
O fili Augiæ, id de quo me primum interrogasti,
Tu ipse valde facile ad amussim perpendisti.
Dicam vero tibi singula de hoc monstro
Quomodo peracta sunt (quoniam cupis audire)
Preterquã vnde venerit, nam hoc, quãuis multi sunt,
Argiuorum nemo tamen queat certo cõmemorare.
Tãtũ aliquẽ Deorũ cõiicimus hominib. *hoc* malum,
Propter sacra succẽsentẽ Phoroniẽsibus, immisisse.
Omnes enim Piseos inundans ceu fluuius,
Leo assidue vastabat: maxime vero Bembiniæos,
Qui prope ipsum habitabãt, intolerabilia perferẽtes.
Hoc mihi primum certamen perficere mandauit
Eurystheus: cupiebat a. vt me interficeret sæua bestia.
Ego itaq; flexibilem arcũ & cauam pharetram cum acccepissem,
Sagittis plenam, ibam: altera vero manu clauam
Solidã, vna cũ suo cortice; *truncum* ex alto oleastro,
Bene magnam; quam ego sub sacro Helicone
Inuentam vna cum densis radicibus euulsi integrã.
Verum vbi ad locum in quo leo erat, perueni,
Tunc arcu accepto ad flexibile cornu applicui
Neruum, & sagittam exitialem statim imposui:
Vndiq; oculos circunferens perniciosum monstrum speculabar,
Si ipsum aspicere possem priusquã illud me videret.
Iam diei medium erat, neque vsquam vestigia illius
Animaduertere poteram, neque rugitum exaudire,
Nec quisquam hominum boues *custodiens*, aut opus *faciens* aderat,
Apparens in aruis, quem interrogare possem:

Sed in

© Centre d'Études Supérieures de la Renaissance - Tours

Καί ῥά τι ῥηΐτερον φαμένου κλύοι Ἡρακλῆος·
Ὅς μιν ὁμαρτήσας τοίῳ προσελέξατο μύθῳ·
Ὦ Αὐγηιάδη, τὸ μὲν ὅτι με πρῶτον ἀνήρου,
Αὐτὸς καὶ μάλα ῥεῖα κατὰ στάθμην ἐνόησας.
Ἀμφὶ δέ σοι τὰ ἕκαστα λέγοιμί κε τοῦδε πελώρου,
Ὅπως ἐκράανθεν· (ἐπεὶ λελίησαι ἀκούειν)
Νόσφιν γ' ἢ ὅθεν ἦλθε· τὸ γὰρ πολέων περ ἐόντων
Ἀργείων οὐδείς κεν ἔχοι σάφα μυθήσασθαι.
Οἷον δ' ἀθανάτων τιν' ἐΐσκομεν ἀνδράσι πῆμα
Ἱρῶν μηνίσαντα Φορωνήεσσιν ἐφεῖναι.
Πάντας γὰρ Πισῆας ἐπικλύζων ποταμὸς ὥς,
Λὶς ἄμοτον κεράιζε· μάλιστα δὲ Βεμβιναίους,
Οἳ ἕθεν ἀγχίμολοι ναῖον, ἄτλητα παθόντες.
Τὸν μὲν ἐμοὶ πρώτιστα τελεῖν ἐπέταξεν ἄεθλον
Εὐρυσθεύς· κτεῖναι δέ μ' ἐφίετο θηρίον αἰνόν.
Αὐτὰρ ἐγὼ κέρας ὑγρὸν ἑλὼν, κοίλην τε φαρέτρην,
Ἰῶν ἐμπλείην, νεόμην· ἑτέρηφι δὲ βάκτρον
Εὐπαγὲς, αὐτόφλοιον, ἐπηρεφέος κοτίνοιο,
Εὔμετρον· τὸ μὲν αὐτὸς ὑπὸ ζαθέῳ Ἑλικῶνι
Εὑρὼν, σὺν πυκινῇσιν ὁλοσχερὲς ἔσπασα ῥίζης.
Αὐτὰρ ἐπεὶ τὸν χῶρον ὅπῃ λὶς ἦεν ἵκανον,
Δὴ τότε τόξον ἑλὼν, στρεπτῇ ἐπέλασσα κορώνῃ
Νευρειὴν, περὶ δ' ἰὸν ἐχέστονον εἶθαρ ἔβησα.
Πάντῃ δ' ὄσσε φέρων, ὀλοὸν τέρας ἐσκοπίαζον,
Εἴ μιν ἐσαθρήσαιμι πάρος γ' ἐμὲ κεῖνον ἰδέσθαι.
Ἤματος ἦν τὸ μεσηγὺ, καὶ οὐδ' ὅπῃ ἴχνια τοῖο
Φρασθῆναι δυνάμην, οὐδ' ὠρυθμοῖο πυθέσθαι·
Οὐδὲ μὲν ἀνθρώπων τις ἔην ἐπὶ βουσὶ καὶ ἔργοις
Φαινόμενος σπορίμοιο δι' αὔλακος, ὅντιν' ἐροίμην·

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἀλλὰ κατὰ σταθμοὺς χλωρὸν δέος εἶχεν ἕκαστον.
Οὐ μὴν πρὶν πόδας ἔσχον, ὄρος τανύφυλλον ἐρευνῶν,
Πρὶν ἰδέειν. ἀλκῆς τε μεταυτίκα πειρηθῆναι.
Ἤτοι ὁ μὲν σπήλυγγα προδείελος ἔστιχεν εἰς ἥν,
Βεβρωκὼς κρειῶν τε καὶ αἵματος· ἀμφὶ δὲ χαίτας
Αὐχμηρὰς πεπάλακτο φόνῳ, χαλεπόν τε πρόσωπον,
Στήθεά τε· γλώσσῃ δὲ περιλιχμᾶτο γένειον.
Αὐτὰρ ἐγὼ θάμνοισιν ἅμα σκιεροῖσιν ἐκρύφθην
Ἐν ῥίῳ ὑλήεντι, δεδεγμένος ὁππόθ᾽ ἵκοιτο·
Καὶ βάλον ἆσσον ἰόντος ἀριστερὸν εἰς κενεῶνα
Τηϋσίως· οὐ γάρ τι βέλος διὰ σαρκὸς ὄλισθεν
Ὀκρυόεν, χλωρῇ δὲ παλίσσυτον ἔμπεσε ποίῃ.
Αὐτὰρ ὁ κρᾶτα δαφοινὸν ἀπὸ χθονὸς ὦκ᾽ ἐπάειρεν
Θαμβήσας, πάντῃ δὲ διέδραμεν ὀφθαλμοῖσι
Σκεπτόμενος, λαμυροὺς δὲ χανὼν ὑπέδειξεν ὀδόντας.
Τῷ δ᾽ ἐγὼ ἄλλον ὀϊστὸν ἀπὸ νευρῆς προΐαλλον,
Ἀσχαλόων ὅτι μοι πρὶν ἐτώσιος ἔκφυγε χειρός.
Μεσσηγὺς δ᾽ ἔβαλον στηθέων, ὅθι πνεύμονος ἕδρα·
Ἀλλ᾽ οὐδ᾽ ὣς ὑπὸ βύρσαν ἔδυ πολυώδυνος ἰός,
Ἀλλ᾽ ἔπεσε προπάροιθε ποδῶν ἀνεμώλιον αὔτως.
Τὸ τρίτον αὖ μέλλεσκον, ἀσώμενος ἐν φρεσὶν αἰνῶς,
Αὐερύειν· ὁ δέ μ᾽ εἶδε περιγληνώμενος ὄσσοις
Θὴρ ἄμοτος· μακρὴν δὲ παρ᾽ ἰγνύῃσιν ἔλιξε
Κέρκον· ἄφαρ δὲ μάχης ἐμνήσατο· πᾶς δέ οἱ αὐχὴν
Θυμοῦ ἐνεπλήσθη, πυρσαὶ δ᾽ ἔφριξαν ἔθειραι
Σκυζομένῳ· κυρτὴ δὲ ῥάχις γένετ᾽ ἠΰτε τόξον,
Πάντοθεν εἰλυσθέντος ὑπαὶ λαγόνας τε καὶ ἰξύν.
Ὡς δ᾽ ὅταν ἁρματοπηγὸς ἀνὴρ, πολέων ἴδρις ἔργων,

Ὁρπη-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Sed in ſtabulis pallidus metus quemque continebat.
Non ſane prius pedibus quieui frondoſum montem
explorans,
Quam viderem,& vires deinde ſtatim experirer.
Ille quidem in ſpecum ſuum ante veſperum ibat,
Cum voraſſet carnes & cruorem: vndiq; autem iubas
Squalidas fœdauerat cæde,ſæuamque faciem,
Et pectus: lingua v. vndiq; circumlingebat barbam.
Ego autem ſub arbuſtis vmbroſis occultabar,
In cacumine ſiluoſo expectans quando veniret.
Et emiſi *ſagittam* in propius accedentis ſiniſtrum ile
Fruſtra: neque enim ſagitta per carnem penetrabat
Acuta,verum reſiliens in virides herbas cecidit.
At ille caput fuluum a terra ſtatim ſuſtulit,
Obſtupeſcens, & vndique circumuoluit oculos,
Obſeruans;hiatuque terribiles oſtendit dentes.
Huic ego aliam ſagittam a neruo miſi,
Ægre ferens quod mihi prius in vanum effugiſſet e
manu.
In medium vero ieci pectus: vbi ſedes eſt pulmonis.
Sed ne tũc quidẽ per coriũ penetrauit dolorifica ſa-
gitta,
Sed cecidit ante pedes irrita ſimiliter.
Tertio parabam,grauiter animo commotus,
Trahere *arcum*: at ille me vidit circũſpectans oculis,
Bellua inſatiabilis;lõgamq; circũ poplites voluebat
Caudam, ac ſtatim pugnam meditabatur. totum au-
tem collum ipſi
Ira impletum eſt,& rufæ horruerunt comæ
Iraſcenti,ac ſpina dorſi curua facta eſt ſicut arcus,
Cum vndiq; curuaretur ipſe circa latera & lumbos:
Vt quum carpentarius multorum operum gnarus,



© Centre d'Études Supérieures de la Renaissance - Tours

Ramos inflectit caprifici sectilis,
Calefaciens in igne prius, vt rotæ sint currui, qui ad axem voluitur,
Illius e manu *caprificus* densa cortice elabitur
Cum flectitur, & procul vno exilit impetu:
Sic in me leo sæuus e lõginquo, toto impetu ꝓsiliit,
Gestiens corpus lædere. ego autem altera sagittas
Manu prætendebam, & ab humeris duplex vestimentum:
Altera vero clauã aridã supra tempora illius attollẽs,
Impingebam in caput. in duas v. partes asperam fregi
Ibidem in hirsuto capite siluestrem oleam,
Belluę indomitæ. cõcidit v. ille antequã superuenirẽ,
Ex alto in terram, & tremulis pedibus constitit,
Nutans capite. nam caligo illi oculos ambos
Inuasit, cum cerebrum in ossibus vi concussum esset.
Hunc igitur ego dolore exanimatum graui
Obseruans, priusquam iterũ ad se rediens respiraret,
Ad inuicti colli tendinem percussi præuertens,
Abiecto in terram arcu & sutili pharetra:
Stringebam autem firmiter manibus robustis comprimens
A tergo, ne quid de carne mihi laniaret vnguibus.
Inque terram calcaneis pedes fortiter premebam
Posteriores, cõscendẽs: & lateribus femora muniebã
Donec illi extendi armos, erectum eleuans
Sine respiratione: animam autem ingentem accepit infernus.
Et tũc quidem deliberabã quomodo hirsutã pellem
Belluæ extinctæ a membris traherem:
Difficilem sane illũ laborẽ: neq; enim ferro poterat
Scindi, nec lapide, cum experirer, nec ligno.

Ibi deo-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ὅρπηκας κάμπτῃσιν ἐρινεοῦ εὐκεάτοιο,
Θάλψας ἐν πυρὶ πρῶτον ἐπαξονίῳ κύκλα δίφρῳ,
Τοῦ μὲν ὑπ' ἐκ χειρῶν ἔφυγεν τανύφλοιος ἐρινὸς
Καμπτόμενος, τηλοῦ δὲ μιῇ πήδησεν ὑφ' ὁρμῇ·
Ὣς ἐπ' ἐμοὶ λῖς αἰνὸς ἀπὸ προθεν ἀθρόος ἆλτο,
Μαιμώων χροὸς ἆσαι. ἐγὼ δὲ ἑτέρηφι βέλεμνα
Χειρὶ προὐσχεθόμην, καὶ ἀπ' ὤμων δίπλακα λώπην·
Τῇ δ' ἑτέρῃ ῥόπαλον κόρσης ὕπερ αὖον ἀείρας,
Ἤλασα κακκεφαλῆς· διὰ δ' ἄνδιχα τρηχὺν ἔαξα
Αὐτοῦ ἐπὶ λασίοιο καρήατος ἀγριέλαιον
Θηρὸς ἀμαιμακέτοιο· πέσεν δ' ὅγε, πρὶν ἐμ' ἱκέσθαι,
Ὑψόθεν ἐν γαίῃ· καὶ ἐπὶ τρομεροῖς ποσὶν ἔστη,
Νευστάζων κεφαλῇ· περὶ γὰρ σκότος ὄσσε οἱ ἄμφω
Ἦλθε, βίῃ σεισθέντος ἐν ὀστέῳ ἐγκεφάλοιο.
Τὸν μὲν ἐγὼν ὀδύνῃσι παραιφρονέοντα βαρείαις
Νωσάμενος, πρὶν αὖθις ὑπότροπον ἀμπνυνθῆναι,
Αὐχένος ἀρρήκτοιο παρ' ἰνίον ἤλασα προφθάς,
Ῥίψας τόξον ἔραζε πολύρραπτόν τε φαρέτρην.
Ἦγχον δ' ἐγκρατέως, στιβαρὰς σὺν χεῖρας ἐρείσας
Ἐξόπιθεν, μὴ σάρκας ἀποδρύψῃ ὀνύχεσσι.
Πρὸς δ' οὖδας πτέρνῃσι πόδας στερεῶς ἐπίεζον
Οὐραίους ἐπιβάς· πλευρῇσί τε μηρ' ἐφύλασσον,
Μέχρις οἱ ἐξετάνυσσα βραχίονας ὀρθὸν ἀείρας
Ἄπνευστον· ψυχὴν δὲ πελώριον ἔλλαβεν ᾅδης.
Καὶ τότε δὴ βούλευον ὅπως λασιαύχενα βύρσαν
Θηρὸς τεθνειῶτος ἀπὸ μελέων ἐρύσαιμι·
Ἀργαλέον μάλα μόχθον· ἐπεὶ οὐκ ἔσκε σιδήρῳ
Τμητή, οὐδὲ λίθῳ, πειρωμένῳ, οὐδὲ μὲν ὕλῃ.

Ἔνθα μοι ἀθανάτων τις ἐπὶ φρεσὶ θῆκε νοῆσαι
Αὐτοῖς δέρμα λέοντος ἀνασχίζειν ὀνύχεσσι.
Τοῖσι θοῶς ἀπέδειρα, καὶ ἀμφεθέμην μελέεσσιν,
Ἕρκος ἐνυαλίου ταμεσίχροος ὄφρα μοι εἴη.
Οὗτός τοι Νεμέου γένετ᾽ ὦ φίλε θηρὸς ὄλεθρος,
Πολλὰ πάρος μήλοισι καὶ ἀνδράσι πήματα θέντος.

---

## ARGVMENTVM

Hoc Idyllion continet breuem narrationem de interitu Penthei, regis Thebani. Eum, cum orgia, id est, sacra Bacchi, noua adhuc & iam primum incipientia prohibere conaretur, a matre & materteris, aliisque Mænadibus in furorem actis, discerptum esse ferunt. Tractatur idem argumentum in Bacchis Euripidis fusius: vbi & disputationes inter senes contra nouas superstitiones,

## ΛΗΝΑΙ, ἢ ΒΑΚΧΑΙ,
### Εἰδύλλιον κϛ΄.

Ἰνώ, κ᾽ Αὐτονόα, χἀ μαλοπάρηος Ἀγαύα,
Τρεῖς θιάσως ἐς ὄρος τρεῖς ἄγαγον αὐταὶ ἐοῖσαι·
Χαὶ μὲν ἀμερξάμεναι λασίας δρυὸς ἄγρια φύλλα,
Κισσόν τε ζώοντα, καὶ ἀσφόδελον τὸν ὑπὲρ γᾶς,
Ἐν καθαρῷ λειμῶνι κάμον δυοκαίδεκα βωμώς,
Τὼς τρεῖς τᾷ Σεμέλᾳ, τὼς ἐννέα τῷ Διονύσῳ.
Ἱερὰ δ᾽ ἐκ κίστας πεποναμένα χερσὶν ἑλοῖσαι,
Εὐφάμως κατέθεντο νεοδρέπτων ἐπὶ βωμῶν,
Ὡς ἐδίδαξ᾽, ὡς αὐτὸς ἐθυμάρει Διόνυσος.
Πενθεὺς δ᾽ ἀλιβάτου πέτρας ἀπὸ πάντ᾽ ἐθεώρει,

Σχῖνον

©Centre d'Études Supérieures de la Renaissance - Tours

Ibi deorum aliquis me admonuit, vt cogitarem
Ipsis pellem leonis scindere vnguibus.
His celeriter excoriaui, & membris indui,
Vt munimētum mihi esset in pugnis, in quibus corpora vulnerantur.
Hæc fuit, ô amice, Nemeæ belluæ cædes,
Quæ multis cladibus antea pecora & viros affecerat.

---

IDYLLII XXVI.

nes, proque illis, graues ac dignę obseruatione commemorantur. Ouid. eãdem fabulam exponit in fine 3 Metamorph. ¶ Irrepserunt ea sacra, paulatim hominum superstitione approbata & recepta, cumq; illis sæpe gubernatoribus certamina fuerunt. Quomodo corruptelę & facinorum fœditas eorum sacrorum Romę primum deprehensa & vindicata fuerit, commemoratur a Liuio lib. 9. Dec. 4.

## LENÆ, seu BACCHÆ, Idyllion XXVI.

Ino, & Autonoe, & genis pomicoloribus Agaue,
Tres thiasos in montem, tres ipsæ existentes, ducebant.
Et hæ stringentes siluestres frondes hirsutę quercus,
Et hederam viridem, & asphodelum humi nascentem,
In puro (*i. vacuo*) campo extruebant duodecim aras,
Tres Semelæ, & nouem Baccho:
Et sacra e cista instructa, manibus capientes,
Bene precando imposuerunt in aris structis ex recēs decerptis frondibus,
Sicut docuerat, & sicut ipse ánimo diligebat Bacch⁹.
Pentheus vero ex alta rupe omnia spectabat,

Cum se

© Centre d'Études Supérieures de la Renaissance - Tours

Cũ se in veteri lentisco abdidisset, vernaculo frutice.
Autonoe primum ipsum conspicata, horribiliter exclamauit:
Et pedibus turbauit orgia insani Bacchi,
Subito incurrens: hæc enim non aspiciunt profani.
Furebat ipsa, furebant statim & aliæ.
Pẽtheus quidẽ fugiebat territ⁹, at illę persequebãtur,
Longas vestes a cingulo ad poplites trahentes.
Pẽtheus qdem hoc dixit; Quid vobis deſit mulieres?
Autonoe hoc dixit: Statim cognosces priusq̃ audias.
Mater quidem immugiit, capite fili sublato,
*Tanto mugitu*, quantus est fœtæ leænæ mugitus.
Ino auulsit vna cum scapula grandem humerum,
Pedibus ventrem calcans: & Autonoes idem tenor *erat*.
Reliquæ, quod supererat carnium, discerpebãt mulieres.
Et in vrbem Thebanam redierunt, contaminatæ sanguine omnes,
Ex monte, luctum, non Penthea, reportantes.
Non moror, neque alius infensus esse Baccho
Curet, neque si quis atrociora hisce patret,
Sitque vel nouem annorum, aut decimum ingressus *annum*:
Ipse vero sancte agam, & sancte agentibus placeam.
A Ioue honorem sortitur hæc auis, *i. hoc augurium.*
Piorum liberis bona *eueniunt*, impiorum vero non.
Lætetur Bacchus, quem in Dracano niuoso
Iupiter sũm⁹ in magno femore posuit, *a matre* solutũ.
Lætetur & speciosa Semele, ipsiusque sorores,
Cadmi filiæ a multis celebratæ heroidibus:
Quæ hoc factum perfecerunt, incitante Baccho,
Non reprehendendũ: nemo facta deorum vituperet.

ARGV-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Σχῖνον ἐς ἀρχαίαν καταβὰς, ἐπιχώριον ἔρνος·
Αὐτονόα πρῶτα νιν ἀνέκραγε δεινὸν ἰδοῦσα,
Σὺν δ' ἐτάραξε ποσὶν μανιώδεος ὄργια Βάκχου,
Ἐξαπίνας ἐπιοῖσα· τὰ δ' οὐχ ὁρόωντι βέβαλοι.
Μαίνετο μέν τ' αὐτὰ, μαίνοντο δ' ἄρ' εὐθὺ καὶ ἄλλαι.
Πενθεὺς μὲν φεῦγεν πεφοβημένος· αἱ δ' ἐδίωκον,
Πέπλως ἐκ ζωστῆρος ἐπ' ἰγνὺν ἀνειρύσασαι.
Πενθεὺς μὲν τόδ' ἔειπε, Τίνος κέχρησθε γυναῖκες;
Αὐτονόα τόδ' ἔειπε, Τάχα γνώσῃ πρὶν ἀκοῦσαι.
Μάτηρ μὲν κεφαλὰν μυκήσατο παιδὸς ἑλοῖσα,
Ὅσον περ τοκάδος τελέθει μύκημα λεαίνης.
Ἰνὼ δ' αὖτ' ἔρρηξε σὺν ὠμοπλάτᾳ μέγαν ὦμον,
Λὰξ ἐπὶ γαστέρα βᾶσα· καὶ Αὐτονόας ῥυθμὸς ωὑτός.
Αἱ δ' ἄλλαι τὰ περισσὰ κρέα νεμέοντο γυναῖκες.
Ἐς Θήβας δ' ἀφίκοντο πεφυρμέναι αἵματι πᾶσαι,
Ἐξ ὄρεος πένθημα, καὶ οὐ Πενθῆα, φέρουσαι.
Οὐκ ἀλέγω, μηδ' ἄλλος ἀπεχθέμεναι Διονύσῳ
Φροντίζοι, μηδ' εἰ χαλεπώτερα τῶνδ' ἐμόγησεν,
Εἴη δ' ἐνναέτης, ἢ καὶ δεκάτω ἐπιβαίνοι.
Αὐτὸς δ' εὐαγέοιμι, καὶ εὐαγέεσσιν ἅδοιμι.
Ἐκ Διὸς αἰγιόχω τιμὰν ἔχει αἰετὸς οὗτος.
Εὐσεβέων παίδεσσι τὰ λῷα, δυσσεβέων δ' οὔ.
Χαίροι μὲν Διόνυσος, ὃν ἐν Δρακάνῳ νιφόεντι
Ζεὺς ὕπατος μεγάλαν ἐπιγουνίδα θήκατο λύσας·
Χαίροι δ' εὐειδὴς Σεμέλα, καὶ ἀδελφεαὶ αὐτῆς
Καδμεῖαι, πολλαῖς μεμελημέναι ἡρωΐναις,
Αἳ τόδε ἔργον ἔρεξαν ὀρίναντος Διονύσου,
Οὐκ ἐπιμωμητόν· μηδεὶς τὰ θεῶν ὀνόσαιτο.

ARGV-

© Centre d'Études Supérieures de la Renaissance - Tours

## ARGVMENTVM

Singularis ſuauitas eſt & facilitas huius Idyllii. vt non a Theocrito, ſed ab alio quopiam authore ſcriptum eſſe videatur: cōtinet autem colloquium inter duos amantes, Daphnidem procum & puellam, cuius nomen non ponitur.

## ΟΑΡΙΣΤΥΣ ΔΑΦΝΙΔΟΣ καὶ ΚΟΡΗΣ,

### Εἰδύλλιον κζ.

ΔΑΦΝΙΣ, ΚΟΡΗ.

Ταν πινυτὰν Ἑλέναν Πάρις ἥρπασε βωκόλος ἄλλος·
Μᾶλλον ἐμ' ἥδ' Ἑλένα τὸν βωκόλον ἐστὶ φιλεῦσα.
κ. Μὴ καυχῶ σατυρίσκε· κενὸν τὸ φίλαμα λέγουσιν.
δ. Ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.
κ. Τὸ στόμα μευ πλύνω, καὶ ἀποπτύω τὸ φίλαμα.
δ. Πλύνεις χείλεα σεῖο; δίδου πάλιν ὄφρα φιλάσω.
κ. Καλόν σοι δαμάλας φιλέειν, οὐκ ἄζυγα κώραν.
δ. Μὴ καυχῶ· τάχα γάρ σε παρέρχεται, ὡς ὄναρ, ἥβη.
κ. Ἁ σταφυλὶς σταφίς ἐστι, καὶ οὐ ῥόδον αὖον ὀλεῖται.
δ. Δεῦρ' ὑπὸ τὰς κοτίνους, ἵνα σοὶ ἕνα μῦθον ἐνίψω.
κ. Οὐκ ἐθέλω· καὶ πρίν με παρήπαφες ἡδέϊ μύθῳ.
δ. Δεῦρ' ὑπὸ τὰς πτελέας, ἵν' ἐμᾶς σύριγγος ἀκούσῃς.
κ. Τὴν σαυτοῦ φρένα τέρψον· ὀΐζυον οὐδὲν ἀρέσκει.
δ. Φεῦ φεῦ· τᾶς Παφίας χόλον ἄζεο καὶ σύ γε κώρα.
κ. Χαιρέτω ἁ Παφία· μόνον ἵλαος Ἄρτεμις εἴη.
δ. Μὴ λέγε, μὴ βάλλῃ σε, καὶ ἐς λίνον ἄλλυτον ἔλθῃς.
κ. Βαλλέτω ὡς ἐθέλει, πάλιν Ἄρτεμις ἄμμιν ἀρήγει.

Μὴ

© Centre d'Études Supérieures de la Renaissance - Tours

IDYLLII XXVII.

ponitur. Hi post oscula de coniugio disputāt; & tandem cum puella persuasa esset, faciūt furtiuas nuptias. ¶ Precipuus igitur in hoc Idyllio locus est, antithesis commodorum & incommodorum coniugii.

## COLLOQVIVM DAPHNIDIS & Puellæ, Idyllion XXVII.

### DAPHNIS & PVELLA.

Prudentem Helenam Paris rapuit bubulcus alius:
Magis vero hęc Helena est, quæ me bubulcum osculatur. *Puella.*
Ne gloriare Satyrisce: inane osculum esse dicunt.
*Daph.* Est etiam in inanibus osculis dulcis voluptas.
*Puella.* Lauo os meum, & osculum despuo.
*Daph.* Lauasne labra tua? da mihi iterum vt osculer.
*Puell.* Decet te vitulas osculari, non innuptā puellā.
*Daph.* Ne superbi: statim tibi transibit, sicut somniū, flos ætatis.
*Puell.* Quæ prius vua erat, passula est: & rosa arida *tamen* non perit.
*Daph.* Huc veni sub oleastros, vt tibi aliquid dicam.
*Pue.* Nō volo: nā & antea me dulci sermonē fefellisti.
*Daph.* Huc *veni* sub vlmos, vt meam fistulam audias.
*Puella.* Tuum animum oblecta: nihil quod molestum est, mihi placet.
*Daph.* Ah, ah, reuerere Veneris iram & tu puella.
*Puell.* Valeat Venus, saltem Diana sit mihi propitia.

*Daphnis.*

Ne dixeris, ne te feriat, & in laqueum inextricabilem incidas.

*Puella.*

Feriat vt voluerit: rursum Diana nobis opituletur.

Ne mihi

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ne mihi iniicias manum; etiam labrum tibi laniabo.

D. Non effugies amorē, quē non ulla effugit puella.

P. Effugiam per Pana, tu vero iugū semper attollis.

D. Metuo, ne te peiori viro iungat, *s. Amor.*

P. Multi meas nuptias ambierūt, sed nullus animo meo placuit.

D. Et ego vnus ex multis procus tuus huc venio.

P. Quid a. faciā amice? nuptię plenę sunt molestiarū.

D. Non dolorē, nō tristitiā afferūt nuptię, sed choreā.

P. Certe dicunt, mulieres suos maritos metuere.

D. Imo potius dominantur: quē n. metuūt mulieres?

P. A pariēdi doloribus mihi metuo: graue vuln' est Lucinæ.

D. Verū regina tua Diana obstetricatrix est.

P. Sed parere horreo, ne mihi & pulcra forma peat.

D. Si v. peperis caros liberos, videbis filios nouā lucē.

P. Sed quā mihi dotē affers nuptiis dignā, si annuero?

D. Vniuersū gregē, omnia nemora & pascua habebis.

P. Iura igitur, ne post concubitum abeas, me inuitam relinquens.

D. Non per ipsum Pana, etiamsi me velis abigere.

P. Extrues mihi thalamos; extrues & domū, & stabula?

D. Extruam tibi thalamos, *hos* pulcros ouium greges pasco.

P. Patri seni quemnam, quem sermonem dicam?

D. Probabit connubiū tuū, vbi meū nomē audierit.

P. Dic nomē illud tuū: *nam* & nomen sæpe delectat.

D. Daphnis ego sum, Lycidas vero mihi pater *est*, mater Nomæa.

P. Ex bene natis *ortus es*: sed non sum te ignobilior.

D. Neq; sū me *es* honorata: pater n. tibi est Menalcas.

P. Ostende mihi tuum nemus, vbi tuum est stabulū.

D Veni, vide vt florent meæ proceræ cupressi.

P. Ca-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Μὴ 'πιβάλης τὴν χεῖρα, καὶ εἰσέτι χεῖλος ἀμύξω.
δ. Οὐ φεύγεις τὸν Ἔρωτα, τὸν οὐ φύγε παρθένος ἄλλη.
κ. Φεύγω ναὶ τὸν Πᾶνα· σὺ δὲ ζυγὸν αἰὲν ἀείρεις.
δ. Δειμαίνω μὴ δή σε κακωτέρῳ ἀνέρι δώσῃ.
κ. Πολλοί με μνώοντο, νόον δ' ἐμὸν οὔτις ἕαδε.
δ. Εἷς καὶ ἐγὼ πολλῶν, μνηστὴρ τεὸς ἐνθάδ' ἱκάνω.
κ. Καὶ τί φίλος ῥέξαιμι; γάμοι πλήθουσιν ἀνίας.
δ. Οὐκ ὀδύνην οὐκ ἄλγος ἔχει γάμος, ἀλλὰ χορείην.
κ. Ναὶ μὰν φασὶ γυναῖκας ἑοὺς τρομέειν παρακοίτας.
δ. Μᾶλλον ἀεὶ κρατέουσι· τίνα τρομέουσι γυναῖκες;
κ. Ὠδίνειν τρομέω· χαλεπὸν βέλος Εἰλειθύης.
δ. Ἀλλὰ τεὴ βασίλεια μογοστόκος Ἄρτεμίς ἐστιν.
κ. Ἀλλὰ τεκεῖν τρομέω, μὴ καὶ χρόα καλὸν ὀλέσσω.
δ. Ἢν δὲ τέκῃς φίλα τέκνα, νέον φάος ὄψεαι υἷας.
κ. Καὶ τί μοι ἕδνον ἄγεις γάμου ἄξιον, ἢν ἐπινεύσω;
δ. Πᾶσαν τὰν ἀγέλαν, πάντ' ἄλσεα καὶ νομὸν ἕξεις.
κ. Ὄμνυε, μὴ μετὰ λέκτρα, λιπὼν ἀέκουσαν, ἀπέλθῃς.
δ. Οὐ μ' αὐτὸν τὸν Πᾶνα, καὶ ἢν κ' ἐθέλῃς με διῶξαι.
κ. Τεύχεις μοι θαλάμους, τεύχεις καὶ δῶμα καὶ αὔλας;
δ. Τεύχω σοι θαλάμους, τὰ δὲ πώεα καλὰ νομεύω.
κ. Πατρὶ δὲ γηραλέῳ τίνα κεν τίνα μῦθον ἐνίψω;
δ. Αἰνήσει σέο λέκτρον, ἐπὴν ἐμὸν οὔνομ' ἀκούσῃ.
κ. Οὔνομα σὸν λέγε τῆνο· καὶ οὔνομα πολλάκι τέρπει.
δ. Δάφνις ἐγώ, Λυκίδας δὲ πατήρ, μήτηρ δὲ Νομαίη.
κ. Ἐξ εὐηγενέων· ἀλλ' οὐ σέθεν εἰμὶ χερείων.
δ. Οὐδ' ἄκρα τιμήεσσα· πατὴρ δέ σοι ἐστὶ Μενάλκας.
κ. Δεῖξον ἐμοὶ σέθεν ἄλσος, ὅπῃ σέθεν ἵσταται αὔλις.
δ. Δεῦρ' ἴδε πῶς ἀνθεῦσιν ἐμαὶ ῥαδιναὶ κυπάρισσοι.

κ. Αἶγες

© Centre d'Études Supérieures de la Renaissance - Tours

κ. Αἶγες ἐμαὶ βόσκεσθε· τὰ βωκόλα ἔργα νοήσω.
δ. Ταῦροι καλὰ νέμεσθ', ἵνα παρθένῳ ἄλσεα δείξω.
κ. Τί ῥέζεις σατυρίσκε; τί δ' ἔνδοθεν ἅψαο μαζῶν;
δ. Μᾶλα τεὰ πρώτιστα τάδε χνοάοντα διδάξω.
κ. Ναρκῶ ναὶ τὸν Πᾶνα· τεὴν πάλιν ἔξελε χεῖρα.
δ. Θάρσει κώρα φίλα· τί μοι ἔτρεμες; ὡς μάλα δειλά.
κ. Βάλλεις εἰς ἀμάραν με, καὶ εἵματα καλὰ μιαίνεις.
δ. Ἀλλ' ὑπὸ σοὺς πέπλους ἁπαλὸν νάκος ἠνίδε βάλλω.
κ. Φεῦ φεῦ, καὶ τὰν μίτραν ἀπέστιχες. ἐς τί δ' ἔλυσας;
δ. Τᾷ Παφίᾳ πρώτιστον ἐγὼ τόδε δῶρον ὀπάζω.
κ. Μίμνε τάλαν. τάχα τίς τοι ἐπέρχεται· ἦχον ἀκούω.
δ. Ἀλλήλαις λαλέοντι τεὸν γάμον αἱ κυπάρισσοι.
κ. Τὠμπέχονον ποίησας ἐμὸν ῥάκος· εἰμὶ δὲ γυμνά.
δ. Ἄλλην ἀμπεχόνην τῆς σῆς τοι μείζονα δώσω.
κ. Φῂς μοι πάντα δόμεν, τάχα δ' ὕστερον οὐδ' ἅλα δοίης.
δ. Αἴθ' αὐτὰν δυνάμαν καὶ τὰν ψυχὰν ἐπιβάλλειν.
κ. Ἄρτεμι μὴ νεμέσα· σὴ ἐρημιὰς, οὐκέτι πιστή.
δ. Ῥέξω πόρτιν Ἔρωτι, καὶ αὐτᾷ βῶν Ἀφροδίτᾳ.
κ. Παρθένος ἔνθα βέβηκα, γυνὴ δ' εἰς οἶκον ἀφέρψω.
δ. Ἀλλὰ γυνὴ μήτηρ, τεκέων τροφὸς, οὐκέτι κώρα.
Ὣς οἱ μὲν χλοεροῖσιν ἰαινόμενοι μελέεσσιν,
Ἀλλήλοις ψιθύριζον· ἀνίστατο φώριος εὐνή.
Χἡ μὲν, ἀνεγρομένη διέστιχε μᾶλα νομεύειν,
Ὄμμασιν αἰδομένη, κραδίη δέ οἱ ἔνδον ἰάνθη·
Ὃς δ' ἐπὶ ταυρείας ἀγέλας, κεχαρημένος εὐνᾷ.



© Centre d'Études Supérieures de la Renaissance - Tours

P. Capellæ meæ pascimini, *dum* bubulci opera viso.
D. Tauri bene pascimini, dū nemora virgini ostēdo.
P. Quid facis Satyrisce? quid mamillas intus tetigisti?
D. Mala tua primum hæc florescentia cognoscam.
P. Stupeo per Pana, manum tuam rursum extrahe.
D. Confide cara puella: quid tremis? vt valde timida.
P. Cōiicis me in sordes, & vestes pulchras cōtaminas.
D. At pellem mollem vestibus tuis ecce substerno.
P. Hei, hei, & mitram amouisti. quare vero soluisti?
D. Veneri primum hoc ego donum offero.
P. Expecta miser: forte aliquis superuenit: strepitum audio.
D. Inter se colloquuntur de nuptiis tuis cupressi.
P. Amiculum mihi lacerum fecisti, sum q; iam nuda.
D. Aliud amiculum tuo maius tibi dabo.
P. Ais te mihi omnia daturum: forte postea ne salem *quidem* dederis.
D. Vtinam possem ipsam etiam animam tibi immittere.
P. O Diana, ne succense: tua *illa* solitaria nō amplius *tibi* fidelis est.
D. Faciam vitulam Amori, & bouem ipsi Veneri.
P. Virgo huc veni, mulier vero domum redibo.
D. Imo mulier mater, liberorum nutrix, nō amplius puella.

Sic illi florentibus oblectati membris,
Inter se blande susurrabant: Consurgit furtiuum cubile.
Ipsaque cum surrexisset, ibat ad oues pascendas,
Oculis pudore suffusis; cor autem illi intus gestiebat:
Ille autem ad armenta boum, cōcubitu lætus, *abibat.*

P ARGV-

© Centre d'Études Supérieures de la Renaissance - Tours

## ARGVMENTVM

Theocritus ad amicum Niciam, medicum Milesium, quem ante aliquot Idylliis celebrauit, profecturus, vxori eius Theugenidi, laboriosæ matrisfamilias, adfert pro munere hospitali colum eburneam. Cui adiungit hoc carmen, quo colum modeste commendat, & matronæ industriam virtutemque celebrat. Est igitur argumentum huius Idyllii οἰκονομικὸν atque ἠθικὸν, & tamen eruditum ac suaue. Genus carminis est choriam-

## COLVS. Idyllion XXIIX.

O Colus, amica lanificii, donum glaucæ Mineruę,
Matronarum mens, quæ domum augent, tui est compos:
Sequere nos confidenter in illustrem vrbem Nilei,
Vbi Veneris delubrum viride in arundineto tenero.
Eo enim nauigationem prosperam petimus a Ioue,
Vt hospitē meū oblectē videns, & vicissim oblecter,
Niciam, Gratiarum suaue loquētium sacrā stirpem:
Teque ex elaborato ebore factam
Munus in coniugis Niciæ manus præbebimus.
Cum ea multa opera perficies, ad viriles vestes *pertinentia*:
Multa & ad braccas quas mulieres gerunt, aquatiles.
Bis enim matres agnorum, mollem in pascuis lanam
Tondentur eodem anno, propter Theugenidem pulchris talis.
Sic illa operosa est, amatque ea quæ amant *matronæ* sapientes.
Neque enim in ignauam aut otiosam decreui
Te dare domum, existentem ex nostra terra.
Nam tibi patria est ea, quam condidit olim Archias Ephyręus.
Insulæ Trinacriæ pinguem præstātium virorum vrbem.
Nunc

© Centre d'Études Supérieures de la Renaissance - Tours

## XXVIII IDYLLII.

riambicum pentametrum, sicut illud apud Catullum,
*Alphene immemor atque unanimis false sodalibus, &c.*
*Nec facta impia fallacum hominum caelicolis placent.*
Primam sedem spondæus regulariter occupat: secundum choriambus, qui ex prima longa, medius duabus breuibus, & vltima rursum longa, constat: tertiam & quartã, idem pes obtinet: quinto loco iambus est. nam vltima syllaba libera censetur.

## ΗΛΑΚΑΤΑ, Εἰδύλλιον κη'.

Γλαυκᾶς ὦ φιλέριθ' ἀλακάτα δῶρον Ἀθανάας,
Γυναιξὶ νόος οἰκωφελέεσσι σὺς ἐπήβολος·
Θαρσεῦσ' ἄμμιν ὑμάρτη πόλιν ἐς Νείλεω ἀγλαάν,
Ὅππα Κύπριδος ἱρὸν καλάμω χλωρὸν ὑφ' ἀπαλῶ.
Τῆδε γὰρ πλόον εὐάνεμον αἰτεύμεθα πὰρ Διός,
Ὅππως ξεῖνον ἐμὸν τέρψομ' ἰδὼν κἀντιφιλήσομαι
Νικίαν, Χαρίτων ἱμεροφώνων ἱερὸν φυτόν.
Καί σε τὰν ἐλέφαντις πολυμόχθω γεγενημέναν,
Δῶρον Νικιέας εἰς ἀλόχω χέρρας ὀπάσσομεν.
Σὺν τᾷ πολλὰ μὲν ἔργ' ἐκτελέσεις ἀνδρείοις πέπλοις,
Πολλὰ δ' οἷα γυναῖκες φορέοισ' ὑδάτινα βράκη.
Δὶς γὰρ ματέρες ἀρνῶν μαλακοὺς ἐν βοτάνᾳ πόκους
Πέξαιντ' αὐτοετεὶ, Θευγενίδος γ' ἔνεκ' εὐσφύρω.
Οὕτως ἀνυσιεργός· φιλέει δ' ὅσσα σαόφρονες.
Οὐ γὰρ εἰς ἀκιρᾶς οὐδ' ἐς ἀεργῶς μὲν ἐβολλόμαν
Ὀπάσσαι σὲ δόμως, ἀμετέρας εὔσαν ἀπὸ χθονός.
Καὶ γάρ σοι πάτρις ἂν ὤξ Ἐφύρας κτίσσε ποτ' Ἀρχίας,
Νάσω Τρινακρίας μυελὸν, ἀνδρῶν δοκίμων πόλιν.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Νῦν μὰν οἶκον ἔχουσ' ἀνέρος ὃς πόλλ' ἐδάη σοφὰ
Ἀνθρώποισι νόσους φάρμακα λυγρὰς ἀπαλαλκέμεν,
Οἰκήσεις κατὰ Μίλατον ἐρατεινὰν μετ' Ἰαόνων·
Ὡς εὐαλάκατος Θευγένις ἐν δαμότισιν πέλῃ,
Καί οἱ μνᾶστιν ἀεὶ τῶ φιλαοιδῶ παρέχῃς ξένω.
Κεῖνο γάρ τις ἐρείτω, τὠπιδών σ', Ἦ μεγάλα χάρις
Δώρῳ ξὺν ὀλίγῳ· πάντα δὲ τιμᾶντα τὰ πὰρ φίλων.

---

## ARGVMENTVM

Querela & expostulatio cum amico, propter inconstantiam in amore; qua nihil crebrius neque vulgarius est in communi vita. πολυφιλία, id est, subinde mutare amicos, veteres fastidire & nouos amplecti, id olim perinde probrosum atque infame habebatur, vt si qua mulier subinde

## ΠΑΙΔΙΚΑ, Εἰδύλλιον κθ'.

Οἶνος ὦ φίλε παῖ λέγεται καὶ ἀλάθεα·
Κἄμμες χρὴ μεθύοντας ἀλαθέας ἔμμεναι.
Κἠγὼ μὲν τὰ φρενῶν ἐρέω κέατ' ἐν μυχῷ·
Οὐχ ὅλας φιλέειν μ' ἐθέλησθ' ἀπὸ καρδίας·
Γινώσκω. τὸ γὰρ ἥμισυ τᾶς ζοίας ἔχω,
Ζᾶ τὰν σὰν ἰδέαν, τὸ δὲ λοιπὸν ἀπώλετο.
Χὤταν μὲν σὺ θέλῃς, μακάρεσσιν ἴσαν ἄγω
Ἀμέραν· ὄκκα δ' οὐκ ἐθέλεις τὺ, μάλ' ἐν σκότῳ.
Πῶς ταῦτ' ἄρμενα, τὸν φιλέοντ' ἀνίαις διδῶν;
Ἀλλ' εἴ μοι τι πίθοιο, νέος προγενεστέρω,
Τῷ καὶ λώϊον αὐτὸς ἔχων ἔμ' ἐπαινέσαις,
Ποίησαι καλιὰν μίαν εἰν ἑνὶ δενδρίῳ,

Ὅπα

© Centre d'Études Supérieures de la Renaissance - Tours

Nũc sane domũ tenẽs viri, qui multa nouit salutaria
Remedia ad arcendos ab hominibus tristes morbos,
Habitabis in Mileto amabili inter Ionas:
Vt pulchram colum habens Theugenis sit inter populares,
Et illi memoriam hospitis carminum amantis semper renoues.
Hoc enim quis dicet, te aspiciẽs, Certe magna gratia
Exiguo muneri adest. omnia honorem merentur quæ *veniunt* ab amicis.

---

IDYLLII XXIX.

subinde alios atque alios viros admitteret. Hoc vitium & hic amico suo Theocritus exprobrat; atq; in fine cõcludit, eum qui bene audire apud homines honestos velit, non leuem neque inconstantem in colendis amicitiis esse oportere. Genus carminis est Dactylicũ Pentametrum: prima tamen sede etiam aliquando Trochæus est.

AMORES, Idyllion XXIX.

Vinum, ô care puer dicitur, & Veritas:
Et nos ebrios oportet veraces esse.
Egoq; ea dicã quæ in recessu pectoris condita sunt.
Non integro me pectore voluisti amare:
Intelligo, nam hoc dimidium vitæ *quod* habeo,
Viuit ex tua forma; reliquum interiit.
Et si tu voles, diis immortalibus similem agam
Vitam: sin minus velis, valde in tenebris.
Quomodo hæc cõgruunt, amantẽ molestia afficere?
At si mihi obtemperes, iuuenis seniori,
Tunc & tibi melius quum sit, me laudaris:
Fac nidum vnum vna in arbore:



© Centre d'Études Supérieures de la Renaissance - Tours

Quo nullum accedat sæuum reptile:
Nunc vero hodie alium tenes ramum,
Cras alium,& alium post alium requiris:
Et quidem aliquis faciem tuam pulchram aspiciens laudauerit:
Huius statim amicus factus es plusquam triennis:
Primum vero amantem tertio loco posuisti.
Hominum superborum *more* videris spirare.
Vt vero viuas,ama consimilem semper habere.
Si sic feceris,bene audies
Apud ciues,& amor tibi iste non grauis erit;
Qui virorum mentes facile superat,
Et me ex ferreo mollem fecit.
Verum circa tenerum os te amplector.

---

ARGVMENTVM

Genus carminis huius Idyllii est Anacreontion, vocaturque dimidium Iambicum: sunt enim dimetra Iambica Catalectica,id est,quibus in fine vna syllaba deest.Recipiunt vbique Iambum, prima tamen & secunda sede aliquando spondeum. Est autem, sicut in aliis, ita hic quoque, Poetica imaguncula. Aper interfector Adonidis iussu Veneris ab Amoribus captus adducitur, qui a Venere grauiter increpatus, respondet, Se amore Adonidis incensum, cum femur ipsius nudum osculari vellet, incendio amoris victum, infelici casu altius impressisse dentem. Offert igitur se, cum peccauerit

ad

## IN MORTVVM ADONIDEM, Idyllion XXX.

Adonidem Cytherea

Vt vidit

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ὅπη μηδὲν ἀπίξεται ἄγριον ἑρπετόν.
Νῦν δὲ τῶδε μὲν ἅμαλος ἄλλον ἔχεις κλάδον,
Ἄλλον δ' αὔριον· ἐξ ἑτέρω δ' ἕτερον ματῆς.
Καὶ μὴν σεῦ τὸ καλόν τις ἰδὼν ῥέθος αἰνέσαι,
Τῷδ' εὐθὺς πλέον ἢ τριέτης ἐγένου φίλος·
Τὸν πρᾶτον δὲ φιλεῦντα, τριταῖον ἐθήκαο.
Ἀνδρῶν τῶν ὑπερηνορέων δοκέεις πνέειν.
Φίλει δ', ὡς κε ζώῃς, τὸν ὅμοιον ἔχειν ἀεί.
Αἰ γὰρ ὧδε ποῇς, ἀγαθὸς μὲν ἀκούσεαι
Ἐξ ἀστῶν· ὁ δέ τοι ἔρος οὐ χαλεπῶς ἔχοι·
Ὃς ἀνδρῶν φρένας εὐμαρέως ὑποδάμναται,
Κἠμὲ μαλθακὸν ἐξεπόνασε σιδαρέου.
Ἀλλὰ πέρ γε ἁπαλῶ στόματός σε πεδέρχομαι.

---

## XXX IDYLLII.

ad perferendum quodvis supplicium, etiam si viuus cremãdus sit: præcipue dentes, vt qui cædis instrumentum fuerint, pœnæ deuouet. Venus commiseratione mota, vt ipsa amoris non ignara, ignoscit illi, & vincula laxari denique iubet. Sequitur tamen ille deinde Veneris chorum, vt captiuus. ¶ Hac imagine fortasse significare Poeta voluit: Venerem non tantum in homines, verum etiam in feras bestias imperium obtinere. Etsi in fine cum dentes amatorios exurit aper, hoc videtur indicare voluisse, has flammas sine ordine vagantes, recta ratione refrænandas ac coercendas esse.

## ΕΙΣ ΝΕΚΡΟΝ ΑΔΩΝΙΝ.
### Εἰδύλλιον λ'.

Ἄδωνιν ἡ Κυθήρη

Ὡς εἶδε νεκρὸν ἤδη,
Στυγνὸν ἔχοντα χαίταν,
Ὠχρὰν τε τὴν παρειὰν,
Ἄγειν τὸν ὗν πρὸς αὐτὴν
Ἔταξε τὼς Ἔρωτας.
Οἱ δ' εὐθέως ποτανοὶ
Πᾶσαν δραμόντες ὕλαν,
Στυγνὸν τὸν ὗν ἀνεῦρον,
Δῆσάν τε κἀπέδησαν.
Χὠ μὲν, βρόχῳ καθάψας,
Ἔσυρεν αἰχμάλωτον·
Ὁ δ', ἐξόπισθ' ἐλαύνων,
Ἔτυπτε τοῖσι τόξοις.
Ὁ θὴρ δ' ἔβαινε δειλῶς.
Φοβεῖτο γὰρ Κυθήρην.
Τῷ δ' εἶπεν Ἀφροδίτα,
Πάντων κάκιστε θηρῶν,
Σὺ τόνδε μηρὸν ἴψω;
Σύ μου τὸν ἄνδρ' ἔτυψας;
Ὁ θὴρ δ' ἔλεξεν ὧδε·
Ὄμνυμί σοι Κυθήρη,
Αὐτήν σε, καὶ τὸν ἄνδρα,
Καὶ ταῦτά μου τὰ δεσμὰ,
Καὶ τούσδε τὼς κυναγώς,
Τὸν ἄνδρα τὸν καλόν σευ
Οὐκ ἤθελον πατάξαι·
Ἀλλ' ὡς ἄγαλμ' ἐσεῖδον·
Καὶ μὴ φέρων τὸ καῦμα,

Γυμνὸν

© Centre d'Études Supérieures de la Renaissance - Tours

Vt vidit iam mortuum,
Tristem comam habentem,
Et pallidas genas,
Ducere ad se aprum
Iussit Amores.
Illi vero statim vt volucres
Per omnem currentes siluam,
Tristem aprum inuenerunt,
Ligaueruntque & alligauerunt.
Et vnus fune innectens
Trahebat captiuum:
Altera tergo agens,
Percutiebat arcu.
Fera incedebat miserabiliter:
Metuebat enim Venerem.
Huic vero dixit Venus:
Omnium ferarum pessima,
Tune istud femur læsisti?
Tun' meum virum percussisti?
Fera autem sic dixit:
Iuro tibi Venus
Per ipsam te,& virum,
Et ista mea vincula,
Et hosce venatores,
Tuum formosum virum
Non volebam ferire;
Sed velut simulacrum aspexi:
Et non ferens *amoris* incendium,

Femur

© Centre d'Études Supérieures de la Renaissance - Tours

Femur quod illi nudum erat,
Insano furore osculari cupiebam:
Idque mihi nocuit.
Hos igitur accipiens *dentes*, ô Venus;
Hos puni, excide.
Quid enim gero superuacaneos
Amatorios dentes?
Et hoc si minus tibi sufficit,
Etiam isthæc mea labra.
Huius autem miserta est Venus:
Et dixit Amoribus,
Vt vincula illi soluerent.
Ex eo tempore *Venerem* sequebatur,
Neque in siluam rediit:
Et accedens ad ignem,
Exussit amores.

## THEOCRITI SYRACVSII
## EPIGRAMMATA.

Rosæ illæ roscidæ, & densum illud
Serpyllum dicatum est Heliconiadibus [Musis:]
At nigra folia habentes lauri, tibi, ô Pythie Apollo:
Delphica enim petra his te ornauit.
Aram autem cruentabit cornutus hircus iste villosus,
Terebinthi comedens vltimum ramum.

ALIVD.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Γυμνὸν τὸν εἶχε μηρόν.
Ευφρινόμην φιλᾶσαι,
Καί μευ κατεσίναζε.
Τούτους λαβοῦσα Κύπρι,
Τούτους κόλαζε, τέμνε.
Τί γὰρ φέρω περισσοὺς
Ερωτικοὺς ὀδόντας;
Εἰ δ' οὐχί σοι τάδ' ἀρκεῖ,
Καὶ ταῦτ' ἐμοῦ τὰ χείλη.
Τὸν δ' ἠλέησε Κύπρις,
Εἶπέν τε τοῖς Ἔρωσι
Τὰ δεσμά οἱ 'πιλῦσαι.
Εκ τῶν δ' ἐπηκολούθει,
Καὶ ὕλαν οὐκ ἔβαινε.
Καί τε πυρὶ προσελθὼν
Ἔκαιε τὼς ἔρωτας.

ΘΕΟΚΡΙΤΟΥ ΤΟΥ ΣΥΡΑΚΟΥΣΙΟΥ
ἐπιγράμματα. α'.

Τὰ ῥόδα τὰ δροσόεντα, καὶ ἡ κατάπυκνος ἐκείνα
Ἕρπυλλος κεῖται ταῖς Ἑλικωνιάσι·
Ταὶ δὲ μελάμφυλλοι δάφναι τὶν Πύθιε Παιάν·
Δελφὶς ἐπεὶ πέτρα τοῦτό τοι ἀγλάϊσε.
Βωμὸν δ' αἱμάξει κεραὸς τράγος οὗτος ὁ μαλὸς,
Τερμίνθου τρώγων ἔσχατον ἀκρέμονα.



© Centre d'Études Supérieures de la Renaissance - Tours

## ΑΛΛΟ. β'.

Δάφνις ὁ λευκόχρως, ὁ καλᾷ σύριγγι μελίσδων
Βουκολικοὺς ὕμνους, ἄνθετο Πανὶ τάδε·
Τοὺς τρητοὺς δόνακας, τὸ λαγωβόλον, ὀξὺν ἄκοντα,
Νεβρίδα, τὴν πήραν ᾇ ποκ' ἐμαλοφόρει.

## ΑΛΛΟ. γ'.

Εὕδεις φυλλοστρῶτι πέδῳ Δάφνι, σῶμα κεκμακὸς
Ἀμπαύων· στάλικες δ' ἀρτιπαγεῖς ἀν' ὄρη.
Ἀγρεύει δέ τυ Πὰν, καὶ ὁ τὸν κροκόεντα Πρίηπος
Κισσὸν ἐφ' ἱμερτῷ κρατὶ καθαπτόμενος,
Ἄντρον ἔσω στείχοντες ὁμόρροθοι. ἀλλὰ τὺ φεῦγε,
Φεῦγε μεθεὶς ὕπνου κῶμα καταγρόμενον.

## ΑΛΛΟ. δ'.

Τήναν τὰν λαύραν τῶς αἱ δρύες αἰπόλε κάμψας,
Σύκινον εὑρήσεις ἀρτιγλυφὲς ξόανον,
Τρισκελὲς, αὐτόφλοιον, ἀνούατον· ἀλλὰ φάλητι
Παιδογόνῳ δυνατὸν Κύπριδος ἔργα τελεῖν.
Σακὸς δ' εὐϊερὸς περιδέδρομεν· ἀέναον δὲ
Ῥεῖθρον ἀπὸ σπιλάδων πάντοσε τηλεθάει
Δάφναις καὶ μύρτοισι καὶ εὐώδει κυπαρίσσῳ·
Ἔνθα πέριξ κέχυται βοτρυόπαις ἕλικι
Ἄμπελος· εἰαρινοὶ δὲ λιγυφθόγγοισιν ἀοιδαῖς
Κόσσυφοι ἀχεῦσιν ποικιλότραυλα μέλη·
Ξουθαὶ ἀηδονίδες μινυρίσμασιν ἀνταχεῦσι,
Μέλπουσαι στόμασι τὰν μελίγηρυν ὄπα.
Ἕζεο δὴ τηνεὶ, καὶ τῷ χαρίεντι Πριήπῳ
Εὔχε' ἀποστέρξαι τοὺς Δάφνιδός με πόθους·

Κεὐθὺς

© Centre d'Études Supérieures de la Renaissance - Tours

ALIVD.

Daphnis ille candidus, ille qui pulchra fistula modulabatur
Bucolicos hymnos, hæc dedicauit Pani:
Tres tibias, pedum, acutum iaculum,
Pellem ceruinam, & perã qua olim poma ferebat.

ALIVD.

Dormis in solo foliis constrato, ô Daphni, corpus defessum
Quieti dans: at furculæ nuper compactæ [sunt] in montibus.
Venatur te Pan, & Priapus qui croceam
Hederam pulchro capiti circunligatam habet,
Antrum ingredientes vnanimes. Verum tu fuge,
Fuge (inquam) deserens somni soporem nutantẽ.

ALIVD.

Per illũ vicũ vbi quercus [sunt] ô caprarie, deflectẽs,
Ficulneam inuenies recens sculptam statuam,
Tripedẽ, cum ipso cortice, sine auribus: sed Priapo
Generatori possibile [est] Veneris opera perficere.
Ædes autẽ sacra pulchre circumcurrit, & perenne
Fluentum e saxis vndique viret
Lauris & myrtis, & odorata cupresso;
Vbi circumcirca diffusa est racemosa cũ capreolis
Vitis: vernæ autem stridulis cantibus
Merulæ modulantur varie sonora carmina.
Flauæ lusciniæ sibilis ex aduerso canunt,
Cantantes gutture suauissimum sonum.
Sede igitur illic, & amabilem Priapum
Precare vt ego possim renuntiare Daphnidis amoribus:

Et mox

© Centre d'Études Supérieures de la Renaissance - Tours

Et mox ſacrificaturũ me pulchrum caprum: at ſi abnuerit,
Hoc adeptus volo tres oſtias offerre.
Sacrificabo enim iuuencam, hirſutũ hircum, agnum quem habeo
Stabularium. audiat autem beneuole Deus.

ALIVD.

Viſne, per nymphas, duplicibus tibiis cantare
Suaue aliquid mihi? & ego pectidem ſumens
Incipiã aliquid ſonare: bubulcus a. ſimul oblectabit
Daphnis, cera cõpacto ſpiritu [i. fiſtula] modulans.
Stantes vero prope hirſutam quercum poſt antrum,
Pana caprarium priuauerimus ſomno.

ALIVD.

Ah miſer tu Thyrſi, quid proderit ſi contabefacias
Lacrymis geminos oculos lugendo?
Abiit capella, præclara ſoboles, abiit ad inferos.
Nam durus vngulis [eam] comprehendit lupus:
Canes vero clamant. quid prodeſt, quum illius
Nec os [quidẽ] neque cinis relictus ſit abeuntis?

IN STATVAM ÆSCVLAPII.

Venit & Miletum Pæonis filius,
Cum viro ſanatore morborum conuerſaturus
Nicia: qui ipſum quotidie ſemper ſacrificiis adit,
Et iſtud ex odorata ſculpſit [ei] ſimulacrum cedro,
Eetioni propter ſcitam manum magnum pollicitus
Præmium ille vero ad opus omne ſuum contulit artificium.

EPITAPHIVM ORTHONIS.

Hoſpes, Syracuſanus vir Orthon hoc tibi præcipit,
Hyberna nocte ebrius ne iter facias.

Nam

© Centre d'Études Supérieures de la Renaissance - Tours

Κ' εὐθὺς ἐπιρρέξειν χίμαρον καλόν. ἢν δ' ἀνανεύσῃ,
Τοῦδε τυχὼν ἐθέλω τρισσὰ θύη τελέσαι.
Ῥέξω γὰρ δαμάλαν, λάσιον τράγον, ἄρνα τὸν ἴσχω
Σακίταν· αἴοι δ' εὐμενέως ὁ θεός.

ΑΛΛΟ. ε'.

Λῇς ποτὶ τᾶν νυμφᾶν διδύμοις αὐλοῖσιν ἀεῖσαι
Ἀδύ τι μοι; κἠγὼν πακτίδ' ἀειράμενος
Ἀρξεῦμαί τι κρέκειν· ὁ δὲ βουκόλος ἄμμιγα θέλξει
Δάφνις, κηροδέτῳ πνεύματι μελπόμενος.
Ἐγγὺς δὲ στάντες λασίας δρυὸς ἄντρου ὄπισθεν,
Πᾶνα τὸν αἰγιβόταν ὀρφανίσωμεν ὕπνου.

ΑΛΛΟ. ϛ'.

Ἆ δείλαιε τὺ Θύρσι, τί τὸ πλέον εἰ καταταξεῖς
Δάκρυσι διγλήνους ὦπας ὀδυρόμενος;
Οἴχεται ἁ χίμαρος τὸ καλὸν τέκος, οἴχετ' ἐς ᾅδαν·
Τραχὺς γὰρ χαλαῖς ἀμφεπίαξε λύκος·
Αἱ δὲ κύνες κλαγγεῦντι· τί τὸ πλέον, ἁνίκα τήνας
Ὀστέον οὐδὲ τέφρα λείπεται οἰχομένας;

ΕΙΣ ΑΓΑΛΜΑ ΑΣΚΛΗΠΙΟΥ. ζ'.

Ἦλθε καὶ ἐς Μίλητον ὁ τοῦ Παιήονος υἱός,
Ἰητῆρι νόσων ἀνδρὶ συνεσσόμενος
Νικίᾳ· ὅς μιν ἐπ' ἦμαρ ἀεὶ θυέεσσιν ἱκνεῖται,
Καὶ τόδ' ἀπ' εὐώδους γλύψατ' ἄγαλμα κέδρου,
Ἠετίωνι χάριν γλαφυρᾶς χερὸς ἄκρον ὑποστὰς
Μισθόν· ὁ δ' εἰς ἔργον πᾶσαν ἀφῆκε τέχνην.

ΕΠΙΤΑΦΙΟΝ ΟΡΘΩΝΟΣ. η'.

Ξεῖνε, Συρηκόσιός τοι ἀνὴρ τόδ' ἐφίεται Ὄρθων,
Χειμερίης μεθύων μηδαμὰ νυκτὸς ἴοις.

Καὶ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Καὶ γὰρ ἐγὼ τοιοῦτον ἔχω πότμον· ἀντὶ δὲ πολλᾶς
Πατρίδος ὀθνείην κεῖμαι ἐφεσσάμενος.

ΑΛΛΟ. θʹ.

Ἄνθρωπε ζωῆς περιφείδεο, μηδὲ παρ᾽ ὥρην
Ναυτίλος ἴσθι· ὡς οὐ πολὺς ἀνδρὶ βίος.

ΕΙΣ ΑΓΑΛΜΑ ΜΟΥΣΩΝ. ιʹ.

Ὑμῖν τοῦτο θεαὶ κεχαρισμένον ἐννέα πάσαις
Τὤγαλμα Ξενοκλῆς θῆκε τὸ μαρμάρινον,
Μουσικός· οὐχ ἑτέρως τις ἐρεῖ· σοφίῃ δ᾽ ἐπὶ τῇδε
Αἶνον ἔχων, Μουσέων οὐκ ἐπιλανθάνεται.

ΕΠΙΤΑΦΙΟΝ ΕΥΣΘΕΝΟΥΣ
τοῦ φυσιογνώμονος. ιαʹ.

Εὐσθένεος τὸ μνᾶμα· φυσιγνώμων ὁ σοφιστής,
Δεινὸς ἀπ᾽ ὀφθαλμοῦ καὶ τὸ νόημα μαθεῖν.
Εὖ μιν ἔθαψαν ἑταῖροι ἐπὶ ξείνης ξένον ὄντα·
Χὐμνοθέτης αὐτοῖς δαιμονίως φίλος ἦν.
Πάντων ὧν ἐπέοικεν ἔχει τεθνεὼς ὁ σοφιστής,
Καίπερ ἄκικυς ἐών· εἶχ᾽ ἄρα κηδεμόνας.

ΕΙΣ ΤΡΙΠΟΔΑ ΤΩΙ ΔΙΟΝΥΣΩι,
ἀπὸ Δημοτέλους. ιβʹ.

Δαμοτέλης ὁ χορηγὸς, ὁ τὸν τρίποδ᾽ ὦ Διόνυσε,
Καὶ σὲ τὸν ἥδιστον θεῶν μακάρων ἀναθεὶς,
Μέτριος ἦν ἐν πᾶσι· χορῷ δ᾽ ἐκτήσατο νίκην
Ἀνδρῶν, καὶ τὸ καλὸν καὶ τὸ προσῆκον ὁρῶν.

ΕΙΣ ΑΓΑΛΜΑ ΤΗΣ ΟΥΡΑ-
νίας Ἀφροδίτης. ιγʹ.

Ἡ Κύπρις οὐ πάνδημος· ἱλάσκεο τὴν θεὸν εἰπὼν
Οὐρανίαν, ἁγνᾶς ἄνθεμα Χρυσογόνας

Οἴκῳ

Nam ego talem habeo interitum: & pro magna
Patria[mea]peregrina[terra]iaceo coopertus.

ALIVD.

O homo, vitæ parce, neque præter anni tempus
Nauta sis: quia non est magna homini vita.

IN SIMVLACRVM MVSARVM.

Vobis hoc, ô deæ, gratum nouem omnibus
Simulacrum Xenocles erexit marmoreum,
Musicus: nõ aliter quispiã dicet. & propter hãc sciẽ-
Laudẽ habens, Musarũ non obliuiscitur. [tiam

EPITAPHIVM EVSTHENIS physiognomonis.

Eusthenis hoc [est] monumentum: physiognomon [est] philosophus;
Peritus ex oculo mentem etiam cognoscere.
Honeste ipsum sepelierunt socii in peregrina [terra] peregrinum existentem;
Et poeta ipsis mire gratus erat.
Omnia quæ par est habet mortuus philosophus,
Quanuis nihil virium habens. habuit ergo qui curam sui gererent.

IN TRIPODEM BACCHO dedicatum nomine Demotelis.

Demoteles choragus, qui tripodem, ô Bacche,
Et te iucundissimũ deorum beatorum cõsecrauit;
Moderatus erat in omnibus: in chorea vero obtinuit victoriam [dens.
Virorum, & quod pulchrũ & quod decẽs [est] vi-

IN SIMVLACRVM CAELESTIS Veneris.

Venus ista non[est]vulgaris: propitiam redde deã, vo- (cans[eam]
Cælestem, castæ donarium Chrysogonæ



© Centre d'Études Supérieures de la Renaissance - Tours

In domo Amphiclis, cum quo & liberos, & vitam habuit
Communem. semper autem ipsis melius quotānis erat
A te incipientibus, ô veneranda. nam dum curant
Immortales, ipsi plus habent mortales.

EPITAPHIVM
Eurymedontis.

Paruulum filium reliquisti; & tu ipse etiam in flore ætatis
O Eurymedon hoc sepulcrū mortuus obtinuisti.
Tibi quidem sedes [est] inter diuinos viros; hunc autem ciues
Honorabunt, patris memores vtpote boni.

IN IDEM.

Cognoscam siquid amplius bonis [viris] tribuas, an etiam improbus
A te, ô viator, itidem æqualem habet [honorem.]
Salueat iste tumulus, inquies: nam Eurymedontis
Iacet sacrum leuis super caput.

IN ANACREONTIS
statuam.

Contemplare statuam hanc ô hospes
Diligenter, & dic, quum domum redieris,
Anacreontis simulacrum vidi in Teo,
[Excellētis] siquid antiquorū poetarū præstans fuit.
Addens vero quod iuuenibus delectabatur,
Dices vere totum virum.

IN EPICHARMVM.

Et vox Dorica [est,] & vir qui comœdiam
Inuenit [est] Epicharmus.
O Bacche, æneum ipsum pro vero
Tibi hic dicarunt:

Quem

© Centre d'Études Supérieures de la Renaissance - Tours

Οἴκῳ ἐν Ἀμφικλέους, ᾧ καὶ τέκνα καὶ βίον εἶχε
Ξυνόν. ἀεὶ δέ σφιν λώϊον εἰς ἔτος ἦν
Ἐκ σέθεν ἀρχομένοις ὦ πότνια· κηδόμενοι γὰρ
Ἀθανάτων αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

## ΕΠΙΤΑΦΙΟΝ ΕΥΡΥΜΕΔΟΝΤΟΣ. ιδ΄.

Νήπιον υἱὸν ἔλειπες, ἐν ἁλικίᾳ δὲ καὶ αὐτὸς
Εὐρύμεδον τύμβου τοῦδε θανὼν ἔτυχες.
Σοὶ μὲν ἕδρα θείοισι μετ' ἀνδράσι· τὸν δὲ πολῖται
Τιμασεῦντι, πατρὸς μνώμενοι ὡς ἀγαθοῦ.

## ΕΙΣ ΤΟ ΑΥΤΟ. ιε΄.

Γνώσομαι εἴ τι νέμεις ἀγαθοῖς πλέον, ἢ καὶ ὁ δειλὸς
Ἐκ σέθεν ὡσαύτως ἶσον ὁδοιπόρ' ἔχει.
Χαιρέτω οὗτος ὁ τύμβος, ἐρεῖς· ἐπεὶ Εὐρυμέδοντος
Κεῖται τῆς ἱερῆς κοῦφος ὑπὲρ κεφαλῆς.

## ΕΙΣ ΑΝΑΚΡΕΟΝΤΟΣ ἀνδριάντα. ις΄.

Θᾶσαι τὸν ἀνδριάντα τοῦτον ὦ ξένε
Σπουδᾷ, καὶ λέγ', ἐπὰν ἐς οἶκον ἔνθῃς,
Ἀνακρέοντος εἰκόν' εἶδον ἐν Τέῳ,
Τῶν πρόσθ' εἴ τι περισσὸν ὠδοποιῶν.
Προσθεὶς δὲ χὤτι τοῖς νέοισιν ἄδετο,
Ἐρεῖς ἀτρεκέως ὅλον τὸν ἄνδρα.

## ΕΙΣ ΕΠΙΧΑΡΜΟΝ. ιζ΄.

Ἅ τε φωνὰ Δώριος, χὠνὴρ ὁ τὰν κωμῳδίαν
Εὑρὼν Ἐπίχαρμος.
Ὦ Βάκχε, χάλκεόν νιν ἀντ' ἀλαθινοῦ
Τὶν ὧδ' ἀνέθηκαν·



© Centre d'Études Supérieures de la Renaissance - Tours

Τὸν Συρακόσαις ἐνίδρυνται πελωρίστᾳ πόλει
  Οἷ' ἀνδρὶ πολίται.
Σωρὸν γὰρ εἶχε χρημάτων μεμναμένοις
  Τελεῖν ἐπίχειρα.
Πολλὰ γὰρ ποττὰν ζωὰν τοῖς παισὶν εἶπε χρήσιμα·
  Μεγάλα χάρις αὐτῷ.

ΕΠΙΤΑΦΙΟΝ ΚΛΕΙΤΑΣ,
τροφοῦ Μηδείου. ιη'.

Ὁ μικκὸς τόδ' ἔτευξε τᾷ Θρείσσᾳ
Μήδειος τὸ μνᾶμ' ἐπὶ τᾷ ὁδῷ, κἠπέγραψε Κλείτας.
Ἕξει τὴν χάριν ἡ γυνὴ ἀντὶ τήν ὧν
Ὧν τὸν κοῦρον ἔθρεψ'· ἔτι μὴν ἔτι χρησίμη καλεῖται.

ΕΙΣ ΑΡΧΙΛΟΧΟΝ. ιθ'.

Ἀρχίλοχον καὶ στᾶθι καὶ εἴσιδε τὸν πάλαι ποιητὰν
  Τὸν τῶν ἰάμβων· οὗ τὸ μυρίον κλέος
  Διῆλθε κἠπὶ νύκτα καὶ πρὸς ἀῶ.
Ἦ ῥά μιν αἱ Μοῦσαι καὶ ὁ Δάλιος ἠγάπευν Ἀπόλλων,
  Ὡς ἐμμελής τ' ἐγένετο κἀπιδέξιος
  Ἔπεά τε ποιεῖν, πρὸς λύραν τ' ἀείδειν.

ΕΙΣ ΑΝΔΡΙΑΝΤΑ ΠΕΙΣΑΝΔΡΟΥ,
τοῦ τὴν Ἡράκλειαν ποιήσαντος. κ'.

Τὸν τοῦ Ζανὸς ὅδ' ὕμιν υἱὸν ἀνὴρ,
Τὸν λεοντομάχαν, τὸν ὀξύχειρα,
Πρῶτος τῶν ἐπάνωθε μουσοποιῶν
Πείσανδρος ξυνέγραψεν ὠκ Καμείρου,
Χὤσους ἐξεπόνασεν εἶπ' ἀέθλους.
Τοῦτον δ' αὐτὸν ὁ δᾶμος (ὡς σάφ' εἰδῇς)
Ἔστασ' ἐνθάδε, χάλκεον ποιήσας.

Πολλοῖς

© Centre d'Études Supérieures de la Renaissance - Tours

Quem Syracusis collocarunt in prægrandi ciuitate,
Vt virum ciuem [decet.]
Aceruum enim habebat rerum vtilium iis qui memores erant
Rependere mercedem.
Multa enim ad vitam pueros docuit vtilia:
Magna gratia illi [habenda est.]

EPITAPHIVM CLITÆ, nutricis Medei.

Paruulus istud struxit Threissæ
Medeus monumentum in via, & inscripsit Clitæ.
Habebit gratiam mulier pro eo
Quod puerum nutriuit: adhuc nempe adhuc vtilis vocatur.

IN ARCHILOCHVM.

Consiste, & Archilochum aspice, veterem poetam,
Iambographum, cuius celeberrima fama
Permanauit & ad occidentem & ad orientem.
Certe ipsum Musæ & Delius Apollo amauerunt:
Adeo exactus erat ac dexter
Carminaque componendo, & ad lyram cantando.

IN STATVAM PISANDRI, qui Herculeam carmine scripsit.

Iouis iste vobis filium vir,
Eum qui cum leone pugnauit, promptum manu,
Primus superiorum poetarum
Pisander conscripsit [oriundus] ex Camiro,
Et quotquot laborando confecit, recensuit labores.
Hunc vero ipsum populus (vt certo scias)
Collocauit hic, æneum quum fecisset,



© Centre d'Études Supérieures de la Renaissance - Tours

Multis mensibus postea & annis.

IN HIPPONACTEM.

Poeta hic Hipponax iacet:
Si quidem improbus es, ne accedas sepulcrum:
Sin autem es bonus, & ex probis [natus,]
Confidens sede; &, si volueris, dormi.

EIVSDEM IN SVVM ipsius librum.

Alius est [Theocritus] Chius: ego autem Theocritus qui hæc scripsi,
Vnus ex plebe sum Syracusana,
Filius Praxàgoræ inclytæque Philinæ:
Musam vero alienam nunquam attraxi.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Πολλοῖς μασὶν ὄπισθε κλίνῃ αὐτοῖς.

ΕΙΣ ἹΠΠΩΝΑΚΤΑ. κα'.

Ὁ μουσοποιὸς ἐνθάδ' Ἱππῶναξ κεῖται.
Εἰ μὲν πονηρὸς, μὴ προσέρχευ τῷ τύμβῳ·
Εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν,
Θαρσέων καθίζευ· κἢν θέλῃς, ἀπόβριξον.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ἑαυτοῦ βίβλον. κβ'.

Ἄλλος ὁ Χῖος· ἐγὼ δὲ Θεόκριτος ὃς τάδε γράψα,
Εἷς ἀπὸ τῶν πολλῶν εἰμὶ Συρηκοσίων,
Υἱὸς Πραξαγόραο περικλειτῆς τε Φιλίνης·
Μοῦσαν δ' ὀθνείην οὔποτ' ἐφελκυσάμην.

Carmina quædam hactenus desiderata ad finem Παιδικῶν, sumpta ex Notis If. Casauboni ad Diogenem Laertium.

Ἀλλὰ πέλεξ μ' ὀμνάσθην, ὅτι πέρυσιν ἦσθα νεώτερος,
Χ' ὅτι γηραλέοι πέλομες πρὶν ἀποπτύσαι,
Καὶ ῥυσσοί, νεότατα δ' ἔχην παλινάγρετον
Οὐκ ἔστι· πτέρυγας γὰρ ἐπωμαδίας φορεῖ·
Κἄμμες βαρδύτεροι τὰ ποτήμενα συλλαβεῖν.
Ταῦτα χρὴ νοέοντα πέλην ποτιμώτερον,
Καί μοι τὦραμένῳ συνέραν ἀδόλως σέθεν,
Ὅπως αἴνικα τὰν γένυν ἀνδρείαν ἔχῃς,
Ἀλλάλοισι πελώμεθ' Ἀχιλλήιοι φίλοι.
Αἰ δὲ ταῦτα γε φέρειν ἀνέμοισιν ἐπιτρέπῃς,
Ἐν θυμῷ δὲ λέγῃς, Τί με δαιμόνι' ἐνοχλεῖς;
Νῦν μὲν δὴ κἠπὶ τὰ χρύσεα μᾶλ' ἕνεκεν σέθεν
Βαίην, καὶ φύλακον νεκύων πέδα Κέρβερον.
Τόκα δ', οὐδὲ καλεῦντος ἐπ' αὐλείαις θύραις
Προμόλοιμί κε, παυσάμενος χαλεπῶ πόθω.



© Centre d'Études Supérieures de la Renaissance - Tours

© Centre d'Études Supérieures de la Renaissance - Tours

9246

# ΕΙΔΥΛΛΙΑ

ΜΟΣΧΟΥ Συρακουσίου

καὶ

ΒΙΩΝΟΣ Σμυρναίου.

ΣΙΜΜΙΟΥ Ῥοδίου

Σύριγξ, Πέλεκυς, Ὠόν, Βωμός, Πτερύγιον.

© Centre d'Études Supérieures de la Renaissance - Tours

# MOSCHI IDYLLIA.

## AMOR FVGITIVVS.

### Idyllium I.

Venus Amorem filium altum inclamabat [id est alta voce inclamans, dicebat:]
Si quis in triuiis vagantem vidit Amorem,
Fugitiuus meus est. index munus habebit.
Merces tibi erit suauium Veneris: si vero adduxeris ipsum, [bebis.
Non nudum suauium, sed tu hospes plus etiam ha-
Insunt autem plurima signa puero: inter viginti alios cognoueris ipsum.
Corpore non albus, verum igni similis: oculi ipsius
Acres & flammei: mala mens, dulcia verba:
Nõ.n.idẽ sentit quod loquitur. vox illi dulcis vt mel:
Sed quum irascitur, mens est immitis, fraudulenta:
Nihil veri dicens, dolosus puer, crudeliter ludit.
Pulchre capillatum est illi caput, habet autem proteruam faciem.
Exiguæ quidem illi sunt manus, sed procul iaculatur:
Iaculatur vsque ad Acherõtem, & ad inferni regem.
Corpore quidem nudus: at mens illi tecta est.
Et volucris sicut auis circumuolat nunc ad hos, nunc ad illos,
Viros & mulieres: visceribus autem insidet.
Arcum habet valde exiguum, super arcu vero sagittã:
Exigua illa sagitta, at in cælum vsque fertur.
Et aurea in humeris pharetra: in ea autem sunt
Amarulentæ arundines, quibus sæpe etiã me sauciat.
Omnia sũt crudelia, õia: multo v. magis quę ipsi est

Parua

© Centre d'Études Supérieures de la Renaissance - Tours

# ΜΟΣΧΟΥ ΕΙΔΥΛΛΙΑ.

## ΕΡΩΣ ΔΡΑΠΕΤΗΣ,

### Εἰδύλλιον α΄.

Ἁ Κύπρις τὸν Ἔρωτα τὸν υἱέα μακρὸν ἐβώστρει,
Εἴ τις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα,
Δραπετίδας ἐμός ἐστιν· ὁ μανυτὰς γέρας ἑξεῖ.
Μισθός τοι τὸ φίλαμα τὸ Κύπριδος· ἢν δ᾽ ἀγάγῃς νιν,
Οὐ γυμνὸν τὸ φίλαμα, τὺ δ᾽ ὦ ξένε καὶ πλέον ἑξεῖς.
Ἔστι δ᾽ ὁ παῖς περίσαμος· ἐν εἴκοσι πᾶσι μάθοις νιν.
Χρῶτα μὲν οὐ λευκὸς, πυρὶ δ᾽ εἴκελος· ὄμματα δ᾽ αὐτῷ
Δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες, ἁδὺ λάλημα·
Οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται· ὡς μέλι φωνά.
Ἢν δὲ χολᾷ, νόος ἐστὶν ἀνάμερος. ἠπεροπευτάς,
Οὐδὲν ἀλαθεύων· δόλιον βρέφος, ἄγρια παίσδει.
Εὐπλόκαμον τὸ κάρανον, ἔχει δ᾽ ἰταμὸν τὸ πρόσωπον.
Μικκύλα μὲν τήνω τὰ χερύδρια, μακρὰ δὲ βάλλει·
Βάλλει κ᾽ εἰς Ἀχέροντα καὶ εἰς ἀΐδεω βασιλῆα.
Γυμνὸς μὲν τό γε σῶμα, νόος δέ οἱ ἐμπεπύκασται.
Καὶ πτερόεις ὅσον ὄρνις ἐφίπταται ἄλλοτ᾽ ἐπ᾽ ἄλλους
Ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται.
Τόξον ἔχει μάλα βαιὸν, ὑπὲρ τόξω δὲ βέλεμνον·
Τυτθὸν ἐὸν τὸ βέλεμνον, ἐς αἰθέρα δ᾽ ἄχρι φορεῖται·
Καὶ χρύσεον περὶ νῶτα φαρέτριον, ἔνδοθι δ᾽ ἐντὶ
Τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἠμὲ τιτρώσκει.
Πάντα μὲν ἄγρια, πάντα· πολὺ πλέον δέ οἱ αὐτῷ

Βαιὰ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Βαιὰ λαμπὰς ἐοῖσα τὸν ἅλιον αὐτὸν ἀναίθει.
Ἢν τύ γ᾽ ἕλῃς τῆνον, δάσας ἄγε, μηδ᾽ ἐλεήσῃς.
Κἢν ποτ᾽ ἴδῃς κλαίοντα, φυλάσσεο μή σε πλανήσῃ·
Κἢν γελάᾳ, τύ νιν ἕλκε. καὶ ἢν ἐθέλῃ σε φιλᾶσαι,
Φεῦγε· κακὸν τὸ φίλαμα, τὰ χείλεα φάρμακον ἐντί.
Ἢν δὲ λέγῃ, Λάβε ταῦτα, χαρίζομαι ὅσα μοι ὅπλα,
Μή τι θίγῃς· πλάνα δῶρα· τὰ γὰρ πυρὶ πάντα βέβαπται.

---

## ΕΥΡΩΠΗ, Εἰδύλλιον β′.

Εὐρώπῃ ποτὲ Κύπρις ἐπὶ γλυκὺν ἧκεν ὄνειρον,
Νυκτὸς ὅτε τρίτατον λάχος ἵσταται, ἐγγύθι δ᾽ ἠώς·
Ὕπνος ὅτε γλυκίων μέλιτος βλεφάροισιν ἐφίζων,
Λυσιμελὴς, πεδάᾳ μαλακῷ κατὰ φάεα δεσμῷ·
Εὖτε καὶ ἀτρεκέων ποιμαίνεται ἔθνος ὀνείρων.
Τῆμος ὑπωροφίοισιν ἐνικνώσσουσα δόμοισι
Φοίνικος θυγάτηρ, ἔτι παρθένος Εὐρώπεια,
Ὠίσατ᾽ ἠπείρους δοιὰς περὶ εἷο μάχεσθαι,
Ἀσιάδ᾽ ἀντιπέρην τε. φυὴν δ᾽ ἔχον οἷα γυναῖκες.
Τῶν δ᾽ ἡ μὲν ξείνης μορφὴν ἔχεν· ἡ δ᾽ ἄρ᾽ ἐῴκει
Ἐνδαπίῃ, καὶ μᾶλλον ἑῆς περιίσχετο κούρης·
Φάσκεν δ᾽ ὥς μιν ἔτικτε καὶ ὡς ἀτίτηλέ μιν αὐτή.
Ἡ δ᾽ ἑτέρη, κρατερῇσι βιαζομένα παλάμῃσιν,
Εἴρυεν οὐκ ἀέκουσαν· ἐπεὶ φάτο μόρσιμον εἶναι
Ἐκ Διὸς αἰγιόχου γέρας ἔμμεναι Εὐρώπειαν.
Ἡ δ᾽ ἀπὸ μὲν στρωτῶν λεχέων θόρε δειμαίνουσα,
Παλλομένη κραδίην· τὸ γὰρ ὡς ὕπαρ εἶδεν ὄνειρον.

Ἑζο-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Parua fax ſolem ipſum perurit.
Si tu ceperis illum, vinctum duc, neque miſerearis.
Et ſiquando flentem videris, caue ne te fallat: [lari,
Etiãſi riſerit, tu attrahe ipſum: atq; ſi voluerit te oſcu-
Fuge: malum eſt oſculum, ipſa labra ſunt venenum.
Si veró dixerit, Cape hæc, dono tibi quæcunque mihi ſunt arma;
Ne quicquam attigeris: fallacia dona ſunt: igne enim omnia tincta ſunt.

---

## EVROPA, IDYLLIVM II.

Europæ olim Venus ſuaue ſomnium immiſit,
Quum tertia pars noctis [id eſt gallicinium] ſtat, & aurora prope [eſt,]
Quum ſomnus melle dulcior in palpebris ſedens,
Membra reſoluens, oculos molli vinculo ligat,
Quum & veracium paſcitur turba ſomniorum.
Tunc illa dormiens in ædibus quæ ſub tecto ſunt [id eſt in parte ędium ſuperiore]
Phœnicis filia adhuc virgo Europa, [dentes,
Videbatur ſibi videre cõtinentes duas de ſe conten-
Aſianam, & alteram oppoſitam: indolem autem habebant vt mulieres. [milis erat
Harũ autẽ altera peregrinæ formã habebat, altera ſi-
Indigenæ, & [vt] filiam ſuam magis vindicabat:
Dicebat vero quod eã genuiſſet & enutriuiſſet ipſa.
Verum altera validis contendens manibus,
Trahebat non inuitam: quoniam fatale eſſe dicebat
A Ioue Ægiocho vt præmium [ſibi] eſſet Europa.
Illa vero e ſtrato exiliit toro, metu perculſa,
Palpitans corde. nam ſomnium viderat tanquam rem euidentem.

Dia

© Centre d'Études Supérieures de la Renaissance - Tours

Diu autem taciturna ſedebat: ambas enim
Adhuc in oculis apertis habebat mulieres.
Verum poſtea valde ſero extulit virgo vocem;
Quis mihi ex ſuperis hæc ſpectra obtulit?
Qualia me ſuper ſtratum torum in thalamis
Suauiter admodũ dormientẽ perterruerunt ſomnia?
Quæ vero fuit hoſpita quam aſpexi dormiens?
Quam mihi perculit cor illius amor! quam me & ipſa
Amanter ſuſcepit, & tanquam ſuam aſpexit filiam!
Sed mihi dii bene vertant ſomnium.
Sic loquuta, ſurrexit, & caras quæſiuit ſodales
Æquales, coæuas, animo caras, nobiles,
Quibuſcum ſemper ludebat, choream quum iniret,
Vel corpus quum ablueret ad oſtia Anauri,
Aut quando e prato odorata lilia tonderet [id eſt carperet.]
Atque illæ ſtatim ei comparuerunt. quælibet autem manu tenebat
Flores recipientem calathum: & in prata exibant
Maritima, vbi ſemper vna congregari ſolebant,
Oblectantes ſe roſarum germine, & vndarũ ſtrepitu.
Ipſa vero aureum ferebat calathum Europa,
Spectabilem, valde mirãdum, magnũ opus Vulcani;
Quem Libyæ dederat dono, quãdo in torũ Neptuni
Iuit. illa vero præbuit formoſæ Telephaeſſę,
Quæ ex illius ſanguine erat: innuptæ vero Europæ
Mater Telephaeſſa eximium præbuit donum.
In eo artificioſa multa fabrefacta erant reſplendentia.
Inerat ex auro facta Inachi filia Io,
Adhuc vitula exiſtens, indolem autem non habebat mulieris:



© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἑζομένη δ' ἐπὶ θρόνον ἀκὴν ἔχεν, ἀμφοτέρας δὲ
Εἰσέτι πεπταμένοισιν ἐν ὄμμασιν εἶχε γυναῖκας.
Ὀψὲ δὲ δὴ μάλ' ἔπειτ' ἀνενείκατο παρθένος αὐδήν,
Τίς μοι τοιάδε φάσματ' ἐπουρανίων προΐηλε;
Ποῖοί με στρωτῶν λεχέων ὕπερ ἐν θαλάμοισιν
Ἡδὺ μάλα κνώσσουσαν ἀνεπτοίησαν ὄνειροι;
Τίς δ' ἦν ἡ ξείνη ἣν εἴσιδον ὑπνώουσα;
Ὥς μ' ἔβαλε κραδίην κείνης πόθος· ὥς με καὶ αὐτὴ
Ἀσπασίως ὑπέδεκτο, καὶ ὡς σφετέρην ἴδε παῖδα.
Ἀλλά μοι εἰς ἀγαθὸν μάκαρες κρίνειαν ὄνειρον.
Ὣς εἰποῦσ', ἀνόρουσε· φίλας δ' ἐπεδίζεθ' ἑταίρας
Ἥλικας, οἰέτεας, θυμήρεας, εὐπατερείας·
Τῇσιν ἀεὶ συνάθυρεν, ὅτ' ἐς χορὸν ἐντύναιτο,
Ἢ ὅτε φαιδρύνοιτο χρόα προχοαῖσιν Ἀναύρω,
Ἢ ὁπότ' ἐκ λειμῶνος εὔπνοα λείρια κέρσοι.
Ταὶ δέ οἱ αἶψα φάανθεν· ἔχον δ' ἐν χερσὶν ἑκάστη
Ἀνθοδόκον τάλαρον· ποτὶ δὲ λειμῶνας ἔβαινον
Ἀγχιάλους, ὅθι τ' αἰὲν ὁμιλαδὸν ἠγερέθοντο,
Τερπόμεναι ῥοδέῃ τε φυῇ καὶ κύματος ἠχῇ.
Αὐτὴ δὲ χρύσεον τάλαρον φέρεν Εὐρώπεια
Θηητὸν, μέγα θαῦμα, μέγαν πόνον Ἡφαίστοιο·
Ὃν Λιβύῃ πόρε δῶρον, ὅτ' ἐς λέχος Ἐννοσιγαίου
Ἤιεν· ἣ δὲ πόρεν περικαλλέι Τηλεφαέσσῃ,
Ἥτε οἱ αἵματος ἔσκεν· ἀνύμφῳ δ' Εὐρωπείῃ
Μήτηρ Τηλεφάεσσα περικλυτὸν ὤπασε δῶρον·
Ἐν τῷ δαίδαλα πολλὰ τετεύχατο μαρμαίροντα.
Ἐν μὲν ἔην χρυσοῖο τετυγμένη Ἰναχὶς Ἰώ,
Εἰσέτι πόρτις ἐοῦσα, φυὴν δ' οὐκ εἶχε γυναικός·

Φοιτα-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Φοιταλέη δὲ πόδεσσιν ἐφ' ἁλμυρὰ βαῖνε κέλευθα,
Νηχομένῃ ἰκέλη· κυανῇ δ' ἐτέτυκτο θάλασσα.
Δοιοὶ δ' ἕστασαν ὑψοῦ ἐπ' ὀφρύος αἰγιαλοῖο
Φῶτες ἀολλήδην· θηεῦντο δὲ ποντοπόρον βοῦν.
Ἐν δ' ἦν Ζεὺς, ἐπαφώμενος ἠρέμα χειρὶ θεείῃ
Πόρτιος εἰναλίης, τὴν ἑπταπόρῳ παρὰ Νείλῳ
Ἐκ βοὸς εὐκεράοιο πάλιν μετάμειβε γυναῖκα.
Ἀργύρεος μὲν ἔην Νείλου ῥόος· ἡ δ' ἄρα πόρτις,
Χαλκείη· χρυσοῦ δὲ τετυγμένος αὐτὸς ἔην Ζεύς.
Ἀμφὶ δὲ δινήεντος ὑπὸ στεφάνην ταλάροιο
Ἑρμείης ἤσκητο· πέλας δέ οἱ ἐκτετάνυστο
Ἄργος, ἀκοιμήτοισι κεκασμένος ὀφθαλμοῖσι.
Τοῖο δὲ φοινήεντος ἀφ' αἵματος ἐξανέτελλεν
Ὄρνις ἀγαλλόμενος πτερύγων πολυανθέϊ χροιῇ·
Ταρσὸν ἀναπλώσας, ὡσεί τέ τις ὠκύαλος νηῦς,
Χρυσείου ταλάροιο περίσκεπε χείλεα ταρσοῖς.
Τοῖος ἔην τάλαρος περικαλλέος Εὐρωπείης.

Αἱ δ', ἐπεὶ οὖν λειμῶνας ἐσήλυθον ἀνθεμόεντας,
Ἄλλαι ἐπ' ἀλλοίοισι τότ' ἄνθεσι θυμὸν ἔτερπον·
Τῶν ἡ μὲν νάρκισσον ἐΰπνοον, ἡ δ' ὑάκινθον,
Ἡ δ' ἴον, ἡ δ' ἕρπυλλον ἀπαίνυτο· πολλὰ δ' ἔραζε
Λειμώνων ἐαροτρεφέων πίπλεσκε πέτηλα.
Αἱ δ' αὖτε ξανθοῖο κρόκου θυόεσσαν ἔθειρην
Δρέπτον ἐριδμαίνουσαι· ἀτὰρ μέση ἔστη ἄνασσα,
Ἀγλαΐην πυρσοῖο ῥόδου χείρεσσι λέγουσα,
Οἷάπερ ἐν Χαρίτεσσι διέπρεπεν Ἀφρογένεια.
Οὐ μὲν δηρὸν ἔμελλεν ἐπ' ἄνθεσι θυμὸν ἰαίνειν,
Οὐδ' ἄρα παρθενίην μίτρην ἄχραντον ἔρυσθαι.

Ἡ γὰρ

© Centre d'Études Supérieures de la Renaissance - Tours

OEstro autem percita pedibus per mare ambulabat,
Natanti similis. mare at cæruleo colore factum erat.
Duo vero stabant superne in supercilio litoris
Viri simul: spectabant autem pontigradum bouem.
Aderat & Iupiter, demulcens placide manu diuina
Vitulam marinam: quam apud Nilum septem ostia habentem
Ex boue pulchre cornuta rursum transformauit in mulierem.
Argentea erant Nili fluenta: ipsa vero vitula
Ærea: ex auro vero factus erat ipse Iupiter.
Circum vero, sub corona calathi rotundi,
Mercurius fabrefactus erat: propeq; eum extensus erat
Argus, peruigilibus instructus oculis.
Huius autem ex purpureo sanguine nascebatur
Auis, exultans pennarum multiflorido colore:
Caudæ pennas explicans, sicut aliqua velox nauis [vela pandit,]
Aurei calathi extremum orbem pennis tegebat.
Talis erat calathus formosissimæ Europæ.
Illę vero postquam ad prata peruenerunt florida,
Aliæ aliis animum tunc oblectabant floribus.
Ex eis, hæc odoratum narcissum, illa hyacinthum.
Illa violam, illa vero serpyllum decerpebat multaque in terram
Pratorum vernorum cadebant folia.
Aliæ porro flaui croci odoratam comam
Decerpebant certantes: verũ in medio stabat ipsa regina,
Splendorem purpureæ rosæ manibus colligens,
[Et] excellebat sicut inter Gratias Venus.
Neque diu animum floribus oblectatura erat,
Nec virginalem zonam impollutam conseruatura.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Nam certe Iupiter, vt ipsam cõsiderauit, quam ictus est
In animo, inopinatis domitus sagittis
Veneris! quæ sola potest etiam Iouem domare.
Etenim vt vitaret iram zelotypæ Iunonis,
Quum vellet teneram puellæ mentem fallere,
Occuluit deum, & mutauit corpus, & factus est taurus;
Non qualis in stabulis nutritur, neque qualis
Sulcum secat, trahens curuum aratrum:
Neque qualis inter arměta pascitur, neq; qualis ille
Qui domitus valde onustum trahit plaustrum.
Eius reliquum quidem corpus flauum erat,
Circulus autem candidus in media splẽdebat fronte,
Oculi vero subglauci erant, amore coruscantes:
Æqualia vero inter se cornua e capite emergebant,
Sicut orbes lunæ cornutæ, dimidiati ambitus.
Venit autem in prata: nec exterruit, quum visus est,
Virgines; sed omnibus libebat accedere propius,
Et cõtrectare amabilem bouem, cuius diuinus odor
Procul etiam prati superabat dulcem halitum.
Stetit autem ante pedes inculpatæ Europæ,
Et illi lambebat collum, demulcebatque puellam.
Illa vero contrectabat eum, & placide manibus spumam
Multam ab ore abstergebat, & osculabatur taurum.
At ille placide mugiit: diceres tibiam
Mygdoniam stridulum sonum edentem [te] audire.
Flexit autem genua ante pedes: atque intuebatur Europam
Ceruice retorta, & illi latum ostendit dorsum.
Illa vero valde capillatis dixit virginibus,

Huc

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἡ γὰρ δὴ Κρονίδης, ὥς μιν φράσαθ', ὡς ἐβέβλητο
Θυμὸν, ἀνωΐστοισιν ὑποδμηθεὶς βελέεσσι
Κύπριδος, ἣ μούνη δύναται καὶ Ζῆνα δαμάσσαι.
Δὴ γὰρ ἀλευόμενός τε χόλον ζηλήμονος Ἥρης,
Παρθενικῆς τ' ἐθέλων ἀταλὸν νόον ἐξαπατῆσαι,
Κρύψε θεὸν, καὶ τρέψε δέμας, καὶ γίγνετο ταῦρος,
Οὐχ οἷος σταθμοῖς ἐνιφέρβεται, οὐδὲ μὲν οἷος
Ὦλκα διατμήσσει, σύρων εὐκαμπὲς ἄροτρον·
Οὐδ' οἷος ποίμνης ἐπιβόσκεται, οὐδὲ μὲν οἷος
Ὅστις ὑποδμηθεὶς ἐρύει πολύφορτον ἀπήνην.
Τοῦ δ' ἤτοι τὸ μὲν ἄλλο δέμας ξανθόχροον ἔσκεν,
Κύκλος δ' ἀργύφεος μέσσῳ μαρμαιρε μετώπῳ,
Ὄσσε δ' ὑπογλαύκεσκε δ' ἵμερον ἀστράπτοντε·
Ἶσά τ' ἐπ' ἀλλήλοισι κέρα ἀνέτελλε καρήνου,
Ἄντυγος ἡμιτόμου κεραῆς ἅτε κύκλα σελήνης.
Ἤλυθε δ' ἐς λειμῶνα· καὶ οὐκ ἐφόβησε φαανθεὶς
Παρθενικάς, πάσῃσι δ' ἔρως γένετ' ἐγγὺς ἱκέσθαι,
Ψαῦσαί θ' ἱμερτοῖο βοὸς, τοῦ ἄμβροτος ὀδμὴ
Τηλόθι καὶ λειμῶνος ἐκαίνυτο λαρὸν ἀϋτμήν.
Στῆ δὲ ποδῶν προπάροιθεν ἀμύμονος Εὐρωπείης,
Καί οἱ λιχμάζεσκε δέρην, κατέθελγε δὲ κούρην·
Ἡ δέ μιν ἀμφαφάασκε, καὶ ἠρέμα χείρεσιν ἀφρὸν
Πολλὸν ἀπὸ στομάτων ἀπομόργνυτο, καὶ κύε ταῦρον.
Αὐτὰρ ὁ μειλίχιον μυκάσατο· φαίης κ' αὐλοῦ
Μυγδονίου λιγὺν ἦχον ἀνηπύοντος ἀκούειν.
Ὤκλασε δὲ πρὸ ποδοῖιν· ἐδέρκετο δ' Εὐρώπειαν,
Αὐχέν' ἐπιστρέψας, καί οἱ πλατὺ δείκνυε νῶτον.
Ἡ δὲ, βαθυπλοκάμοισι μετέννεπε παρθενικῇσι,



© Centre d'Études Supérieures de la Renaissance - Tours

Δεῦθ' ἑταῖραι φίλιαι καὶ ὁμήλικες, ὄφρ' ἐπὶ τῷδε
Ἑζόμεναι ταύρῳ τερπώμεθα. δὴ γὰρ ἁπάσας,
Νῶτον ὑποστορέσας, ἀναδέξεται, οἷά τε νηῦς.
Πρηΰς δ' εἰσιδέειν καὶ μείλιχος, οὐδέ τι ταύροις
Ἄλλοισι προσέοικε· νόος δέ οἱ ἠΰτε φωτὸς
Αἴσιμος ἀμφιθέει, μούνης δ' ἐπιδεύεται αὐδῆς.
Ὣς φαμένη, νώτοισιν ἐφίζανε μειδιόωσα·
Αἱ δ' ἄλλαι μέλλεσκον. ἄφαρ δ' ἀνεπήλατο ταῦρος,
Ἣν θέλεν ἁρπάξας· ὠκὺς δ' ἐπὶ πόντον ἵκανεν.
Ἡ δὲ μεταστρεφθεῖσα φίλας καλέεσκεν ἑταίρας,
Χεῖρας ὀρεγνυμένη· ταὶ δ' οὐκ ἐδύναντο κιχάνειν.
Ἀκτάων δ' ἐπιβὰς πρόσω θέεν, ἠΰτε δελφίς.
Νηρεΐδες δ' ἀνέδυσαν ὑπ' ἐξ ἁλός, αἱ δ' ἄρα πᾶσαι
Κητείοις νώτοισιν ἐφήμεναι ἐστιχόωντο.
Καὶ δ' αὐτὸς βαρύδουπος ὑπεὶρ ἁλὸς Ἐννοσίγαιος,
Κῦμα κατιθύνων, ἁλίης ἡγεῖτο κελεύθου
Αὐτοκασιγνήτῳ· τοὶ δ' ἀμφί μιν ἠγερέθοντο
Τρίτωνες, πόντοιο βαθύρροοι ναετῆρες,
Κόχλοισιν ταναοῖς γάμιον μέλος ἠπύοντες.
Ἡ δ' ἄρ' ἐφεζομένη Ζηνὸς βοέοις ἐπὶ νώτοις,
Τῇ μὲν ἔχεν ταύρου δολιχὸν κέρας, ἐν χερὶ δ' ἄλλῃ
Εἴρυε πορφυρέας κόλπου πτύχας· ὄφρά κεν ὤμω
Δεύοι ἐφελκομένην πολιῆς ἁλὸς ἄσπετον ὕδωρ.
Κολπώθη δ' ὤμοισι πέπλος βαθὺς Εὐρωπείης,
Ἱστίον οἷά τε νηός, ἐλαφρίζεσκε δὲ κούρην.
Ἡ δ' ὅτε δὴ γαίης ἀπὸ πατρίδος ἦεν ἄνευθεν,
Φαίνετο δ' οὔτ' ἀκτή τις ἁλίρροος, οὔτ' ὄρος αἰπὺ,
Ἀλλ' ἀὴρ μὲν ὕπερθεν, ἔνερθε δὲ πόντος ἀπείρων,

Ἀμφί

© Centre d'Études Supérieures de la Renaissance - Tours

Huc adeste sodales caræ atque æquales, vt in hoc
Cõsidẽtes tauro nos oblectemus. certe enim omnes,
Dorsum vbi substrauerit, recipiet, veluti nauis.
Mansuetus hic aspectu est, & blandus: neque tauris
Aliis similis. mens enim ei tanquam viro
Benigna versatur, & sola indiget voce.
Sic locuta, tergo insidebat ridens.
Ceteræ v. ascẽsuræ erant. Statim autem exiliit taurus,
Quum eam quam volebat rapuisset: ac celeriter ad mare peruenit,
Ipsa autem conuersa caras vocabat sodales,
Manus porrigens: at illæ non poterant eam assequi.
Ex litore v. mare ingressus, longe procurrit vt delphin.
Nereides autẽ e mari emerserũt, atq; omnes
Cetorum tergis insidentes ordine ibant.
Et ipse grauisonus Neptunus supra mare
Fluctus complanans, marini dux erat itineris
Germano fratri: atque circa ipsum congregabantur
Tritones, profundi maris incolæ,
Longis conchis nuptiale carmen sonantes.
Illa vero sedens in bubulo tergo Iouis,
Altera quidem [manu] tenebat longum tauri cornu, manu vero altera
Trahebat purpureæ vestis sinus, [eousq;] quousque fimbriam
Commadefaceret attractã cani maris copiosa vnda.
Sinuabatur autem in humeris vestis ampla Europæ,
Ceu velum nauis, atque alleuabat puellam.
At illa, quum iam terra a patria esset procul;
Conspiceretur que] nec litus vllum quod a mari alluitur, nec [vllus] mons altus,
Verum supra cælum, & infra immensum mare,



© Centre d'Études Supérieures de la Renaissance - Tours

Circum se ſpectans, talem extulit vocem,
Quo me vehis diuine taure? quis es? quomodo autem hanc viam
Grauibus pedibus conficis, neque mare
Reformidas? nauibus enim peruium eſt mare
Velocibus, at tauri marinum iter reformidant.
Qualis tibi potus dulcis? quis e mari cibus erit?
Num deus aliquis es? cur quæ deos non decent facis?
Neque marini delphines in terra, neque tauri
In mari ambulant: tu vero per terram & mare
Immadefactus ruis: vngulæ autem tibi ſunt remi.
Forte etiam in cæruleum aerem alte ſublatus
Volabis, velocibus ſimilis volucribus.
Hei mihi multum infelici, quæ quidem domo
Patris relicta, & hunc bouem ſecuta,
Peregrinam nauigationem conficio, & erro ſola.
Sed tu mihi Neptune qui cano in mari regnum tenes,
Propitius occurras. ſpero me viſuram eſſe
Hunc qui curſum dirigit, ducem meum.
Non enim ſine deo per has humidas tranſeo vias.
Sic ait. Hanc vero ſic alloquutus eſt laticornis bos,
Bono animo eſto virgo, ne time marinos fluctus.
Ipſe enim ſum Iupiter, & e propinquo videor eſſe
Taurus. nam apparere poſſum quicquid velim.
Amor autem tui impulit me tam longum mare emetiri,
Tauro aſſimilatum. iamque te Creta recipiet,
Quæ meipſum quoque enutriuit; vbi nuptiæ tuæ
Erunt. ex me autem inclytos paries filios,
Qui reges ſceptrigeri inter omnes homines erunt.
Sic

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἀμφί ἑ παπτήνασα, τοίην ἀνενείκατο φωνήν,
Πῇ με φέρεις θεόταυρε; τίς ἔπλεο; πῶς δὲ κέλευθον
Ἀργαλέοισι πόδεσσι διέρχεαι, οὐδὲ θάλασσαν
Δειμαίνεις; νηυσὶν γὰρ ἐπίδρομός ἐστι θάλασσα
Ὠκυάλοις, ταῦροι δ' ἁλίην τρομέουσιν ἀταρπόν.
Ποῖόν σοι ποτὸν ἡδύ; τίς ἐξ ἁλὸς ἔσσετ' ἐδωδή;
Ἦ ῥά τις ἐστὶ θεός; τί θεοῖς ἀπεοικότα ῥέζεις;
Οὔθ' ἅλιοι δελφῖνες ἐπὶ χθονός, οὔτέ τι ταῦροι
Ἐν πόντῳ στείχουσι· σὺ δὲ χθόνα καὶ κατὰ πόντον
Ἄβροχος ἀίσσεις, χηλαὶ δέ τοι εἰσὶν ἐρετμά.
Ἦ τάχα καὶ γλαυκῆς ὑπὲρ ἠέρος ὑψόσ' ἀερθεὶς,
Ἴκελος αἰψηροῖσι ποτήσεαι οἰωνοῖσιν.
Οἴμοι, ἐγὼ μέγα δή τι δυσάμμορος, ἥ ῥά τε δῶμα
Πατρὸς ἀποπρολιποῦσα, καὶ ἑσπομένη βοῒ τῷδε,
Ξείνην ναυτιλίην ἐφέπω, καὶ πλάζομαι οἴη.
Ἀλλὰ σύ μοι μεδέων πολιῆς ἁλὸς Ἐννοσίγαιε
Ἵλαος ἀντιάσαις· ἐέλπομαι εἰσοράασθαι
Τόνδε καθιθύνοντα πλόον προκέλευθον ἐμεῖο.
Οὐκ ἀθεεὶ γὰρ ταῦτα διέρχομαι ὑγρὰ κέλευθα.
Ὣς φάτο. τὴν δ' ὧδε προσεφώνεεν εὐρύκερως βοῦς,
Θάρσει παρθενικὴ μὴ δείδιθι πόντιον οἶδμα·
Αὐτός τοι Ζεύς εἰμι, καὶ ἐγγύθεν εἴδομαι εἶναι
Ταῦρος· ἐπεὶ δύναμαί γε φανήμεναι ὅττι θέλοιμι.
Σὸς δὲ πόθος μ' ἀνέηκε τόσην ἅλα μετρήσασθαι
Ταῦρον ἐειδόμενον· Κρήτη δέ σε δέξεται ἤδη,
Ἥ μ' ἔθρεψε καὶ αὐτόν· ὅπῃ νυμφήια σεῖο
Ἔσσεται. ἐξ ἐμέθεν δὲ κλυτοὺς μάλα φύσεαι υἷας,
Οἳ σκηπτοῦχοι ἅπασιν ἐπιχθονίοισιν ἔσονται.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Ὣς φάτο· καὶ τετέλεστο τάπερ φάτο· φαίνετο μὲν δὴ
Κρήτη, Ζεὺς δὲ πάλιν ἑτέρην ἀνελάζετο μορφήν·
Λῦσε δέ οἱ μίτρην, καί οἱ λέχος ἔντυνον Ὧραι.
Ἡ δὲ πάρος κούρη, Ζηνὸς γένετ' αὐτίκα νύμφη,
Καὶ Κρονίδῃ τέκνα τίκτε, καὶ αὐτίκα γίνετο μήτηρ.

---

## ΕΠΙΤΑΦΙΟΣ ΒΙΩΝΟΣ, βουκόλου ἐρωτικοῦ,

### Εἰδύλλιον γ'.

Αἴλινά μοι στοναχεῖτε νάπαι, καὶ Δώριον ὕδωρ·
Καὶ ποταμοὶ κλαίοιτε τὸν ἱμερόεντα Βίωνα.
Νῦν φυτά μοι μύρεσθε, καὶ ἄλσεα νῦν γοάοισθε·
Ἄνθεα νῦν στυγνοῖσιν ἀποπνείοιτε κορύμβοις·
Νῦν ῥόδα φοινίσσεσθε τὰ πένθιμα, νῦν ἀνεμώνα·
Νῦν ὑάκινθε λάλει τὰ σὰ γράμματα, καὶ πλέον αἶ αἶ
Λάμβανε σοῖς πετάλοισι· καλὸς τέθνηκε μελικτάς.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Ἀδόνες αἱ πυκινοῖσιν ὀδυρόμεναι ποτὶ φύλλοις,
Νάμασι τοῖς Σικελοῖς ἀγγείλατε τῆς Ἀρεθούσης,
Ὅττι Βίων τέθνηκεν ὁ βωκόλος, ὅττι σὺν αὐτῷ
Καὶ τὸ μέλος τέθνακε, καὶ ὤλετο Δωρὶς ἀοιδά.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Στρυμόνιοι μύρεσθε παρ' ὕδασιν αἴλινα κύκνοι,
Καὶ γοεροῖς στομάτεσσι μελίσδετε πένθιμον ᾠδάν,
Οἵαν ὑμετέροις ποτὲ χείλεσι γῆρυν ἄειδεν.
Εἴπατε δ' αὖ κούραις Οἰαγρίσιν, εἴπατε πάσαις
Βιστονίαις νύμφαισιν, Ἀπώλετο Δώριος Ὀρφεύς.

Ἄρχε-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Sic dixit:& facta sunt quæ dixerat. apparebat enim
Creta,& Iupiter rursus aliam assumebat formam,
Soluitque ei zonam:& illi lectum parabant Horæ.
Illa vero antea virgo,mox sponsa Iouis facta est:
Et Ioui filios peperit,statimque facta est mater.

## EPITAPHIVM BIONIS, BVBVLCI AMATORIS,

### Idyllium III.

Cum lamentatione miserabili mihi ingemiscite
saltus & Dorica vnda:
Et fluuii deflete amabilem Bionem.
Nunc plantæ mihi lugete, & nemora nunc plorate
Nunc flores tristibus odorem emittite corymbis:
Nunc Rosæ rubete lugubriter,nunc Anemone:
Nunc Hyacinthe literas tuas loquere & amplius [so-
liro ]Hei hei
Accipe tuis foliis:præclarus mortuus est cantor.
Incipite Siculæ luctum,incipite Musæ.
Lusciniæ quæ densis lugetis in foliis,
Nuntiate Siculis vndis Arethusæ,
Quod pastor Bion mortuus est,quodq; vna cum ipso
Et carmen interiit,periitque Dorica Musa.
Incipite Siculæ luctum,incipite Musæ.
Strymonii cycni miserabiliter lugete apud vndas,
Et gemebundo ore canite lugubre carmen,
Quali voce Bion in vestris labris cecinit.
Dicite autem puellis OEagriis,dicite omnibus
Bystoniis nymphis,Periit Doricus Orpheus.
Incipite

© Centre d'Études Supérieures de la Renaissance - Tours

Incipite Siculæ luctum, incipite Musæ.
Ille armentis carus non amplius canit,
Non amplius solitariis sub quercubus recubãs cãtat:
Verum apud Plutonem carmen Lethæum canit.
Montes vero sunt muti, & vaccæ quæ apud tauros
Vagantur, plorant, & non volunt pasci.
Incipite Siculæ luctum, incipite Musæ.
Tuum ô Bion defleuit subitum interitũ ipse Apollo,
Et Satyri lugebãt, atque atris vestibus induti Priapi:
Et Panes cum gemitu requirunt tuum carmen: & per siluam
Fontium Nymphæ plorant, & ex vndis factæ sunt lacrymæ.
Echo vero in rupibus luget, quod taceat,
Neq; amplius labra tua imitetur. in tuo autẽ interitu
Arbores fructus suos abiecerũt, & flores omnes marcidi facti sunt:
Ouibus non fluxit pulchrũ lac, nõ mel ex aluearibus:
Periit in cera, dolore tabefactum. non enim opus est,
Melle tuo extincto, aliud carpere.
Incipite Siculæ luctum, incipite Musæ.
Non adeo in litore marino delphin luxit,
Neque adeo cecinit vnquam in rupibus luscinia,
Nec tanto cum luctu questa est altis in montibus hirundo:
Neq; Halcyonis mœroribus adeo premebatur Ceyx.
Incipite Siculæ luctum, incipite Musæ.
Nec Cerylus adeo cecinit in mari cæruleo,
Nec in vallibus orientis filium Auroræ
Volitans circum sepulcrum adeo deplorauit Memnonis ales,
Quantum extinctum deplorauerunt Bionem.
Incipite Siculæ luctum, incipite Musæ.

Lusciniæ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Κεῖνος ὁ ταῖς ἀγέλαισιν ἐράσμιος οὐκέτι μέλπει,
Οὐκέτ' ἐρημαίῃσιν ὑπὸ δρυσὶν ἥμενος ᾄδει·
Ἀλλὰ παρὰ Πλουτῆι μέλος ληθαῖον ἀείδει.
Ὤρεα δ' ἐστὶν ἄφωνα, καὶ αἱ βόες αἱ ποτὶ ταύροις
Πλαζόμεναι γοάοντι, καὶ οὐκ ἐθέλοντι νέμεσθαι.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Σεῖο Βίων ἔκλαυσε ταχινὸν μόρον αὐτὸς Ἀπόλλων,
Καὶ Σάτυροι μύροντο, μελάγχλαινοί τε Πρίηποι·
Καὶ Πᾶνες στοναχεῦντι τὸ σὸν μέλος· αἵ τε καθ' ὕλαν
Κρανίδες ὠδύραντο, καὶ ὕδατα δάκρυα γένοντο.
Ἀχὼ δ' ἐν πέτρῃσιν ὀδύρεται, ὅττι σιωπῇ,
Κοὐκέτι μιμεῖται τὰ σὰ χείλεα. σῷ δ' ἐπ' ὀλέθρῳ
Δένδρεα καρπὸν ἔριψε, τὰ δ' ἄνθεα πάντ' ἐμαράνθη.
Μάλων οὐκ ἔρρευσε καλὸν γλάγος, οὐ μέλι σίμβλων·
Κάτθανεν ἐν κηρῷ, λυπεύμενον. οὐκέτι γὰρ δεῖ
Τῶ μέλιτος τῶ σῶ τεθνακότος ἄλλο τρυγᾶσθαι.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Οὐ τόσον εἰναλίαισι παρ' ᾐόσι μύρατο δελφίν,
Οὐδὲ τόσον ποκ' ἄεισεν ἐνὶ σκοπέλοισιν ἀηδών,
Οὐδὲ τόσον θρήνησεν ἀν' ὤρεα μακρὰ χελιδών·
Ἀλκυόνος δ' οὐ τόσσον ἐπ' ἄλγεσιν ἴαχε Κήϋξ.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Οὐδὲ τόσον γλαυκοῖς ἐνὶ κύμασι Κηρύλος ᾆδεν,
Οὐ τόσον ἠώοισιν ἐν ἄγκεσι παῖδα τὸν Ἀοῦς,
Ἱπτάμενος περὶ σῆμα κινύρατο Μέμνονος ὄρνις,
Ὅσσον ἀποφθιμένοιο κατωδύραντο Βίωνος.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.

Ἀδονί-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἀδονίδες, πᾶσαί τε χελιδόνες, ἅς ποκ' ἔτερπεν,
Ἃς λαλέειν ἐδίδασκε, καθεζόμεναι δ' ἐπὶ πρέμνοις,
Ἀντίον ἀλλήλαισιν ἐκώκυον· αἱ δ' ὑπεφώνευν
Ὄρνιθες. λυπεῖσθε πελειάδες ἀλλὰ καὶ ὑμεῖς.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Τίς ποτὶ σᾷ σύριγγι μελίσδεται ὦ τριπόθατε;
Τίς δ' ἐπὶ σοῖς καλάμοις θήσει στόμα; τίς θρασὺς οὕτως;
Εἰσέτι γὰρ πνείει τὰ σὰ χείλεα καὶ τὸ σὸν ἆσθμα.
Ἀχὼ δ' ἐν δονάκεσσι τεᾶς ἐπιβόσκετ' ἀοιδᾶς.
Πανὶ φέρω τὸ μέλισμα· τάχ' ἂν κἀκεῖνος ἐρεῖσαι
Τὸ στόμα δειμαίνοι, μὴ δεύτερα σεῖο φέρηται.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Κλαίει καὶ Γαλάτεια τὸ σὸν μέλος, ἅν ποκ' ἔτερπες
Ἑζομέναν περὶ σεῖο παρ' ἠϊόνεσσι θαλάσσης.
Οὐ γὰρ ἴσον Κύκλωπι μελίσδεο. τὸν μὲν ἔφευγεν
Ἁ καλὰ Γαλάτεια, σὲ δ' ἅδυ ἀπέβλεπεν ἅλμας.
Καὶ νῦν λασαμένη τῶ κύματος, ἐν ψαμάθοισιν
Ἕζετ' ἐρημαίαισι, βόας δ' ἔτι σεῖο νομεύει.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Πάντα τοι ὦ βοῦτα ξυγκάτθανε δῶρα τὰ Μοισᾶν,
Παρθενικᾶν ἐρόεντα φιλήματα, χείλεα παίδων·
Καὶ στυγνοὶ περὶ σῆμα τεὸν κλαίουσιν Ἔρωτες.
Ἁ Κύπρις φιλέει σε πολὺ πλέον ἢ τὸ φίλαμα
Τὸ πρώαν τὸν Ἄδωνιν ἀποθνάσκοντα φίλασε.
Τοῦτό τοι ὦ ποταμῶν λιγυρώτατε δεύτερον ἄλγος,
Τοῦτο Μέλη νέον ἄλγος· ἀπώλετο πρᾶν τοι Ὅμηρος,
Τῆνο τὸ Καλλιόπας γλυκερὸν στόμα· καὶ σὲ λέγοντι
Μύρεσθαι καλὸν υἷα πολυκλαύστοισι ῥεέθροις·

Πᾶσαν

Lusciniæ, omnesq; hirũdines, quas olim oblectabat,
Quas loqui docebat, residentes in arborum ramis,
Ex aduerso aliæ aliarum lamentabantur, aliæ vero respondebant
Volucres, vos quoque columbæ mærorem ostẽdite.
Incipite Siculæ luctum, incipite Musæ.
Quis iam tua fistula canet ô desideratissime?
Quis calamis tuis os admouebit? quis adeo audax erit?
Nam adhuc spirant tua labra & tuum halitum.
Echo etiam inter arundines tuos decerpit cantus:
Pani fero fistulam tuam: fortasse & ille affigere
Os verebitur, ne post te secundas ferat.
Incipite Siculæ luctum, incipite Musæ.
Deflet & Galatea tuum carmen, quam olim oblectare solebas,
Sedentem apud te in litore maris. [giebat
Non enim sicut Cyclops canebas: nam ab illo refu-
Pulchra Galatea, te vero blande e mari aspiciebat,
Et nunc oblita pelagi, in arenis
Sedet desertis, & adhuc boues tuos pascit.
Incipite Siculæ luctum, incipite Musæ.
Omnia tecum, ô pastor, mortua sunt dona Musarum,
Virginum suauia oscula, & puerorum labra:
Et miserabiliter apud tuũ sepulcrũ plorant Amores.
Venus te amat multo magis quam osculum
Quo nuper Adonidem morientem osculata est.
Hic tibi, ô fluuiorũ maxime canore, alter mæror est:
Hic, o Mele, nouus dolor: interiit enim tibi prius Homerus,
Illud Calliopes dulce os: & te aiunt
Deplorasse pulchrum filium flebilibus vndis,
Totumque

© Centre d'Études Supérieures de la Renaissance - Tours

Totumque repleuiſſe voce tua mare: nunc iterum a-
Filium deploras, & triſti luctu contabeſcis. [lium
Ambo fontibus cari[erant:]alter bibebat
De fonte Pegaſeo, alter habebat poculum de fonte
Arethuſæ.
Et alter Tyndarei formoſam cecinit filiam,
Et magnum Thetidis filium, & Atridam Menelaum:
Alter vero non bella, non lacrymas, verum Pana ca-
nebat, [ſcebat,
Et paſtores ſonabat, & inter canendum pecora pa-
Et fiſtulas fabricabat, & ſuauem vitulam mulgebat,
Et puerorum oſcula docebat, & Amorem
In gremio fouebat, atque Veneri carus erat.
Incipite Siculæ luctum, incipite Muſæ.
O Bion, omnes inclytæ vrbes, omnia oppida te de-
plorant.
Aſcra te deflet multo magis quam Heſiodum:
Neque adeo deſiderant Pindarum Bœoticæ ſiluæ:
Nec propter Alcæum adeo fleuit Leſbus munita,
Nec vatem ſuum adeo fleuit Ceium oppidum.
Te magis quam Archilochum deſiderat Parus: pro-
que Sapphone
Adhuc tuum carmen ſonat Mitylena.

* * * *

Interque Syracuſanos Theocritus. verum ego tibi
Auſonici mæroris carmẽ cano, nõ alienus a cantione
Bucolica, quam docuiſti tuos diſcipulos,
Hæredes Muſæ Doricæ nos eo honore afficiens:
Aliis opes tuas, mihi vero reliquiſti carmen.
Incipite Siculæ luctum, incipite Muſę.
Hei hei, maluę quum in horto interierunt,

Vel

© Centre d'Études Supérieures de la Renaissance - Tours

Πᾶσαν δ' ἔπλησας φωνᾶς ἅλα· νῦν πάλιν ἄλλον
Ὑιέα δακρύεις, καινῷ δ' ἐπὶ πένθει τάκῃ.
Ἀμφότεροι παγαῖς πεφιλαμένοι· ὃς μὲν ἔπινε
Παγασίδος κράνας, ὃ δ' ἔχεν πόμα τᾶς Ἀρεθούσας.
Χὼ μὲν Τυνδαρέοιο καλὰν ἄεισε θύγατρα,
Καὶ Θέτιδος μέγαν υἷα, καὶ Ἀτρείδαν Μενέλαον.
Κεῖνος δ' οὐ πολέμους, οὐ δάκρυα, Πᾶνα δ' ἔμελπε,
Καὶ βώτας ἐλίγαινε, καὶ ἀείδων ἐνόμευε,
Καὶ σύριγγας ἔτευχε, καὶ ἁδέα πόρτιν ἄμελγε,
Καὶ παίδων ἐδίδασκε φιλάματα, καὶ τὸν Ἔρωτα
Ἔτρεφεν ἐν κόλποισι, καὶ ἤρεσε τὴν Ἀφροδίτην.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Πᾶσα Βίων θρηνεῖ σε κλυτὴ πόλις, ἄστεα πάντα.
Ἄσκρη μὲν γοάει σε πολὺ πλέον Ἡσιόδοιο·
Πίνδαρον οὐ ποθέοντι τόσον Βοιωτίδες ὗλαι·
Οὐ τόσον Ἀλκαίῳ πέρι μύρατο Λέσβος ἐρυμνά,
Οὐδὲ τόσον τὸν ἀοιδὸν ἐμύρατο Κήιον ἄστυ.
Σὲ πλέον Ἀρχιλόχοιο ποθεῖ Πάρος· ἀντὶ δὲ Σαπφοῦς
Εἰσέτι σεῦ τὸ μέλισμα κινύρεται ἁ Μιτυλάνα.

* * * *

Ἐν δὲ Συρακοσίοισι Θεόκριτος. αὐτὰρ ἐγώ τοι
Αὐσονικᾶς ὀδύνας μέλπω μέλος, οὐ ξένος ᾠδᾶς
Βουκολικᾶς, ἀλλ' ἣν τ' ἐδιδάξαο σεῖο μαθητάς,
Κλαρονόμως μώσας τᾶς Δωρίδος ἄμμε γεραίρων.
Ἄλλοις μὲν τεὸν ὄλβον, ἐμοὶ δ' ἀπέλειψας ἀοιδάν.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Αἲ αἲ, ταὶ μαλάχαι μὲν ἐπὰν κατὰ κᾶπον ὄλωνται,



© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἠ τὰ χλωρὰ σέλινα, τό τ' εὐθαλὲς οὖλον ἄνηθον,
Ὕστερον αὖ ζώοντι, καὶ εἰς ἔτος ἄλλο φύοντι·
Ἄμμες δ' οἱ μεγάλοι καὶ καρτεροὶ ἢ σοφοὶ ἄνδρες,
Ὁππότε πρῶτα θάνωμες, ἀνάκοοι ἐν χθονὶ κοίλα
Εὕδομες εὖ μάλα μακρὸν ἀτέρμονα νήγρετον ὕπνον.
Καὶ σὺ μὲν ἐν σιγᾷ πεπυκασμένος ἔσσεαι ἐν γᾷ·
Ταῖς νύμφαισι δ' ἔδοξεν ἀεὶ τὸν βάτραχον ἄδειν.
Τῷ δ' ἐγὼ οὐ φθονέοιμι· τὸ γὰρ μέλος οὐ καλὸν ἄδει.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Φάρμακον ἦλθε Βίων ποτὶ σὸν στόμα, φάρμακον εἶδες.
Πῶς τευ τοῖς χείλεσσι ποτέδραμε, κοὐκ ἐγλυκάνθη;
Τίς δὲ βροτὸς τοσσοῦτον ἀνάμερος ἢ κεράων τοι;
Ἢ δοῦναι καλέων τοι φάρμακον, ἔκφυγεν ᾠδάν;
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Ἀλλὰ δίκα κίχε πάντας· ἐγὼ δ' ἐπὶ πένθεϊ τῷδε
Δακρυχέων τεὸν οἶτον ὀδύρομαι εἰ δυνάμαν δὲ,
Ὡς Ὀρφεὺς καταβὰς ποτὶ τάρταρον, ὥς ποκ' Ὀδυσσεὺς,
Ὡς πάρος Ἀλκείδας, κἠγὼ τάχ' ἂν ἐς δόμον ἦλθον
Πλουτέος, ὥς κεν ἴδοιμι καὶ εἰ Πλούτῃ μελίσδεις,
Ὡς ἂν ἀκουσαίμαν τί μελίσδεαι. ἀλλ' ἐπὶ κώρᾳ
Σικελικόν τι λίγαινε, καὶ ἁδύ τι βουκολιάσδευ.
Κἀκείνη Σικελαῖς καὶ Αἰτναίαισιν ἔπαιζεν
Αἰόσι, καὶ μέλος ᾖδε τὸ Δώριον. οὐκ ἀγέραστος
Ἐσσεῖθ' ἁ μολπή· χ' ὡς Ὀρφέϊ πρόσθεν ἔδωκεν
Ἁδέα φορμίζοντι παλίσσυτον Εὐρυδίκειαν,
Καὶ σὲ Βίων πέμψει τοῖς ὤρεσιν· εἰ δέ τι κἠγὼν
Συρίσδεν δυνάμαν, παρὰ Πλουτεῖ καὐτὸς ἄειδον.

ΜΕΓΑ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Vel viride apium, vel florens crispum anethum;
Postea reuiuiscunt, & altero anno renascuntur:
Nos v. qui magni & fortes aut sapientes viri sumus,
Vbi semel mortui fuerimus, obscuri in terra concaua
Dormimus valde longum, infinitum, inexcitabilem somnum.
Et tu quidem in silentio conditus eris in terra:
Nymphis vero ita placet, vt rana semper cantet.
Cui ego sane non inuideo: nã carmen nõ bonũ canit.
Incipite Siculæ luctum, incipite Musæ.
Venenum venit Bion ad tuum os, venenum sensisti.
Quomodo ad tua labra accessit, & dulce factum non fuit?
Quis homo adeo immitis, vel miscens tibi,
Vel præbere tibi iubẽs venenũ, effugit tuã cantionẽ?
Incipite Siculæ luctum, incipite Musæ.
At pœna iusta deprehẽdit omnes: ego v. in hoc luctu
Lacrymas fundo, tuumque fatum deploro. quod si possem
Vt Orpheus, qui descendit ad inferos, sicut olim Vlysses,
Et ante eum Alcides: ita & ego forsitan venirem ad domum
Plutonis, vt viderem an etiam Diti cantes,
Atque quid cãtes audirem. Verum apud Proserpinã
Siculũ aliqd resona, & suaue aliquod bucolicũ cane.
Nam & illa in Siculo & Ætnęo lusit
Litore, & carmen Doricũ cecinit. non inhonoratum
Carmen erit: & sicut Orpheo prius dedit
Suauiter cithara canenti reducem Eurydicen,
Sic & te ô Bion remittet montibus. Si vero & ego
Fistula cantare scirem, ipse apud Plutonem [ad recuperandum te] cantare vellem.



© Centre d'Études Supérieures de la Renaissance - Tours

## MEGARA VXOR HERCVLIS, Idyllium IIII.

Mater mea quid ita carum animum affligis,
Horrifice gemens? pristinus vero tibi non amplius rubor
Conseruatur in genis? quid mihi adeo mærore conficeris?
Anne quia infinitas patitur ærumnas inclytus filius
A viro nihili, tanquam leo ab hinnulo?
Hei mihi, cur me ita dii adeo contumelia affecerunt
Immortales? cur me ita aduerso parentes genuerunt fato?
[O ego] infelix, quę postquam viri inculpati in torum [veni,
Eum quidem colebam sicut oculos meos,
Et adhuc veneror ac reuereor ex animo:
Sed hoc nemo fuit alius miserior viuentium,
Neque gustauit suis in curis tantum dolorum:
Miser, qui arcu quem illi præbuit ipse Apollo,
Vel alicuius ex Parcis vel Furiæ diris telis,
Liberos suos interfecit, & illis caram eripuit animã,
Furens in domo: atque plenus cædis erat.
Hos ego infelix oculis meis vidi
A patre confixos: (quod neque per somnium alteri in mentem veniret)
Neque ipsis poteram opem ferre crebro inuocantibus
Matrẽ suam: quoniam imminebat insuperabile ma- [lum.
Verum vt queritur auicula ob suos pullos
Pereuntes, quos sæuus anguis adhuc paruulos
In densis arbustis deuorat: ipsa vero circum ipsos
Volat stridens admodum acuta voce pia mater:

Neque

© Centre d'Études Supérieures de la Renaissance - Tours

## ΜΕΓΑΡΑ, ΓΥΝΗ ἩΡΑΚΛΕΟΥΣ, Εἰδύλλιον δ'.

Μᾶτερ ἐμά, τί φθ' ὧδε φίλον κατὰ θυμὸν ἰάπτεις,
Ἐκπάγλως ἀχέοισα, τὸ πρὶν δέ τοι οὐκέτ' ἔρευθος
Σώζετ' ἐπὶ ῥεθέεσσι; τί μοι τόσον ἠνίησαι;
Ἦ ῥ' ὅτι ἄλγεα πάσχει ἀπείριτα φαίδιμος υἱὸς
Ἀνδρὸς ὑπ' οὐτιδανοῖο, λέων ὡσεί θ' ὑπὸ νεβροῦ;
Ὤ μοι ἐγώ, τί νυ μ' ὧδε θεοὶ τόσον ἠτίμασαν
Ἀθάνατοι; τί νυ μ' ὧδε κακῇ γονέες τέκον αἴσῃ;
Δύσμορος, ἥτ' ἐπεὶ ἀνδρὸς ἀμύμονος ἐς λέχος ἦλθον,
Τὸν μὲν ἐγὼ τίεσκον ἴσον φαέεσσιν ἐμοῖσιν,
Ἠδ' ἔτι νῦν σέβομαί τε καὶ αἰδέομαι κατὰ θυμόν.
Τοῦ δ' οὔτις γένετ' ἄλλος ἀποτμότερος ζωόντων,
Οὐδὲ τόσον σφετέρῃσιν ἐγεύσατο φροντίσι κηδέων·
Σχέτλιος, ὃς τόξοισιν ἅ οἱ πόρεν αὐτὸς Ἀπόλλων,
Ἠέ τινος κηρῶν ἢ Ἐρινύος αἰνὰ βέλεμνα,
Παῖδας ἑοὺς κατέπεφνε. καὶ ἐκ φίλον εἵλετο θυμὸν,
Μαινόμενος κατ' οἶκον· ὁ δ' ἔμπλεος ἔσκε φόνοιο.
Τοὺς μὲν ἐγὼ δύστηνος ἐμοῖς ἴδον ὀφθαλμοῖσι
Βαλλομένους ὑπὸ πατρί· (τὸ δ' οὐδ' ὄναρ ἤλυθεν ἄλλῳ)
Οὐδέ σφιν δυνάμην ἀδινὸν καλέουσιν ἀρῆξαι
Μητέρ ἐοῦ' · ἐπεὶ ἐγγὺς ἀνίκατον κακὸν ἦεν.
Ὡς δέ τ' ὀδύρεται ὄρνις ἐπὶ σφετέροισι νεοσσοῖς
Ὀλλυμένοις, οὕστ' αἰνὸς ὄφις ἔτι νηπιάχοντας
Θάμνοις ἐν πυκινοῖσι κατεσθίει· ἡ δὲ κατ' αὐτοὺς
Πωτᾶται κλάζουσα μάλα λιγὺ πότνια μήτηρ·

Οὐδ' ἄρ' ἔχει τέκνοισιν ἐπαρκέσαι· ἦ γάρ οἱ αὐτῇ
Ἆσσον ἴμεν μέγα τάρβος ἀμειλίκτοιο πελώρου·
Ὡς ἐγὼ αἰνοτόκεια, φίλον τέκος αἰάζουσα,
Μαινομένοισι πόδεσσι δόμον κάτα πολλὸν ἐφοίτων.
Ὡς γ' ὄφελον μετὰ παισὶν ἅμα θνήσκουσα καὶ αὐτὴ
Κεῖσθαι, φαρμακόεντα δι' ἥπατος ἰὸν ἔχοισα,
Ἄρτεμι θηλυτέρῃσι μέγα κρείουσα γυναιξί.
Τῷ κ' ἡμᾶς κλαύσαντε φίλαις ἐπὶ χερσὶ τοκῆες
Πολλοῖς σὺν κτερέεσσι πυρῆς ἐπένησαν ὁμοίης·
Καί κεν ἕνα χρύσειον ἐς ὀστέα κρωσσὸν ἁπάντων
Λέξαντες κατέθαψαν ὅθι πρῶτον γενόμεσθα.
Νῦν δ' οἱ μὲν Θήβην ἱπποτρόφον ἐνναίουσιν,
Ἀονίου πεδίοιο βαθεῖαν βῶλον ἀρεῦντες·
Αὐτὰρ ἐγὼ Τίρυνθα κατὰ κραναὴν πόλιν Ἥρας
Πολλοῖσιν δύστηνος ἰάπτομαι ἄλγεσιν ἦτορ
Αἰὲν ὁμῶς· δακρύων δὲ πάρεστί μοι οὐδέ τις ἐρωή·
Ἀλλὰ πόσιν μὲν ὁρῶ παῦρον χρόνον ὀφθαλμοῖσιν
Οἴκῳ ἐν ἡμετέρῳ· πολέων γάρ οἱ ἔργον ἑτοῖμον
Μόχθων, τοὺς ἐπὶ γαῖαν ἀλώμενος ἠδὲ θάλασσαν
Μοχθίζει, πέτρης ὅγ' ἔχων νόον ἠὲ σιδήρου
Καρτερὸν ἐν στήθεσσι. σὺ δ' ἤΰτε λείβεαι ὕδωρ,
Νύκτας τε κλαίουσα καὶ ἐκ Διὸς ἤμαθ' ὁπόσσα.
Ἄλλος μὰν οὐκ ἄν τις εὐφρήναι με παραστὰς
Κηδεμόνων· οὐ γάρ σφε δόμων κατὰ τοῖχος ἐέργει·
Καὶ λίην πάντες γε πέρην πιτυώδεος Ἰσθμοῦ
Ναίουσ'· οὐδέ μοί ἐστι πρὸς ὅντινά κε βλέψασα,
Οἷα γυνὴ πανάποτμος, ἀναψύξαιμι φίλον κῆρ·
Νόσφι γε δὴ Πύρρης συνομαίμονος· ἡ δὲ καὶ αὐτὴ

Ἀμφὶ

Neque ſane poteſt filiis opem ferre:nam ad ipſum
Prope venire valde metuit immite monſtrum:
Ita ego infelix mater,caram prolem deplorans,
Pedibus furioſis per domum hinc inde currebam.
Vtinam cum filiis ſimul mortua & ipſa
Strata iacuiſſem,venenatam in iecore ſagittam habens,
Diana mollibus potenter imperans mulieribus.
Tunc nos vbi defleuiſſent,amicis manibus parentes
Vna cum multis inferiis in communi poſuiſsēt rogo:
Et omnium oſſa in vna aurea vrna
Collecta, in eo loco vbi primum nati ſumus, ſepeliiſſent.
Nunc vero illi Theben equorum altricem incolunt,
Aonii campi pinguem glebam arantes:
Ego vero in Tirynthe aſpera Iunonis vrbē
Multis miſera afficior doloribus cor
Eodem modo ſemper:neque a lacrymis vlla eſt quies.
Sed maritum exiguo tempore oculis conſpicio
Domi noſtræ.nam illi multorum paratum eſt opus
Laborum,quos terra marique oberrans
Suſtinet,ex ſaxo aut ferro animum habens
Rigidum in pectore.tu vero ſicut aqua liqueſcis
Per noctes lugens,& ex Ioue quotquot dies ſunt.
Alius autem nemo me exhilararit aſtans
Affinium.non enim illos ædium paries retinet,
Sed omnes procul vltra pinoſum Iſthmum
Habitant:neque vllus eſt ad quem reſpiciens,
Vt mulier afflicta, carum cor recreare poſſim,
Excepta Pyrrha ſorore:ea vero & ipſa



© Centre d'Études Supérieures de la Renaissance - Tours

Propter virum suum Iphiclũ multo dolore cõficitur,
Filium tuum: omnium enim ærumnosissimos liberos
Te deo & viro mortali peperisse credo.
Sic loquuta est: & teneriores lacrymę malis
In pulchrum ipsius sinum e palpebris fundebantur,
Recordanti liberorum & suorum deinde parentum.
Eodem autem modo lacrymis albas genas rigabat
Alcmena: grauiter a. hęc & ex animo ingemiscens,
Verbis sapientibus caram nurum sic alloquuta est,
Filia prolibus infelix, quomodo hoc in mentem tibi venit
Tristem? quomodo nos vis commouere ambas,
Intolerabiles curas commemorans? quas non nunc primum defleuimus.
Annon sufficiunt quibus afficimur semper in proximum quemquę diem
Incidentibus? vt admodum lugendi cupidus sit
Qui nostra mala numerare velit.
Bono animo esto: non tale fatum ex deo sortitæ sumus:
Nam te quoque video, cara filia, ingenti
Dolore confici: ignosco vero tibi
Quod doles: quoniam & lætitiæ satietas est.
Et te valde vehementer deploro ac miseror,
Quod nostræ tristis fortunæ particeps facta es,
Quæ capitibus nostris grauis incumbit.
Nam sciat Proserpina & decenter velata Ceres,
(Quas cum suo magno malo sponte aliquis periure iurauerit
Ex hostibus) quod te non minus in animo meo
Caram habeo, quam si mihi ex vtero egressa esses,
Et mihi vnica in domo virgo esses.
Neque te ipsam hoc omnino latere existimo.

Quæ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἀμφὶ πόσει σφετέρῳ πλέον ἄχθεται Ἰφικλῆι,
Σῷ γ' ἐμῷ· πάντων γὰρ ὀϊζυρώτατα τέκνα
Γείνασθαί σε θεῷ τε καὶ ἀνέρι θνητῷ ἔολπα.
Ὣς ἄρ' ἔφη· τὰ δέ οἱ θαλερώτερα δάκρυα μήλων
Κόλπον ἐς ἱμερόεντα κατὰ βλεφάρων ἐχέοντο,
Μνησαμένη τέκνων τε καὶ ὧν μετέπειτα τοκήων.
Ὡς δ' αὔτως δακρύοισι παρήια λευκ' ἐδίαινεν
Ἀλκμήνη· βαρὺ δ' ἦγε καὶ ἐκ θυμοῦ στενάχουσα,
Μύθοισιν πυκινοῖσι φίλην νυὸν ὧδε μετηύδα,
Δαιμονίη παίδων, τί νύ τοι φρεσὶν ἔμπεσε τοῦτο
Πευκαλίμης; πῶς ἄμμ' ἐθέλεις ὀροθυνέμεν ἄμφω,
Κήδε' ἄλαστα λέγουσα; τὰ δ' οὐ νῦν πρῶτα κέκλαυται.
Οὐχ ἅλις οἷς ἐχόμεσθα τὸ δεύτατον αἰεὶ ἐπ' ἦμαρ
Γιγνομένοις; μάλα μέν γε φιλοθρήνης κέ τις εἴη
Ὅστις ἀριθμήσειεν ἐφ' ἡμετέροις ἀχέεσσι.
Θάρσει· οὐ τοιῆσδ' ἐκυρήσαμεν ἐκ θεοῦ αἴσης.
Καὶ δ' αὐτὴν ὁρόω σε φίλον τέκος ἀτρύτοισιν
Ἄλγεσι μοχθίζουσαν· ἐπιγνώμων δέ τοι εἰμὶ
Ἀσχαλάαν ὅτε δή γε καὶ εὐφροσύνης κόρος ἐστί.
Καί σε μάλ' ἐκπάγλως ὀλοφύρομαι ἠδ' ἐλεαίρω,
Οὕνεκεν ἡμετέροιο λυγροῦ μετὰ δαίμονος ἔσχες,
Ὅς θ' ἡμῖν ἐφύπερθε κάρης βαρὺς αἰωρεῖται.
Ἴσω γὰρ κούρη τε καὶ εὔανος Δημήτηρ,
(Ἅς κε μέγα βλαφθείς τις ἑκὼν ἐπίορκον ὀμόσσῃ
Δυσμενέων) μηδέν σε χερειότερον φρεσὶν ᾗσι
Στέργειν ἢ εἴπερ μοι ὑπ' ἐκ νηδυόφιν ἦλθες,
Καί μοι τηλυγέτη ἐνὶ δώμασι παρθένος ἦσθα.
Οὐδ' αὐτήν γε νυ πάμπαν ἔολπά σε τοῦτό γε λήθειν.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Τῷ μηδ' ἐξείπῃς τόγ' ἐμὸν θάλος ὥς σευ ἀκηδῶ,
Μηδ' εἰ κ' ἠϋκόμου Νιόβης πυκινώτερα κλαίω.
Οὐθὲν γὰρ νεμεσητὸν ὑπὲρ τέκνου γοάασθαι
Μητέρι δυσπαθέοντος· ἐπεὶ δέκα μῆνας ἔκαμνον,
Πρὶν καί πέρ τ' ἰδέειν μιν, ἐμῷ ὑπὸ ἥπατ' ἔχοισα·
Καί με πυλάρταο σχεδὸν ἤγαγεν Αἰδωνῆος·
Ὧδε ἑ δυστοκέουσα κακὰς ὠδῖνας ἀνέτλαν.
Νῦν δέ μοι οἴχεται οἶος ἐπ' ἀλλοτρίης νέον ἆθλον
Ἐκτελέων· οὐδ' οἶδα δυσάμμορος εἴτε μιν αὖτις
Ἐνθάδε νοστήσαντ' ὑποδέξομαι, εἴτε καὶ οὐκί.
Πρὸς δ' ἔτι μ' ἐπτοίησε διὰ γλυκὺν αἰνὸς ὄνειρος
Ὕπνον· δειμαίνω δὲ, παλίγκοτον ὄψιν ἰδοῦσα,
Ἐκπάγλως, μή μοι τι τέκνοις ἀποθύμιον ἕρδοι.
Εἴσατο γάρ μοι ἔχων μακέλην εὐεργέα χερσὶ
Παῖς ἐμὸς ἀμφοτέρῃσι βίη Ἡρακληείη·
Τῇ μεγάλην ἐλάχαινε (δεδεγμένος ὡς ἐπὶ μισθῷ)
Τάφρον, τηλεθάοντος ἐπ' ἐσχατιῇ τινὸς ἀγροῦ,
Γυμνὸς, ἄνευ χλαίνης τε καὶ εὐμίτροιο χιτῶνος.
Αὐτὰρ ἐπειδὴ παντὸς ἀφίκετο πρὸς τέλος ἔργου,
Καρτερὸν οἰνοπέδοιο ποιεύμενος ἕρκος ἀλωῆς,
Ἤτοι ὁ λίστρον ἔμελλεν ἐπὶ προὔχοντος ἐρείσας
Ἀνδήρου καταδῦναι ἃ καὶ πάρος εἵματα ἕστο·
Ἐξαπίνης δ' ἀνέλαμψεν ὑπὲρ καπέτοιο βαθείης
Πῦρ ἄμοτον· περὶ δ' αὐτὸν ἀθέσφατος εἰλεῖτο φλόξ.
Αὐτὰρ ὅγ' αἰὲν ὄπισθε θοοῖς ἀνεχάζετο ποσσὶν,
Ἐκφυγέειν μεμαὼς ὀλοὸν μένος Ἡφαίστοιο·
Αἰεὶ δὲ προπάροιθεν ἑοῦ χροὸς, ἠΰτε γέῤῥον,
Νώμασκεν μακέλην· περὶ δ' ὄμμασιν ἔνθα καὶ ἔνθα

Πάπταινεν

Quare ne dicas, meum germen, quod te non curo,
Non, quamuis crebrius ploro quam pulchra Niobe.
Neque enim culpanda est si propter filium lugeat
Mater afflictum: quoniam decem mensium laborem
 sustinui,
Priusquam ipsum a[illegible]cerem, quem sub hepate meo
 habebam. [nem:
Et me adduxit prope munitas habentē portas Pluto-
Sic ipsum difficulter enixa graues dolores pertuli.
Nunc vero abest peregre, nouum certamen
Perficiens: neque infelix scio vtrum ipsum
Huc reducem receptura sim necne.
Præterea etiam somniū triste terruit me per dulcem
Somnum: quare metuo, quū infestā visionē viderim,
Vehementer, nequid liberis iniucundum adferat.
Visus est.n.mihi, tenens ligonem fabrefactū manibus
Ambabus filius meus Hercules:
Quo magnam effodiebat (tanquam suscepisset [hoc
 opus pacta] mercede)
Fossam in extremitate cuiusdam florentis agri,
Nudus, absque læna, & absque cinctili tunica.
Sed postquam totius peruenerat ad finem operis,
Validum vitiferæ elaborans munimentum areæ:
Tunc ille defixo ligone in eminenti
Sulco induturus erat vestes quibus ante indutus fue-
Subito vero eluxit supra fossam profundam [rat:
Ignis indefessus, & immensa circa ipsum flamma vol-
 uebatur.
Verum ille semper velocibus retrocedebat pedibus,
Effugere cupiens sæuam vim Vulcani:
Semper vero ante suum corpus, velut scutum,
Quatiebat ligonem: oculisque huc illuc

Circum-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Circumspiciebat, ne ipsum adureret infestus ignis.
Huic quidem opem ferre cupiēs (vt mihi videbatur)
Iphiclus magnanimus in terram cecidit lapsus,
Priusquam ad [ipsum] perueniret: neque rectus rursum resurgere potuit,
Sed immobiliter iacebat, sicut imbecillus senex,
Quem etiam inuitum vi coegit iniucunda senecta
Concidere: iacet autem humi defixus ibi,
Donec quis manu attraxerit prætereuntium,
Reueritus aspectum senilem canæ barbæ:
Ita in terra voluebatur bellicosus Iphiclus.
At ego flebam ope destitutos videns
Filios meos: donec mihi excussus est dulcis somnus
Ex oculis, & aurora statim illustris prodiit.
Talia mihi somnia mentem perterruerunt
De nocte: verum omnia ad Eurysthea vertantur,
A domo nostra: fiatque vates illi
Animus meus, nec quid aliud fortuna perficiat.

## IDYLLIVM V.

QVVM ventus leniter mare glaucum ferit,
Timidus me solicitat animus, nec amplius Musa
Grata est, sed multo magis me rapit tranquillitas:
At quando resonat canum pelagus, & vnda marina
Incuruata spumat, ac plurimi fluctus agitantur,
Ad terram oculos conuerto & arbores, mare autem fugio:
Terraque mihi fida videtur, & statim opaca silua placet:
In qua magno etiam spirante vento pinus canit.
Malam profecto piscator vitam degit, cui domus est nauis,
Et labor in mari, & pisces fallax venatio.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Πάπταινεν μὴ δή μιν ἐπιφλέξῃ δήιον πῦρ.
Τῶ μεν ἀοσσῆσαι λελιημένος (ὥς μοι ἔικτο)
Ἰφικλέης μεγάθυμος, ἐπ' εὔδει κάππεσ' ὀλισθὼν,
Πρίν γ' ἐλθεῖν· οὐδ' ὀρθὸς ἀναστῆναι δύνατ' αὖτις,
Ἀλλ' ἀστεμφὲς ἔκειτο, γέρων ὡσεὶτ' ἀμενηνὸς.
Ὅντε καὶ οὐκ ἐθέλοντα βιήσατο γῆρας ἀτερπὲς
Καππεσέειν· κεῖται δ' ὅγ' ἐπὶ χθονὸς ἔμπεδον αὐτοῦ,
Εἰσόκε τις χειρός μιν ἀνειρύσῃ παριόντων,
Αἰδεσθεὶς ὄπιδα προτέρην πολιοῖο γενείου.
Ὡς ἐν γῇ λελίαστο σακέσπαλος Ἰφικλείης.
Αὐτὰρ ἐγὼ κλαίεσκον ἀμηχανέοντας ὁρῶσα
Παῖδας ἐμοὺς, μέχρι δή μοι ἀπέσσυτο νήδυμος ὕπνος
Ὀφθαλμῶν, ἠὼς δὲ παραυτίκα φαίδιμος ἦλθε.
Τοῖα φίλη μοι ὄνειρα διὰ φρένας ἐπτοίησαν
Παννυχίη· τὰ δὲ πάντα πρὸς Εὐρυσθῆα τρέποιτο,
Οἴκου ἀφ' ἡμετέροιο· γένοιτο δὲ μάντις ἐκείνῳ
Θυμὸς ἐμὸς, μηδ' ἄλλο παρεκτελέσειέ τι δαίμων.

## ΕΙΔΥΛΛΙΟΝ έ.

Τὰν ἅλα τὰν γλαυκὰν ὅταν ὤνεμος ἀτρέμα βάλλῃ,
Τὰν φρένα τὰν δειλὰν ἐρεθίζομαι, οὐδ' ἔτι Μοῖσα
Ἐντὶ φίλα, ποτάγει δὲ πολὺ πλέον ἅμμε γαλάνα·
Ἀλλ' ὅταν ἀχήσῃ πολιὸς βυθὸς, ἁ δὲ θάλασσα
Κυρτὸν ἐπαφρίζῃ, τὰ δὲ κύματα . . . μεμήνῃ,
Ἐς χθόνα παπταίνω καὶ δένδρεα, τὰν δ' ἅλα φεύγω·
Γᾶ δέ μοι ἁ πιστὰ, τέχα δ' εὔσκιος εὔαδεν ὕλα·
Ἔνθα καὶ ἢν πνεύσῃ πολὺς ὤνεμος, ἁ πίτυς ᾄδει.
Ἦ κακὸν ὁ γριπεὺς ζώει βίον, ᾧ δόμος ἁ ναῦς,
Καὶ πόνος ἐντὶ θάλασσα, καὶ ἰχθὺς ἁ πλάνος ἄγρα.

Αὐτὰρ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Αὐτὰρ ἐμοὶ γλυκὺς ὕπνος ὑπὸ πλατάνῳ βαθυφύλλῳ·
Καὶ παγᾶς φιλέοιμι τὸν ἐγγύθεν ἦχον ἀκούειν,
Ἃ τέρπει ψοφέοισα τὸν ἀγρικὸν, οὐχὶ ταράσσει.

## ΕΙΔΥΛΛΙΟΝ ϛ'.

Ἤρα Πὰν Ἀχῶς τᾶς γείτονος, ἤρατο δ' Ἀχὼ
Σκιρτητᾶ Σατύρω, Σάτυρος δ' ἐπεμήνατο Λύδαν.
Ὡς Ἀχὼ τὸν Πᾶνα, τόσον Σάτυρος φλέγεν Ἀχῶ,
Καὶ Λύδα Σατυρίσκον· ἔρως δ' ἐσμύχετ' ἀμοιβᾷ.
Ὅσσον γὰρ τήνων τις ἐμίσεε τὸν φιλέοντα,
Τόσσον ὁμῶς φιλέων ἐχθαίρετο, πάσχε δ' ἄποινα.
Ταῦτα λέγω πᾶσιν τὰ διδάγματα τοῖς ἀνεράστοις·
Στέργετε τοὺς φιλέοντας, ἵν' ἢν φιλέητε, φιλῆσθε.

## ΕΙΔΥΛΛΙΟΝ ζ'.

Ἕσπερε, τᾶς ἐρατᾶς χρύσεον φάος Ἀφρογενείας,
Ἕσπερε, κυανέας ἱερὸν φίλε νυκτὸς ἄγαλμα,
Τόσσον ἀφαυρότερος μήνας ὅσον ἔξοχος ἄστρων,
Χαῖρε φίλος· καί μοι ποτὶ ποιμένα κῶμον ἄγοντι
Ἀντὶ σελαναίας τὺ δίδου φάος· ὥνεκα τήνα
Σάμερον ἀρχομένα, τάχιον δύεν. οὐκ ἐπὶ φωρὰν
Ἔρχομαι, οὐδ' ἵνα νυκτὸς ὁδοιπορέοντ' ἐνοχλήσω·
Ἀλλ' ἐράω· καλὸν δέ τ' ἐρασσαμένῳ συνεράσθαι.

## ΕΙΔΥΛΛΙΟΝ η'.

Ἀλφειὸς μετὰ Πίσαν ἐπὴν κατὰ πόντον ὁδεύῃ,
Ἔρχεται εἰς Ἀρέθοισαν ἄγων κοτινηφόρον ὕδωρ,
Ἕδνα φέρων καλὰ φύλλα καὶ ἄνθεα, καὶ κόνιν ἱεράν·
Καὶ βαθὺς ἐμβαίνει τοῖς κύμασι· τὴν δὲ θάλασσαν
Νέρθεν ὑποτροχάει, κοὐ μίγνυται ὕδασιν ὕδωρ·
Ἁ δ' οὐκ οἶδε θάλασσα διερχομένου ποταμοῖο.

Κῶρος

© Centre d'Études Supérieures de la Renaissance - Tours

At mihi dulcis ſomnus ſub platano comata:
Et fontis amem vicinum murmur audire,
Qui oblectat ſtrepitu agreſtem, non exterret.

IDYLLIVM VI.

PAN amabat Echo vicinam, Echo autem ardebat
Saltatorem Satyrum, Satyrus vero inſane deperibat
Lydam:
Quantum Echo Pana, tãtum & Satyrus Echo vrebat,
Et Satyrum Lyda: ſic amor per vices flagrabat.
Quantum enim ipſorum aliquis amantem oderat,
Tantum & ipſe amans odioſus erat, & patiebatur
vindictam.
Hæc ego documenta narro ab amore alienis:
Diligite amantes, vt, ſi ametis, redamemini.

IDYLLIVM VII.

Veſper, aurea lux amabilis Veneris,
Care Veſper cæruleæ noctis imago ſacra,
Tantum obſcurior luna, quantum præſtantior aſtris,
Salue dilecte: & mihi ad paſtorem comiſſatum eunti
Tu lumen præbeto vice lunæ: hæc enim
Incipiens hodie, citius occidit. Non ad furandum
Eo, nec vt iter noctu facientem inuadam:
Sed amo: decet autem amantem ſimul ab aliis amari.

IDYLLIVM VIII.

Alpheus poſt Piſam vbi mare ingreſſus eſt,
Procedit in Arethuſam, aquam adducens oleaſtros
vectantem,
[Et] dona ferens pulchras frondes, floreſque, & ſa-
crum puluerem:
Et profundus vndas ingreditur: ſub mari autem
Inferius currit, nec aqua aquæ miſcetur.
Cæterum mare non ſentit tranſeuntem fluuium.

[Sic]

© Centre d'Études Supérieures de la Renaissance - Tours

[Sic] puer ille grauiter afficiens, mala machinans, ardua docens,
Cupido, amnem quoque propter amoris vim natare docuit.

EIVSDEM
Epigramma in Amorem arantem.

Face deposita & arcu, boum agitatricē accepit virgā
Perniciosus Amor: pendebat autem illi pera ab humeris:
Et quum iunxisset sub iugo laborum patiens collum taurorum,
Seminauit Cereris sulcum frugiferum.
Dixit autem, sursum aspiciens, ipsi Ioui, Combure arua,
Ne te Europæ bouem aratro subiiciam.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Κῶρος δεινοθέτας, κακομάχανος, αἰνὰ διδάσκων,
Καὶ ποταμὸν διὰ φίλτρον Ἔρως ἐδίδαξε κολυμβεῖν.

## ΤΟΥ ΑΥΤΟΥ

### Ἐπίγραμμα εἰς Ἔρωτα ἀροτριῶντα.

Λαμπάδα θεὶς καὶ τόξα, βοηλάτιν εἵλετο ῥάβδον
Οὖλος Ἔρως, πήρην δ' εἶχε κατωμαδίην·
Καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων,
Ἔσπειρεν Δηοῦς αὔλακα πυροφόρον.
Εἶπε δ' ἄνω βλέψας αὐτῷ Διΐ, Πρῆσον ἀρούρας,
Μή σε τὸν Εὐρώπης βοῦν ὑπ' ἄροτρα βάλω.

ΒΙΩ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

# ΒΙΩΝΟΣ ΣΜΥΡΝΑΙΟΥ

## Εἰδύλλια.

## ΕΠΙΤΑΦΙΟΣ ΑΔΩΝΙΔΟΣ,

### Εἰδύλλιον α'.

Αἰάζω τὸν Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις.
Ὤλετο καλὸς Ἄδωνις, ἐπαιάζουσιν Ἔρωτες.
Μηκέτι πορφυρέοις ἐνὶ φάρεσι Κύπρι κάθευδε·
Ἔγρεο δειλαία κυανόστολε, καὶ πλατάγησον
Στήθεα, καὶ λέγε πᾶσιν, Ἀπώλετο καλὸς Ἄδωνις.
Αἰάζω τὸν Ἄδωνιν, ἐπαιάζουσιν Ἔρωτες.
Κεῖται καλὸς Ἄδωνις ἐπ' ὤρεσι μηρὸν ὀδόντι
Λευκῷ λευκὸν ὀδόντι τυπεὶς, καὶ Κύπριν ἀνιῇ
Λεπτὸν ἀποψύχων· τὸ δέ οἱ μέλαν εἴβεται αἷμα
Χιονέας κατὰ σαρκός· ὑπ' ὀφρύσι δ' ὄμματα ναρκεῖ,
Καὶ τὸ ῥόδον φεύγει τῶ χείλευς· ἀμφὶ δὲ τήνῳ
Θνάσκει καὶ τὸ φίλαμα τὸ μήποτε Κύπρις ἀφήσει.
Κύπριδι μὲν τὸ φίλαμα καὶ οὐ ζώοντος ἀρέσκει·
Ἀλλ' οὐκ εἶδεν Ἄδωνις ὅ μιν θνάσκοντ' ἐφίλασεν.
Αἰάζω τὸν Ἄδωνιν, ἐπαιάζουσιν Ἔρωτες.
Ἄγριον ἄγριον ἕλκος ἔχει κατὰ μηρὸν Ἄδωνις,
Μεῖζον δ' ἁ Κυθέρεια φέρει ποτικάρδιον ἕλκος.
Κεῖνον μὲν περὶ παῖδα φίλοι κύνες ὠρύσαντο,
Καὶ νύμφαι κλαίουσιν Ὀρειάδες· ἁ δ' Ἀφροδίτα,
Λυσαμένα πλοκαμῖδας, ἀνὰ δρυμοὺς ἀλάληται
Πενθαλέα, νήπλεκτος, ἀσάνδαλος· αἱ δὲ βάτοι νιν

Ἐρχο-

© Centre d'Études Supérieures de la Renaissance - Tours

q 248

# BIONIS SMYRNÆI IDYLLIA.

## EPITAPHIVM ADONIDIS, Idyllium I.

LAMENTOR Adonidem: interiit pulcher Adonis. [res:
Periit pulcher Adonis, adlamentantur Amo-
Ne amplius purpureis in vestibus dormias Venus:
Surge misera, pullata; & plange
Pectora, & dic omnibus, Periit pulcher Adonis.
Lamentor Adonidem, adlamentantur Amores:
Formosus Adonis in montibus iacet, femur dente,
Candidum candido dente percussus, & Venerem dolore afficit,
Tenuiter spirans: ater vero cruor manat [pent;
Niueam per carnem: sub superciliis autem oculi tor-
Et rosa[id est roseus color]labrorum fugit, vnaque cum illo
Moritur & osculum quod Venus nunquã relinquet.
Veneri quidem osculum, etiam non amplius viuẽtis, gratum est,
Sed Adonis non sensit quod ipsum morientem osculata est.
Lamentor Adonidem, adlamentantur Amores.
Atrox atrox vulnus habet in femore Adonis,
Maius autem Venus habet in corde vulnus.
Circa illum puerum & cari canes vlularunt,
Et Nymphæ plorant Oreades: ipsaque Venus,
Solutis capillis, per saltus errat
Lugubris, incompta, nudis pedibus: & rubi ipsam



© Centre d'Études Supérieures de la Renaissance - Tours

Incedentem infestant, ac sacrum sanguinem carpũt,
Acuta autem voce eiulans, per longas valles fertur,
Assyrium maritũ clamore requirens & puerũ vocãs,
At circa ipsius vmbilicũ ater sanguis alte erũpebat,
Et a femore pectus cruentabatur: costarũ autẽ loca
Niuea prius Adonidi rubebant.
Ah ah Venus, adlamentantur Amores.
Amisit pulchrum illum virum, vnaque sacram formam amisit.
Nam dum vixit Adonis, Veneri præclara forma fuit:
Commortua cum Adonide est & forma Veneris, hei hei.
Montes omnes & quercus dicunt, Ah Adoni:
Et fluuii deflent luctus Veneris,
Et fontes Adonidem in montibus deplorant:
Flores autem præ dolore rubefiunt. Venus vero
Per omnes colles & per vrbem flebiliter canit.
Ah ah Venus, periit pulcher Adonis.
Echo occinuit cũ clamore, Periit pulcher Adonis.
Veneris dirum amorem quis non deploret? hei hei.
Vt vidit, vt cognouit Adonidis intolerabile vulnus,
Vt vidit purpureum sanguinem in marcescente femore,
Brachia expandens gemendo dicebat, Mane Adoni,
Miser mane Adoni, vt te postremum inueniam,
Vt te amplectar, & labra labris misceam.
Expergiscere paulisper Adoni, iamque postremo me osculare:
Tantillum me osculare donec viuit osculum:
Donec ab anima in meum os, & in meum iecur
Spiritus tuus fluxerit, & tuum dulcẽ amorẽ exuxero,
Atque imbibero amorem. osculum a. hoc asseruabo
Tanquam

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἐρχομέναν πείροντι, τὰ δ' ἱερὸν αἷμα δρέπονται.
Ὀξὺ δὲ κωκύουσα, δι' ἄγκεα μακρὰ φορεῖται,
Ἀσσύριον βοόωσα πόσιν, καὶ παῖδα καλεῦσα.
Ἀμφὶ δέ μιν μέλαν αἷμα παρ' ὀμφαλὸν ἠωρεῖτο,
Στήθεα δ' ἐκ μηρῶν φοινίσσετο· οἱ δ' ὑπὸ μαζοὶ
Χιόνεοι τὸ πάροιθεν Ἀδώνιδι πορφύροντο.
Αἲ αἲ τὰν Κυθέρειαν, ἐπαιάζουσιν Ἔρωτες.
Ὤλεσε τὸν καλὸν ἄνδρα, συνώλεσεν ἱερὸν εἶδος.
Κύπριδι μὲν καλὸν εἶδος ὅτε ζώεσκεν Ἄδωνις·
Κάτθανε δ' ἁ μορφὰ σὺν Ἀδώνιδι Κύπριδος, αἲ αἲ.
Ὤρεα πάντα λέγοντι καὶ αἱ δρύες, Αἲ τὸν Ἄδωνιν·
Καὶ ποταμοὶ κλαίουσι τὰ πένθεα τᾶς Ἀφροδίτας,
Καὶ παγαὶ τὸν Ἄδωνιν ἐν ὤρεσι δακρύοντι,
Ἄνθεα δ' ἐξ ὀδύνας ἐρυθραίνεται· ἁ δὲ Κυθήρη
Πάντας ἀνὰ κναμὼς καὶ ἀνὰ πτόλιν οἰκτρὸν ἀείδει.
Αἲ αἲ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.
Ἀχὼ δ' ἀντεβόασεν, Ἀπώλετο καλὸς Ἄδωνις.
Κύπριδος αἰνὸν ἔρωτα τίς οὐκ ἔκλαυσεν ἄν; αἲ αἲ.
Ὡς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδος ἄσχετον ἕλκος,
Ὡς ἴδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
Πάχεας ἀμπετάσασα, κινύρετο, Μεῖνον Ἄδωνι
Δύσποτμε, μεῖνον Ἄδωνι, πανύστατον ὥς σε κιχείω,
Ὥς σε περιπτύξω, καὶ χείλεα χείλεσι μίξω.
Ἔγρεο τυτθὸν Ἄδωνι, τὸ δ' αὖ πύματόν με φίλασον.
Τοσσοῦτόν με φίλασον ὅσον ζώει τὸ φίλαμα·
Ἄχρις ἀπὸ ψυχῆς ἐς ἐμὸν στόμα κεἰς ἐμὸν ἧπαρ
Πνεῦμα τεὸν ῥεύσῃ, τὸ δέ σευ γλυκὺ φίλτρον ἀμέλξω,
Ἐκ δὲ πίω τὸν ἔρωτα· φίλαμα δὲ τοῦτο φυλάξω



© Centre d'Études Supérieures de la Renaissance - Tours

Ὡς αὐτὸν τὸν Ἄδωνιν· ἐπεὶ σύ με δύσμορε φεύγεις.
Φεύγεις μακρὸν Ἄδωνι, καὶ ἔρχεαι εἰς Ἀχέροντα,
Καὶ στυγνὸν βασιλῆα καὶ ἄγριον· ἁ δὲ τάλαινα
Ζώω· καὶ θεὸς ἐμμὶ, καὶ οὐ δύναμαί σε διώκειν.
Λάμβανε Περσεφόνα τὸν ἐμὸν πόσιν· ἐσσὶ γὰρ αὐτὰ
Πολλὸν ἐμεῦ κρείσσων· τὸ δὲ πᾶν καλὸν ἐς σὲ καὶ Ἄρη.
Εἰμὶ δ' ἐγὼ πανάποτμος, ἔχω δ' ἀκόρεστον ἀνίαν,
Καὶ κλαίω τὸν Ἄδωνιν, ὅ μοι θάνε, καὶ σὲ φοβεῦμαι.
Θνάσκεις ὦ τριπόθατε· πόθος δέ μοι ὡς ὄναρ ἔπτη·
Χήρη δ' ἁ Κυθέρεια, κενοὶ δ' ἀνὰ δώματ' Ἔρωτες.
Σοὶ δ' ἅμα κεστὸς ὄλωλε· τί γὰρ τολμηρὲ κυνάγεις;
Καλὸς ἐὼν τοσοῦτον ἐμήνας θηρσὶ παλαίειν;
Ὧδ' ὀλοφύρατο Κύπρις· ἐπαιάζουσιν Ἔρωτες,
Αἲ αἲ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.
Δάκρυον ἁ Παφίη τόσσον ἐγχέει, ὅσσον Ἄδωνις
Αἷμα χέει· τὰ δὲ πάντα ποτὶ χθονὶ γίγνεται ἄνθη·
Αἷμα ῥόδον τίκτει, τὰ δὲ δάκρυα τὰν ἀνεμώναν.
    Αἰάζω τὸν Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις.
Μηκέτ' ἐνὶ δρυμοῖσι τὸν ἀνέρα μύρεο Κύπρι·
Ἔστ' ἀγαθὰ στιβὰς, ἔστιν Ἀδώνιδι φυλλὰς ἑτοίμα·
Λέκτρον ἔχει Κυθέρεια τὸ σὸν τόδε νεκρὸς Ἄδωνις.
Καὶ νέκυς ὢν καλός ἐστι, καλὸς νέκυς οἷα καθεύδων.
Κάτθεο καὶ μαλακοῖς ἐνὶ φάρεσιν οἷς ἐνίαυεν,
Τοῖς μετὰ σεῦ ἀνὰ νύκτα τὸν ἱερὸν ὕπνον ἐμόχθει,
Παγχρύσῳ κλιντῆρι· πόθει καὶ στυγνὸν Ἄδωνιν.
Βάλλε δ' ἐνὶ στεφάνοισι καὶ ἄνθεσι· πάντα σὺν αὐτῷ,
Ὡς τῆνος τέθνακε, καὶ ἄνθεα πάντ' ἐμαράνθη.
Ῥαῖνε δέ μιν μύρτοισιν, ἀλείφασι, ῥαῖνε μύροισιν·

Ὀλλύ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Tamquã ipsũ Adonidem: quãdo tu me infelix fugis:
Fugis longe Adoni,& abis ad Acherontem,
Et tristem regem & immitem:ego vero misera
Viuo,& dea sum,neque te persequi possum.
Accipe Proserpina virũ meum.nam tu es [uoluitur.
Longe me potẽtior:& quicquid pulchrũ est, ad te de-
Sũ a.ego valde infelix, & inexhausto dolore cõficior,
Deplorans Adonidẽ,quod extinctus est,teq; timeo.
Moreris ô desideratissime,amor autẽ sicut somnium
mihi auolauit.
At Venus vidua est, & Amores in domo inanes sunt.
Tecũ vero vna cestus piit:q̃d.n.temerarie venabaris?
Quũ adeo pulcher esses, cum feris congredi ausus es?
Sic lugebat Venus, Amores vna lugebant.
Væ væ Veneri,interiit pulcher Adonis.
Lacrymarũ tantũ Venus effundit,quantum Adonis
Sanguinis fundit.Hæc vero omnia in terra conuer-
tuntur in flores:
Sanguis rosam gignit,sed lacrymæ anemonen.
Lamentor Adonidem,interiit pulcher Adonis.
Ne in siluis amplius virum deplora ô Venus.
Est recte instructus torus, est Adonidi torus paratus.
Tuum ô Venus hunc lectulũ tenet mortuus Adonis:
Et,licet mortuus,tamen pulcher est:pulcher mor-
tuus,quasi dormiens.
Depone[eũ]& in mollibus vestib⁹ in quib⁹ cubabat,
In quibus tecum per noctẽ sacrũ somnum capiebat,
In aurea culcitra:reqre Adonin,etiãsi tristi sit aspectu.
Depone[eum]inter coronas & flores: omnes cũ eo,
Postquã ille mortuus est,omnes[inquã] flores etiam
contabuerunt.
Riga autem ipsum myrtis,[variis]olei generibus,riga
vnguentis:



© Centre d'Études Supérieures de la Renaissance - Tours

Pereãt vnguẽta omnia: tuũ vnguentũ periit Adonis.
Recubat tener Adonis purpureis in vestibus:
Circa eum autem plorantes gemunt Amores,
Tõsi capillos propter Adonidẽ: & hic quidẽ sagittas,
Ille vero arcũ calcat: alius volucrẽ frãgit pharetram,
Alius calceamentum Adonidis soluit: alius lebetibu
Aureis fert aquam, alius femora lauat:
Alius retro alis refrigerat Adonidem.
Ipsam Cytheream adlamentantur Amores.
Extinxit totam facem in limine Hymenæus,
Et coronã nuptialẽ expandit: non amplius Hymen,
Hymẽ non amplius cãtilena est: [sed] cantatur Ah ah.
Ah ah propter Adonidem adhuc magis, ah propter Hymenæum.
Charites deplorant filium Cinyræ:
Periit pulcher Adonis, inter se dicentes,
Et id voce acutiore dicunt quam tu Dione.
Et Parcæ Adonidem deplorant Adonidem,
Et ipsum cantu reuocant. at ille non exaudit:
Non sane, neq; vult, Proserpina ipsum non dimittit.
Finem facito Cytherea lugendi, & hodie abstine a conuiuiis,
Nam te rursum lugere oportet, atque in aliũ annum lacrymari.

IDYLLIVM II.

Auceps [qui erat] adhuc adolescens, in nemore arboribus denso,
Dum venatur aues, fugitiuum vidit Amorem,
Buxi ramo insidentem. vt igitur animaduertit,
Gaudens (quoniam auis ei permagna videbatur)
Calamos simul omnes inter se coniungens,
Huc illuc transilientem obseruabat Amorem.

Tandem

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ὀλλύσθω μύρα πάντα, τὸ σὸν μύρον ὤλετ' Ἄδωνις.
Κέκλιται ἁβρὸς Ἄδωνις ἐν εἵμασι πορφυρέοισιν·
Ἀμφὶ δέ μιν κλαίοντες ἀναστενάχουσιν Ἔρωτες,
Κειράμενοι χαίτας ἐπ' Ἀδώνιδι· χὢ μὲν ὀϊστώς,
Ὃς δ' ἐπὶ τόξον ἔβαιν', ὃς δ' εὔπτερον ἆγε φαρέτραν.
Χὢ μὲν ἔλυσε πέδιλον Ἀδώνιδος· ὃς δὲ λέβησι
Χρυσείοις φορέησιν ὕδωρ, ὁ δὲ μηρία λούει·
Ὃς δ' ὄπιθεν πτερύγεσσιν ἀναψύχει τὸν Ἄδωνιν·
Αὐτὰν τὰν Κυθέρειαν ἐπαιάζουσιν Ἔρωτες.
Ἔσβεσε λαμπάδα πᾶσαν ἐπὶ φλιαῖς Ὑμέναιος,
Καὶ στέφος ἐξεπέτασσε γαμήλιον. οὐκέτι δ' ὑμὰν,
Ὑμὰν οὐκέτ' ἀειδόμενον μέλος ἄδεται, αἲ αἴ.
Αἲ αἲ καὶ τὸν Ἄδωνιν ἔτι πλέον, αἲ Ὑμέναιον.
Αἱ Χάριτες κλαίοντι τὸν υἱέα τῶ Κινύραο,
Ὤλετο καλὸς Ἄδωνις, ἐν ἀλλήλῃσι λέγοισαι·
Αὐταὶ δ' ὀξὺ λέγοντι πολὺ πλέον ἢ τὺ Διώνα.
Καὶ Μοῖραι τὸν Ἄδωνιν ἀνακλαίουσιν Ἄδωνιν,
Καί μιν ἐπαείδουσιν· ὁ δέ σφίσιν οὐκ ἐπακούει·
Οὐ μὰν οὐκ ἐθέλει, κώρα δέ μιν οὐκ ἀπολύει.
Λῆγε γόων Κυθέρεια, τοσήμερον ἴσχεο κώμων·
Δεῖ σε πάλιν κλαῦσαι, πάλιν εἰς ἔτος ἄλλο δακρῦσαι.

## ΕΙΔΥΛΛΙΟΝ β'.

Ἰξευτὰς ἔτι κῶρος, ἐν ἄλσεϊ δενδράεντι
Ὄρνεα θηρεύων, τὸν ἀπότροπον εἶδεν Ἔρωτα
Ἑσδόμενον πύξοιο ποτὶ κλάδον· ὡς δ' ἐνόασε,
Χαίρων ὥνεκα δὴ μέγα φαίνετο ὄρνεον αὐτῷ,
Τὼς καλάμως ἅμα πάντας ἐπ' ἀλλάλοισι συνάπτων,
Τᾷ καὶ τᾷ τὸν Ἔρωτα μεταλμένον ἀμφεδόκευεν.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Χὠ παῖς ἀσχαλάων ἕνεχ' οἱ τέλος οὐδὲν ἀπάντη,
Τὼς καλάμως ῥίψας ποτ' ἀροτρέα πρέσβυν ἵκανεν,
Ὅς νιν τάνδε τέχναν ἐδιδάξατο· καὶ λέγεν αὐτῷ,
Καί οἱ δεῖξεν Ἔρωτα καθήμενον. αὐτὰρ ὁ πρέσβυς
Μειδιάων κίνησε κάρη, καὶ ἀμείβετο παῖδα,
Φείδεο τᾶς θήρας, μηδ' ἐς τόδε τὤρνεον ἔρχευ.
Φεῦγε μακράν· κακὸν ἐστὶ τὸ θηρίον· ὄλβιος ἔσσῃ
Εἰσόκα μή μιν ἕλῃς· ἢν δ' ἀνέρος ἐς μέτρον ἔλθῃς,
Οὗτος ὁ νῦν φεύγων καὶ ἀπάλμενος, αὐτὸς ἀφ' αὐτῶ
Ἐλθὼν ἐξαπίνας, κεφαλὰν ἐπὶ σεῖο καθιξεῖ.

## ΕΙΔΥΛΛΙΟΝ γ'.

Ἁ μεγάλα μοι Κύπρις ἔθ' ὑπνώοντι παρέστα,
Νηπίαχον τὸν Ἔρωτα καλᾶς ἐκ χειρὸς ἄγοισα,
Ἐς χθόνα νευστάζοντα· τόσον δέ μοι ἔφρασε μῦθον,
Μέλπειν μοι φίλε βοῦτα λαβὼν τὸν Ἔρωτα δίδασκε.
Ὣς λέγε. χὰ μὲν ἀπῆλθεν· ἐγὼ δ' ὅσα βουκολίασδον,
Νήπιος, ὡς ἐθέλοντα μαθεῖν τὸν Ἔρωτα δίδασκον,
Ὡς εὗρε πλαγίαυλον ὁ Πὰν, ὡς αὐλὸν Ἀθάνα,
Ὡς χέλυν Ἑρμάων, κίθαριν δ' ὡς ἁδὺς Ἀπόλλων.
Ταῦτά μιν ἐξεδίδασκον· ὁ δ' οὐκ ἐμπάζετο μύθων,
Ἀλλά μοι αὐτὸς ἄειδεν ἐρωτύλα, καί μ' ἐδίδασκε
Θνατῶν ἀθανάτων τε πόθους, καὶ ματέρος ἔργα·
Κἠγὼν ἐκλαθόμαν μὲν ὅσων τὸν Ἔρωτα δίδασκον,
Ὅσσα δ' Ἔρως μ' ἐδίδασκεν ἐρωτύλα, πάντ' ἐδιδάχθην.

## ΕΙΔΥΛΛΙΟΝ δ'.

Ταὶ Μοῖσαι τὸν Ἔρωτα τὸν ἄγριον ἢ φοβέονται,
Ἢ κ θυμῷ φιλέοντι, καὶ ἐκ ποδὸς αὐτῷ ἕπονται.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Tandem vero adolescens indignatus, quia nihil pro-
Abiectis arūdinibus senem adiit aratorem, [ficiebat,
A quo hanc artem didicerat, eique rem narrauit,
Et sedentem ostendit Amorem. Porro senex
Subridens mouit caput, & respondit puero,
Abstine a venatione, nec istam auem insequitor,
Fuge procul; mala est hæc bestia: eris beatus
Dum non ceperis ipsam: sed si viri mensurã attigeris,
Ille qui nunc fugit & resilit, ipse sua sponte
Accedens subito capiti tuo insidebit.

## IDYLLIVM III.

Magna mihi Venus adhuc dormienti adstitit,
Infantem Amorem pulchra manu ducens,
In terram nutantem: atque his me verbis affata est,
Cantare mihi care bubulce sumptum Cupidinem doceto.
Sic loquuta abiit; ego autem quæcunque pastoralia carmina canere solebam,
Stultus, tanquam discere volentem Cupidinem do- [cebam,
Quomodo tibiam obliquam Pan inuenerit, Minerua tibiam,
Testudinem Mercurius, & citharam dulcis Apollo.
Hæc ipsum edocebã: at ille nihil curabat mea verba,
Sed ipse mihi canebat amatoria: meque docebat
Mortalium & immortalium amores, & genitricis [suæ] opera.
Tum ego oblitus sum illorũ quæ Cupidinẽ docebã;
At quæcunque me docebat Cupido amatoria, cuncta didici.

## IDYLLIVM IIII.

Musæ Amorem non metuunt crudelem,
Quin amant ex animo, & vestigia eius sequuntur.

Ac siquis

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ac si quis ingenio præditus inamabili [eas] sequatur,
Illum refugiunt, & docere nolunt:
At si mentem Amore agitatam habens, suauiter cecinerit,
Ad ipsum simul omnes festinæ confluunt.
Quod autẽ hic sermo plane verus sit, ego testis sum.
Nam si hominem quempiam alium aut immortalem carmine celebro,
Cessat mea lingua, nec vt ante solebat, canit:
Rursum quũ in Amorẽ vel in Lycidã aliquid modulor,
Tunc mihi lætum ore carmen profluit.

IDYLLIVM V.

Si pulchra mea sunt carmina, vel illa sola
Gloriã mihi afferẽt quæ iã antea mihi præbuit Parca:
Sin illa non probãtur, quid est quod amplius laborẽ?
Nam si nobis viuendi duo tempora dedisset
Siue Iupiter, siue Parca versuta, ita vt ageretur
Alterum cum lætitia & gaudio, alterum in labore,
Liceret post labores aliquando bonis frui:
At si dii vnum dumtaxat tempus annuerunt ad vitam [transigendam] venire
Hominibus, idque breue & minus omnibus,
Quam diu vah miseri in labores & opera nos fatigamus?
Et quousque animum ad lucra & artes
Applicam⁹, semper desiderãdo multo maiores opes?
Omnes sane obliti sumus, mortales nos esse natos,
Et quod breue tempus a Parca sortiti sumus.

Cleodamus & Myrson.

Vere ô Myrson, aut hyeme, aut autumno,
Aut æstate, quid tibi iucundum? & quodnam [ex his] magis optas aduenire?
Num ęstatem, quum omnia absoluta sunt quæcũque laboramus?

An

© Centre d'Études Supérieures de la Renaissance - Tours

Κἢν μὲν ἄρα ψυχάν τις ἔχων ἀνέραστον ὀπηδῇ,
Τῆνον ὑπεκφεύγοντι, καὶ οὐκ ἐθέλοντι διδάσκειν·
Ἢν δὲ νόον τῷ Ἔρωτι δονεύμενος ἁδὺ μελίσδῃ,
Ἐς τῆνον μάλα πᾶσαι ἐπειγόμεναι προρέοντι.
Μάρτυς ἐγὼν ὅτι μῦθος ὅδ᾽ ἔπλετο πᾶσιν ἀληθής.
Ἢν μὲν γὰρ βροτὸν ἄλλον ἢ ἀθανάτων τινὰ μέλπω,
Καμβαίνει μευ γλῶσσα, καὶ ὡς πάρος οὐκέτ᾽ ἀείδει·
Ἢν δ᾽ αὖτ᾽ ἐς τὸν Ἔρωτα καὶ ἐς Λυκίδαν τι μελίσδω,
Καὶ τόκα μοι χαίροισα διὰ στόματος ῥέει ᾠδά.

## ΕΙΔΥΛΛΙΟΝ ε'.

Εἴ μοι καλὰ πέλει τὰ μελύδρια, καὶ τάδε μοῦνα
Κῦδος ἐμοὶ θήσοντι τά μοι πάρος ὤπασε Μοῖρα·
Εἰ δ᾽ οὐχ ἁδέα ταῦτα, τί μοι πολὺ πλήονα μοχθεῖν;
Εἰ μὲν γὰρ βιότω διπλόον χρόνον ἄμμιν ἔδωκεν
Ἢ Κρονίδας, ἢ Μοῖρα πολύτροπος, ὥστ᾽ ἀνύεσθαι
Τὸν μὲν ἐς εὐφροσύναν καὶ χάρματα, τὸν δ᾽ ἐπὶ μόχθῳ,
Ἦν τάχα μοχθήσαντι ποθ᾽ ὕστερον ἐσθλὰ δέχεσθαι·
Εἰ δὲ θεοὶ κατένευσαν ἕνα χρόνον ἐς βίον ἐλθεῖν
Ἀνθρώποις, καὶ τόνδε βραχὺν καὶ μήονα πάντων,
Ἐς πόσον ἆ δειλοὶ καμάτως κ᾽ εἰς ἔργα πονεῦμες;
Ψυχὰν δ᾽ ἄχρι τίνος ποτὶ κέρδεα καὶ ποτὶ τέχνας
Βάλλομες, ἱμείροντες ἀεὶ πολὺ πλήονος ὄλβω;
Λαθόμεθ᾽ ἦ ἄρα πάντες ὅτι θνατοὶ γενόμεσθα,
Χ᾽ ὡς βραχὺν ἐκ Μοίρας λάχομεν χρόνον . . . .

### Κλεόδαμος καὶ Μύρσων.

Εἴαρος, ὦ Μύρσων, ἢ χείματος, ἢ φθινοπώρω,
Ἢ θέρεος, τί τοι ἁδύ; τί δὲ πλέον εὔχεαι ἐλθεῖν;
Ἢ θέρος, ἁνίκα πάντα τελείεται ὅσσα μοχεῦμες;

Ἢ γλυ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἢ γλυκερὸν φθινόπωρον, ὅτ' ἀνδράσι λιμὸς ἐλαφρά;
Ἢ καὶ χεῖμα δύσεργον; ἐπεὶ καὶ χείματι πολλοὶ
Θαλπόμενοι θέλγονται ἀεργίῃ τε καὶ ὄκνῳ;
Ἤτοι καλὸν ἔαρ πλέον εὔαδεν; εἰπὲ τί τοι φρὴν
Αἱρεῖται. λαλέειν γὰρ ἐπέτραπεν ἁ σχολὰ ἡμῖν.
μ. Κρίνειν οὐκ ἐπέοικε θεήια ἔργα βροτοῖσι·
Πάντα γὰρ ἱερὰ ταῦτα καὶ ἁδέα· σεῦ δ' ἕκατι
Ἐξερέω Κλεόδαμε, τό μοι πέλεν ἅδιον ἄλλων.
Οὐκ ἐθέλω θέρος ἦμεν, ἐπεὶ τόκα μ' ἅλιος ὀπτῇ·
Οὐκ ἐθέλω φθινόπωρον, ἐπεὶ νόσον ὥρια τίκτει·
Οὖλον χεῖμα φέρειν· νιφετὸν κρυμὼς τε φοβεῦμαι.
Εἶαρ ἐμοὶ τριπόθατον ὅλῳ λυκάβαντι παρείη,
Ἁνίκα μήτε κρύος μήθ' ἅλιος ἄμμε βαρύνει.
Εἴαρι πάντα κύει, πάντ' εἴαρος ἁδέα βλαστεῖ,
Χὰ νὺξ ἀνθρώποισιν ἴσα, καὶ ὁμοίιος ἀώς.

## ΤΟΥ ΑΥΤΟΥ
### εἰς Ὑάκινθον.

Ἀμφασία δὲ Βίων ἕλε τοσόνδ' ἄλγος ἔχοντα.
Δίζετο φάρμακα πάντα, σοφὰν δ' ἐπεμαίετο τέχναν·
Χρῖεν δ' ἀμβροσίῃ καὶ νέκταρι, χρῖεν ἅπασαν
Ὠτειλάν. Μοίραισι δ' ἀναλθέα φάρμακα πάντα.

## ΤΟΥ ΑΥΤΟΥ.

Ὄλβιοι οἱ φιλέοντες, ἐπὴν ἴσον ἀντεράωνται.
Ὄλβιος ἦν Θασεὺς τῶ Πειρίθόω παρεόντος,
Εἰ καὶ ἀμειλίκτοιο κατήλυθεν εἰς Ἀΐδαο.
Ὄλβιος ἦν χαλεποῖσιν ἐν ἀξείνοισιν Ὀρέστης,
Οὕνεκά οἱ ξυνὰς Πυλάδας ἄρητο κελεύθους.

Ἦν μά-

© Centre d'Études Supérieures de la Renaissance - Tours

An dulcem autumnum, quum hominibus fames leuis est?
An vero hyemem ad opera pigram? quoniam & hyeme multi,
Dum se calefaciunt, oblectantur otio & pigritia?
An v. tibi pulchrum ver magis placet? dic quid tibi a-
Eligit. loqui enim permittit otium nobis. [nimus
M. Iudicare non decet mortales diuina opera:
Omnia enim hæc sacra sunt, & iucũda: tui autẽ gratia
Dicam, Cleodame, quodnam præ aliis gratum sit.
Non volo æstatem esse, quoniam tunc me sol torret:
Nec volo autumnum, quoniam morbos fructus autumnales pariunt:
Perniciosum hyemẽ sufferre: niues pruinasq; timeo.
Ver mihi ter exoptatum toto anno adsit,
Quum neque frigus neque sol nos grauat.
Vere omnia fœcunda sunt, omnia vere suauia germi-
Et nox hominibus par, & par dies. [nant,

EIVSD. IN HYACINTHVM, fragmentum.

Consilii inopia Bionem occupauit tantum dolorem sustinentem.
Quærebat remedia omnia, & sapientẽ obibat artem:
Vnguebat etiam ambrosia & nectare, vngebat totum
Vulnus: sed Parcis omnia remedia vana sunt.

EIVSDEM

Beati qui amant, quum æqualiter redamantur.
Beatus erat Theseus quum Pirithous adesset,
Etiamsi implacabilis descẽderit in Plutonis [domũ.]
Beatus erat inter rigidos Axenos Orestes,
Quoniam communes cum eo Pylades susceperat profectiones.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Erat felix Æacides ſocio viuente Achilles:
Beatus erat moriens, quoniam ab eo mortem horrendam propulſauit.

EIVSDEM.

Non pulchrum [eſt] ô amice, omni de cauſa ad fabrum ventitare,
Neque in omnibus alio indigere: ſed & ipſe
Fabrica fiſtulam. eſt autem tibi facile opus.

EIVSDEM.

Muſas Amor vocet, Muſæ Amorem ferant:
Cantum Muſæ mihi ſemper cupienti donent,
Dulcem cantum, quo medicamentum iucundius nullum.

EIVSDEM.

Ex crebra gutta, vt prouerbiũ [eſt,] ſemper eunte
Etiam lapis in foramen cauatur.

EIVSDEM.

At ego bene procedens meumque iter, in loco decliui
Iſto, apud arenam & litus ſuſurro,
Duram obſecrans Galateam: dulcem vero
Spem ad extremam vſque ſenectutẽ non relinquam.

EIVSDEM.

Nec ſinas me ſine præmio: nam & Apollo pro cantu
Mercedem dedit. honor vero res meliores facit.

EIVSDEM.

Forma mulieribus eſt res decora: viris autem, fortitudo.

© Centre d'Études Supérieures de la Renaissance - Tours

"Ἦν μάκαρ Αἰακίδας ἑτέρω ζώοντος Ἀχιλλεῦς,
"Ὄλβιος ἦν θνάσκων ὅτι οἱ μόρον αἰνὸν ἄμυνεν.

ΤΟΥ ΑΥΤΟΥ.

Οὐ καλὸν, ὦ φίλε, πάντα λόγον ποτὶ τέκτονα φοιτῆν,
Μηδέ τι πάντ' ἄλλω χρέος ἰσχέμεν· ἀλλὰ καὶ αὐτὸς
Τεχνᾶσθαι σύριγγα· πέλει δέ τοι εὐμαρὲς ἔργον.

ΤΟΥ ΑΥΤΟΥ.

Μοίσας Ἔρως καλέοι, Μοῖσαι τὸν Ἔρωτα φέροιεν.
Μολπὰν ταὶ Μοῖσαί μοι ἀεὶ ποθέοντι διδοῖεν,
Τὰν γλυκερὰν μολπὰν, τᾶς φάρμακον ἅδιον οὐδέν.

ΤΟΥ ΑΥΤΟΥ.

Ἐκ θαμινῆς ῥαθάμιγγος, ὅκως λόγος, αἰὲν ἰοίσας,
Χὰ λίθος ἐς ῥωγμὸν κοιλαίνεται.

ΤΟΥ ΑΥΤΟΥ.

Αὐτὰρ ἐγὼν βασεῦ καὶ ἐμὰν ὁδὸν, ἐς τὸ κάταντες
Τῆνο, ποτὶ ψάμαθόν τε καὶ ᾐόνα ψιθυρίσδω,
Λισσόμενος Γαλάτειαν ἀπηνέα· τὰς δὲ γλυκείας
Ἐλπίδας ὑστατίω μέχρι γήραος οὐκ ἀπολείψω.

ΤΟΥ ΑΥΤΟΥ.

Μηδὲ λίπῃς μ' ἀγέραστον, ἐπὴν χὠ Φοῖβος ἀείδειν
Μισθὸν ἔδωκε· τιμὰ δὲ τὰ πράγματα κρέσσονα ποιεῖ.

ΤΟΥ ΑΥΤΟΥ.

Μορφὰ θηλυτέρησι πέλει καλὸν, ἀνέρι δ' ἀλκά.

ΤΟΥ ΑΥΤΟΥ,

## ΕΠΙΘΑΛΑΜΙΟΣ ΑΧΙΛΛΕΩΣ καὶ Δηϊδαμείας.

ΜΥΡΣΩΝ, ΛΥΚΙΔΑΣ.

Λῆς νύ τι μοι Λυκίδα Σικελὸν μέλος ἁδὺ λιγαίνειν,

Ἱμερόεν

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἱμερόεν, γλυκύθυμον, ἐρωτικόν, οἷον ὁ Κύκλωψ
Ἄεισεν Πολύφαμος ἐπ' ἠϊόνι Γαλατείᾳ;
λ. Κἠμοὶ συρίσδεν Μύρσων φίλον. ἀλλὰ τί μέλψω;
μ. Σκύριον Λυκίδα ζαλῶν μέλος, ἁδὺν ἔρωτα,
Λάθρια Πηλεΐδαο φιλάματα, λάθριον εὐνάν.
Πῶς παῖς ἕσσατο φᾶρος, ὅπως δὲ ἐψεύσατο μορφάν,
Χὤπως ἐν κώραις Λυκομηδίσιν ἀπαλέγοισα
Ἀηδήνητ' ἀπαστὸν Ἀχιλλέα Δηϊδάμεια.. *
λ. Ἅρπασε τὰν Ἑλέναν ποθ' ὁ βωκόλος· ἆγε δ' ἐς Ἴδαν,
Οἰνώνῃ κακὸν ἄλγος. ἐχώσατο ἁ Λακεδαίμων·
Πάντα δὲ λαὸν ἄγειρεν Ἀχαιϊκόν. οὐδέ τις Ἑλλάν,
Οὔτε Μυκηναίων, οὔτ' Ἤλιδος, οὔτε Λακώνων
Μεῖνεν ἑὸν κατὰ δῶμα, φέρων δυστὶν αὐὰν ἄρνα. *
Λάνθανε δ' ἐν κώραις Λυκομηδίσι μοῦνος Ἀχιλλεύς·
Εἴρια δ' ἀνθ' ὅπλων ἐδιδάσκετο, καὶ χερὶ λευκᾷ
Παρθενικὸν κόρον εἶχεν· ἐφαίνετο δ' ἠΰτε κώρα.
Καὶ γὰρ ἴσον τήναις θηλύνετο, καὶ τόσον ἄνθος
Χιονέαις πόρφυρε παρειῇς· καὶ τὸ βάδισμα
Παρθενικῆς ἐβάδιζε, κόμας δ' ἐπύκαζε καλύπτρῃ·
Θυμὸν δ' Ἄρεος εἶχε, καὶ ἀνέρος εἶχεν ἔρωτα;
Ἐξ ἀοῦς δ' ἐπὶ νύκτα παρίζετο Δηϊδαμείᾳ·
Καὶ ποτὲ μὲν κείνας ἐφίλει χέρα, πολλάκι δ' αὐτᾶς
Στόμ' ἀνὰ καλὸν ἄειρε, τὰ δ' ἀδέα δάκρυ' ἐπήνει.
Ἤσθιε δ' οὐκ ἄλλᾳ σὺν ὁμάλικι· πάντα δ' ἐποίει
Σπεύδων κοινὸν ἐς ὕπνον· ἔλεξέ νυ καὶ λόγον αὐτᾷ,
Ἄλλαι μὲν κνώσσουσι σὺν ἀλλάλαισιν ἀδελφαί·
Αὐτὰρ ἐγὼ μούνα μίμνω, σὺ δὲ νύμφα καθεύδεις.
Αἱ δ' ὑποπαρθενικαὶ συνομάλικες αἱ δύο καλαί.
Ἀλλὰ μόναι καὶ λέκτρα καθεύδομες· ἁ δὲ πονηρὰ
Νύσσα γὰρ δολία με κακῶς ἀπὸ σεῖο μερίσδει.
Οὐ γὰρ ἐγὼ σεῖο . . . . . —

Bioni a quibusdam tribuitur & illud paruum Idyllium cuius primus est versus Ἕσπερε τᾶς ἐρατᾶς χρύσεον φάος Ἀφρογενείας, quod inter Moschi Idyllia præcessit pag. 284, v. 14.

© Centre d'Études Supérieures de la Renaissance - Tours

9249

# ΣΙΜΜΙΟΥ

## ΤΟΥ ΡΟΔΙΟΥ

ΩΟΝ, ΠΤΕΡΥΓΙΟΝ, ΠΕΛΕΚΥΣ.

Τεῦ αὐτοῦ, ἢ, κατά τινας,

ΘΕΟΚΡΙΤΟΥ

ΣΥΡΙΓΞ, ΒΩΜΟΣ.

---

# SIMMIÆ RHODII

Ouum, Alæ, Securis.

EIVSDEM,

vel, vt nonnulli sentiunt,

THEOCRITI

*Syrinx, & Ara.*

© Centre d'Études Supérieures de la Renaissance - Tours

# HYPOTHESIS OVI SIMMIÆ RHODII.

Hoc Ouum poeta Dianæ offert, filiæ Latonæ, sororique Apollinis: in quo de iniuria musicæ seu poeticę quōdam a Mercurio facta conqueritur, qui, relictis carminib. traditaq; Apollini testudine (quæ dimidiatum Ouum refert) sese conuerterit ad alia, nempe ad quadrupedum curá, quibus nihil ineptius ad musicam: vnde prouerbium ὄνος πρὸς λύραν. Ouum autem quod offert, dicit esse velut auis cuiusdam μουσικωδέστης partum: significans hoc modo musicæ primum ortum ab ouo, hoc est a principio ipso, a se repeti. Monet interim ne in gremio collocet quum ad venationem proficiscitur, & choros cum sociis exercet. Porro prudenter poeta Ouū hoc offert Dianę: primum quod parturientibus adsit, vt est apud poetarum maximum, Casta faue Lucina, tuus iam regnat Apollo. Deinde quod soror Apollinis ipsa sit, qui musicam & poeticen ardenti studio amplexus est a Mercurio relictam. Postremo, quod castitatem summopere colat, quam verá musica, nempe Dorica, sui studiosis affert, insanos libidinum motus reprimens: vt est apud Platonem, Πολιτειῶν 3, & Aristotelem 8, & Boethium libro De musica primo, in præfatione. Cæterum venusta est metalepsis, qua ouum commutat in testudinem, quæ, vt dixi, dimidiatū Ouum refert: & rursus testudinem in Ouum. Ipsum autem OVVM ita emendamus vt videbis pagina tertia.

© Centre d'Études Supérieures de la Renaissance - Tours

## EDITIO SVPERIORVM impressionum.

Κωτίλας
ματέρος πῆ τόδ'
ὠὸν νέον, πρόφρων δὲ
θυμῷ δέξο δὴ ἀγνᾶ·
τὸ μὲν θεῶν ἐριβόας
Ἑρμῆς ἤικιζε κάρυξ, ὄνωγε δ' ὀρ..
ἐκ μέτρου μονοβάμονος μέτρον
πέρ' ἴθ' ὤϋξε. θοῶς δ' ὕπερθεν ὠκὺ
λέχριον φέρων νεῦμα ποδῶν πίασκε
θοαῖσί τ' αἰόλαις κῶλα ἀλλὰ σῶν ὀρσιπεδῶν
ἐλάφων τεκέεσσι πάλαι κραιπνοῖς ὑπὲρ
ἄκρων ἱέμεναι ποδὶ λόφων καταρυθμίας ἴχνος
πηήνας· καὶ τὸ ὁμόθυμος ἀμφίπαλτον αἶψ' οὐδ' αὐ-
θὴς ἐν κόλποις δεξάμενος πουκότητα· καὶ τάδ' ὠκοβόας
κοαῦ μεθέπων ἄφαρ, ὁ γηλασίων ἐφοβόλων ἀν' ὀ-
ρέων ἔσσυτ' ἀνάγκαις· ταῖς δὴ δαίμων κλυταῖς θο-
ποσὶ πονέων πολύπλοκα μεθίει μέτρα μολπαῖς· ῥίμφα
πείκοτον ἐκλιπὼν ὄρθος σύναυ ματρὸς πλακτὸν καιόμενος
βαλίαις ἑλεῖν τέκος. λαχαὶ δ' οἰῶν πολυβότων ἀν' ὀρέων
νόμον ἔβαν, τανυσφύρων τ' ἄντρα νυμφῶν. ταὶ δ' ἀμβρότῳ
πόθῳ φίλας ματρὸς ῥόωντ' αἶψα μεθ' ἱμερόεντα
μαζόν, ἴχνει θένων τὸν παναίολον Πιερίδων μο-
νόδουπον αὐδὰν, ἀριθμὸν δ' εἰς ἄκρον δέκα
δ' ἰχνίων κόσμον νέμοντα ῥυθμὸν φίλος
λεσβρετῶν ὑπὸ φίλας ἑλὼν πτέ-
ρυσσι ματρός· λίγα μιν
κ' ἀμφὶ ματρὸς ὠδῖς
ἀγνᾶς ἀηδόνος Δω-
είας ἀγρίου.

Omnia fere corrupta, e quibus vix vllum sensum quis elicere possit.



© Centre d'Études Supérieures de la Renaissance - Tours

Κωτίλας
ματέρος τὶ τόδ᾽
ὠὸν νέον· πρόφρων
θυμῷ δέξο δὴ ἁγνά.
τὸ μὲν θεῶν ἐριβόας
Ἑρμῆς ἀείκιζε κάρυξ, ὄνω δ᾽ ὄρ-
σας ἐκ μέτρου μονοβάμονος μέταν
πάροιθεν αὔξε, θοῶς δ᾽ ὕπερθεν ὠ-
κὺ λέχριον φέρων νεῦμα ποδῶν, πίασκε
θοιαῖσιν αἰόλαις κῶλ᾽. ἀλλὰ σὺν ὀρσιπέδων
ἐλάφων τεκέεσσι, πάλαι κραιπνοῖσιν ὑπὲρ ἄ-
κρων ἱεμένα ποσὶ λόφων κατὰ ῥύθμιον ἴχνος
τιθήνας, καὶ τὰν ὁμοθύμων ἀμφίπαλτον αἶψ᾽ οὐδ᾽ αἰ-
θῆς ἐν κόλποις δεξαμένα πυκνότητα. τῶ δ᾽ ὠκυβοᾷ
κραι(μεθέπων τόδ᾽ ἄφαρ) ὅγ᾽ ἐκ λασίων ὀφιοβόλος ἀ-
γ᾽ ὀρέων ἔσσυτ᾽ ἀνάγκαις. τὸ δὴ δαίμων κλυταῖσι, θοοῖσι
ποσσὶ πονέων, πολύπλοκα μετῆγε μέτρα μολπαῖσι. ῥίμφα
πτελικόμψον ἐκλιπὼν ὄρους εὐναὶ, ματρὸς πλαγκτὸν χαιομθύας
βαλίαις ἑλεῖν τέκος. λάχαι δ᾽ οἴων, πολυβότων ἀν᾽ ὀρέων
νεμὸν ἔβαν, τανυσφύρων τ᾽ ἄντρα νυμφῶν. τοὶ ἀβρῶπ
ματρὸς φίλας πόθῳ ῥόων αἶψα μεθ᾽ ἱμερόεντα
μαζὸν, ἴχνει θένων τὰν παναίολον Πιερίδων
μονόδουπον αὐδὰν, ἀριθμὸν εἰς ἄκρον δέκα
ἰχνίων κόσμιον νεῖμε ῥυθμὸν, φίλος
λεπυρωτὸν ὑπὸ φίλας ἑλὼν πέ-
τροισι ματρός. Λίγεια μὲν
κ᾽ ἀμφιμάτριος ὠδὶς
ἁγνᾶς ἀηδόνος, ὠ-
ρύων δ᾽ ἄγριος.

© Centre d'Études Supérieures de la Renaissance - Tours

# SIMMIÆ RHODII

## OVUM.

*Canora*
*matris quoddã hoc*
*ouum nouum; lubens*
*aio suscipe igitur ô casta.*
*Huic quidem ex diis clamosius*
*Mercurius caduceator notam iussit, cumque asino impetu*
*[desciscens] a metro singularis incessus, ob [ipsum ouum]*
*contigue prosiliit: citoque desuper cele-*
*rẽ obliquum ferẽs gressum pedũ, premebat*
*iugis pernicib mẽbra. Sed cũ [tuorũ] solũ quas-*
*santiũ ceruorũ sobole, iãpridẽ pernicib. super sum-*
*mos incedens pedibus colles iuxta concinnũ vestigiũ*
*matris, & sociarum vndique peltis denso, facile ne*
*posueris in gremio, admisso comitatu. A facundo vero*
*accepturus (tractans hoc ilico) ex hirsutis serpentu percussor*
*mõtib. erumpebat fataliter. his ergo dæmon præclaris (pernices*
*pedes exercens) multiplicia persequebatur metra cantib. subito*
*ornatũ cũ liquisset montis lectum, matre errabũdum flagrãte*
*equis recipere filiũ. Sorte v. quæ obtigerant oues fertiliũ mõtiũ*
*pascua obibant, velociumque antra nympharum. tunc auido*
*matris caræ desiderio se promouens statim ad amabilem*
*mammam, vestigio edebat variam Pieridum vnius*
*sonitus vocem, numerum vero adusque summũ decẽ*
*vestigiorum venustũ distribuit rhythmũ, carus*
*testaceam [testudinẽ] sub caræ cũ cepisset sa-*
*xis matris. Canorus quidem vel*
*in vtero partus castæ lusci-*
*niæ, sed oryum ferus.*



© Centre d'Études Supérieures de la Renaissance - Tours

Κωτίλας 3
ματέρος τῇ τόδ' 5
ὠὸν νέον· πρόφρων 6
θυμῷ δέξο δὴ ἁγνά. 7
τὸ μὲν θεῶν ἐριβόας 8
Ἑρμᾶς ἀείκιζε κάρυξ, ὄνω δ' ὄρ- 11
σαις ἐκ μέτρου μονοβάμονος μέτρων 11
παρρίθεν ἀίξε, θοῶς δ' ὕπερθεν ὠ- 12
κὺ λέχριον φέρων νεῦμα ποδῶν, πίασκε 13
θοαῖσιν αἰόλαις κῶλ'. ἀλλὰ σὺν ὀρσιπέδων 14
ἐλάφων τεκέεσσι, πάλαι κραιπνοῖσιν ὑπὲρ ἄ- 15
κρων ἱεμένα ποσὶ λόφων κατὰ ῥύθμιον ἴχνος 16
τιθήνας, καὶ τὰν ὁμοθύμων ἀμφίπαλτον αἶψ' οὐδ' αὖ 16
θῆς ἐν κόλποις δεξαμένα πυκνότητα. τῶνδ' ὠκυβοᾶ 17
κεαῦ (μεθίπων τόδ' ἄφαρ) ὅγ' ἐκ λασίων ὀφιοβόλος ἁ 18
ν' ὀρέων ἔσσυτ' ἀνάγκαις ταῖς δὴ δαίμων κλυταῖσι, θοοῖσι 18
ποσσὶ πονέων, πολύπλοκα μεθῆς μέτρα μολπαῖσι, ῥίμφα 18
πρεικόμενον ἐκλιπὼν ὄρνυς εὐνάν, ματρὸς πλακτὸν καιομένας 19
βαλιῶς ἑλεῖν τέκος. λάχαι δ' οἴων, πολυβότων ἀν' ὀρέων 20
νομὸν ἔβαν, τανυσφύρων τ' ἄντρα νυμφῶν. τοκ' ἀβρῶπι 16
ματρὸς φίλας πόθῳ ῥόων αἶψα μεθ' ἱμερόεντα 16
μαζὸν, ἴχνει θένων τὰν παναίολον Πιερίδων 15
μονόδουπον αὐδὰν, ἀριθμὸν εἰς ἄκρον δέκα 14
ἰχνίων κόσμιον νέμε ῥυθμὸν, φίλος 12
λεπυρωτὸν ὑπὸ φίλας ἑλὼν πε- 11
τροισι ματρός. Λίγα μὲν 8
κ' ἀμφιμάτριος ὠδὶς 7
ἁγνᾶς ἀηδόνος, ὠ- 7
ρίων δ' ἄγριος. 5

© Centre d'Études Supérieures de la Renaissance - Tours

## Idem OVVM a IOSEPHO SCALIGERO sic emendatum.

Κωτίλας ματέρος τῆ τόδ' ᾠὸν νέον. πρόφρων δὲ θυμῷ δέξο, δῖα γύναι. Τὸ μὲν θεῶν ἐριβόας Ἑρμῆς ἤνεγκε κᾶρυξ. ἄνω δ' ὀρῶν ἐκ μέτρου μονοβάμονος μάταν παρεῖθεν ἤιξεν· θοῶς δ' ὕπερθεν ὠκὺ λέχριον φέρων νεῦμα ποδῶν πλιξάσκε χνόαισιν αἰόλαις κῶλα. Ἀλλά σφι ὀρσιπόδων ἐλάφων τεκέεσσι πάλαι κραιπνοῖς ὑπὲρ ἄκρων ἱεμένα ποσὶ λόφων κατ' ὀρθμίας ἴχνος τιθήνας καί τις ὠμόθυμος ἀμφίπαλτ' αὖψα . . θείς, ἐν κώλοις δεξάμενος κτυφότητα, κεμάδ' ὠκυβόας Πὰν μεθέπων, ἄφαρ δίχηλα σείων ὕφη ποδῶν, ἂν' ὀρέων ἔσσυτ' ἀνάγκαις, ῥίμφα περίκροτον ἐκλιπὼν ὄρους εὐναίν, ματρὸς πλαγκτὸν μαιόμενος βαλίας ἑλεῖν τέκος. βλαχαὶ δ' οἴων πολυβότων ἂν' ὀρέων νόμον ἔβαν, τανυσφύρων τ' ἄντρα νυμφῶν· ταὶ δ' ἀβρῶν πόθῳ φίλας ματρὸς ῥόαν τ' αὖψα μέθ' ἱμερόεντα μαζόν. ταῖς δὴ δαίμων κλυτὰς θοοῖς ποσὶ πονέων πολύπλοκα μέλεα μέτρα μολπᾶς, ἴχνη θένων τὰν μονόδουπον αὐδάν. ἀρρύθμων δ' ἐς ἀέρ ἐσκέδασ' ἰχνίων κόμπον, αἰνεμόεντα ῥυθμὸν, φίλος λεπυρωτὸν ὑπὸ φίλας ἑλὼν πτερύγισι ματρός. &c.



© Centre d'Études Supérieures de la Renaissance - Tours

# ΣΙΜΜΙΟΥ ΤΟΥ ΡΟΔΙΟΥ

## Πτερύγιον.

Δεῦσέ με τὸν γᾶς τε βαθυστέρνου ἄνακτ' ἀκμονίδαν, τὰν ἄλλα θ' ἑδράσαντα·
Μηδὲ τρέσῃς εἰ, τόσος ὢν, δάσκια καὶ λάχνα φέρω γένεια·
Τᾶμος ἐγὼ γὰρ γενόμαν, ἁνίκ' ἔκραιν' ἀνάγκα·
Πάντα δ' ὑπείκεσκε φρεσὶ ταῖς λυγραῖς,
ἑρπετὰ θ' ἅπανθ' ὅσ' ἕρπει
δι' αἴθρας,

χάους τε.
Οὔτι γε Κύπριδος παῖς·
Ὠκυπέτας δ' αὐτὸς Ἔρως καλεῦμαι.
Οὔτι γὰρ ἔκρανα βιάζειν, πρᾳέγω δὲ πειθοῖ·
Γαῖα, θαλάσσας τε μυχοὶ, οὐρανίων πᾶς τε θεός μοι εἶκε.
Τῶν δ' ἐγὼν ἐκνοσφισάμην ὠγύγιον σκᾶπτρον, ἔκραινά τε σφιν θέμιστας.

ALÆ.

Intuere me, qui ſum telluris vaſti thoracis rex, cælumque & mare qui condidi.
Neque horreas ſi (quum ſim tantus) denſum & hirſutum fero mentum.
Tunc enim ego natus ſum quando viſum eſt neceſſitati:
Omnia autẽ obtemperabant [eius] voluntati grauiſſimæ,
animaliaq; omnia, quæcunque [nunc] peragrant
aeris regionem,

& Chaos.
Neque vero [ſum] Veneris filius:
Pernix tamen ipſe Amor nominor:
Neq;. n. mihi decretũ eſt vi ptrahere, ſed leniter adduco pſuaſione.
Tellus; mariſque receſſus, cæleſtium etiam quilibet deus mihi cedit.
Ab his ego remoui vetus ſceptrum, & conſtitui ipſis iura.

© Centre d'Études Supérieures de la Renaissance - Tours

## Securis.

Fortissimae deae dono Phocensis (robustissimi inuenti gratiam referens) Mineruae,
Tunc quum sacram fato ignifero vrbem concremauit,
Nõdũ numerat⁹ inter principes ppugnatores populorũ:
Nunc vero Homericam ingressus est viam
Ter beatus quem in animo
Hic felicitatem

Quã Biõ inclytis cecinit diis, qui reperit, Rhodi quũ esset, multiplicia solus metra carminis

Dedit Epeus securim, qua quondã turriũ a diis extructarũ disturbauit verticem,
Ac Dardanidarum funditus euertit reges,
Sed a fontibus purum liquorem importabat inglorius,
Quae tua est gratia, casta, o multi cõsilii Pallas.
Propicia circunspexeris.
Semper redolet.

© Centre d'Études Supérieures de la Renaissance - Tours

. Πέλεκυς, κατ' ἐνίους Θεοκρίτου.

Ἀνδροθέᾳ δῶρον ὁ Φωκεὺς, κρατερᾶς μηδοσύνας ἦρα τίνων, Ἀθάνᾳ.
Τᾶμος ἐπεὶ τὰν ἱερὰν κηρὶ πυρίπνῳ πόλιν ᾐθάλωσε,
Οὐκ ἐνάριθμος γεγαὼς ἐν προμάχοισι λαῶν.
Νῦν δ' ἐς Ὁμήρειον ἔβα κέλευθον,
Τρισμάκαρ ὃν σὺ θυμῷ
Τὸν ὄλβος

Τὸν Βίων κλυθεῖς ἦσε θεοῖς, ὃς ἀνὴρ Ῥοδιεὺς γεγαὼς πολύτροπα μηνῶος μέτρα μολπᾶς

Ὦπας Ἐπειὸς πέλεκυν, ᾧ ποκα πύργων θεοτεύκτων κατήρειπεν αἶπος,
Δαρδανιδᾶν δ' ἐξυφελίξ' ἐκ θεμέθλων ἀνάκτων.
Ἀλλ' ἀπὸ κρανᾶν καθαρὰν νᾶμα κόμιζε δυσκλεής.
Σαὶ χάριν, ἁγνὰ ὦ πολύβουλε Παλλάς.
Ἵλαος ἀμφιδέρχθης.
Ἀεὶ πνεῖ.

© Centre d'Études Supérieures de la Renaissance - Tours

## ΣΥΡΙΓΞ.

Σύριγξ εὔνομ' ἔχεις, ἀλλ' δέ σε μέτρα σοφίης
Οὐδενὸς εὐνάτειρα, μακροπτολέμοιο δὲ μάτηρ
Μαίας ἀντιπάτροιο θοὸν τέκες ἰθυντῆρα,
* Οὐχὶ Κεράσταν, ὅν ποτε θρέψατο ταυροπάτωρ.
Ἀλλ' ἀπέλεπες οὗ αἶθε πάρος φρένα τέρμα σάκους,
Οὗ 'νομ' ὅλον δίζων, ὃς τᾶς μέροπος πόθον
Κούρας γηρυόνας αἶθε τᾶς ἀνεμώδεος.
Ὃς μοίσα λιγὺ πᾶξεν ἰοστεφάνῳ
Ἕλκος ἄγαλμα πόθοιο πυρισφαράγου,
Ὃς σβέσεν ἀνορέαν ἰσαυδέα
Παπποφόνου, Τυρίας τε ἀφείλετο,
Ὧι τόδε τυφλοφόρων ἐρατὸν
* Πᾶμα Πάρις θέτο Σιμιχίδας
Ψυχάν, ὦ βροτοβάμων,
Στήτας οἶστρε δέτας,
Κλωποπάτωρ, ἀπάτωρ,
Λαρνακόγυιε, χάροις,
Ἁδὺ μελίσδοις
Ἔλλοπι κούρᾳ
Καλλιόπᾳ
Νηλεύστῳ.

© Centre d'Études Supérieures de la Renaissance - Tours

## SYRINX.

Syrinx nomen habes, inſpirant autem te metra ſapientiæ.
Neminis ô coniux, e lõginquo vero pugnãtis mater,
Nutricis eius qui patri aduerſatus, celerem peperiſti actorem, [trem habuit:
Non Ceraſten, quem olim nutriuit ea quæ taurũ pa-
Sed reliquiſti eũ cuiꝰ quõdã torruit mẽtẽ ãbitꝰ ſcuti,
Cuius nomen totũ geminũ, qui variæ vocis amorem
Puellæ vocalis incendit inſpirabilis:
Qui [Pan] Muſæ canorum cõpegit violis coronatæ
Hulcus delectamentum amoris ignei,
Qui extinxit virtutem cognominem
Interfectoris aui, & a [terra] Tyria ſuſtulit.
Cui [Pani] hunc peras portantium amabilem
Theſaurum Paris poſuit Simichidas
Animo. ô calcator hominum,
Mulieris furor Lydæ,
Ex fure patre nate, patre carens,
O ſolidungule ſalue,
Suauiter canas
Voce carenti puellæ
Pulchre vocali
Inuiſibili.

© Centre d'Études Supérieures de la Renaissance - Tours

## ARGVMENTVM,

Troilus Hecubæ filius, quum ab Achille amaretur, nec ei copiam sui facere vellet, ideoque in Apollinis templum confugisset, ad eius aram ab Achille trucidatus (quemadmodum & testatur Lycophron) & ibidem postea sepultus est. Philoctetes deinde quum hoc sepulcrum attentius forte considerarer, a ser-

## SIMMIÆ ARA, seu, secundum aliquos, Theocriti.

Sum viri osor,
Infelix puber,
In cinere cubans iuuenis Empusæ gnatus,
Bubulci & canis filius, quem
Aureus amasius, quando accendi virum
Ferreis præditum membris ducem, perdidit.
Quem frater duarum vxorum maritus
Occidit a matre abiectus:
Meũ vero monimẽtũ cõsiderãs
Dearum iudicis interfector
Trinoctis vstor,
Exiliit cum clamore.
Læserat enim eum veneno
Serpens deposita senectute.
Illum autem hærentem in insula,
Panisque matris coniux, fur
Bis natus, filiusque hominum voratoris,
Troiæ populator, sagittarum gratia
In Teucriam deduxit ter captam.

© Centre d'Études Supérieures de la Renaissance - Tours

seu DECLARATIO ARÆ, G. Canteri.

ret, a serpente qui sub ara latebat, morsus est. Hæc fere sunt quæ Troilus ipse in hoc Epigrammate, partim de se, partim de Philoctete narrans inducitur. Restat vero vt Epigramma ipsum, prout carminis ratio poscere videtur, describatur, quemadmodum idem Canterus emendatum atque expositum dedit.

ΣΙΜΜΙΟΥ ΒΩΜΟΣ, ἢ καθά τινας, Θεοκρίτου.

*In præced. edit.*

1 μοὶ στήσας
2 πόσις μέροψ δίσπαβος
3 οὐ
4 μέροψ
5 τεκνώματος,
6 ἀπάτωρ
7 δίστευνος
8 τεῦγμα θρήσας
9 ἦρ

Εἰμ' ἀρσενος 1 μιοητής,
Ὁ 2 δύσμορος δύσπαβος 3,
Σποδδύνας ἶνις Εμπύσας 4 χόρος·
Ὁ βούτα καὶ κινός 5 τέκνωμα, τὸν
Χρυσοῦς αἶτας, ἆμος εὖσ' ἄνδρα
Τὸν γηόχαλκον σύρον, ἔρραισεν.
Ὃν 6 ὀπάτωρ 7 δισευνος
Μόρησε ματρόρριπτος.
Εμὸν δ' 8 τεῦγμ' ἀθρήσας
Θεοκρίτοιο κτάντας,
Τριεσπέροιο καύτας,
Αἶξεν ἀναΐξας.
Χαλεψε γάρ νιν ἰῷ
Σύργαστρος ἐκδὺς γῆρας.
Τὸν δ' ἐλιπευῶτ' ἐν ἀμφικλύστῳ,
Πανος τε ματρὸς εὐνέτας, φῶρ
Δίζωος, ἶνίς τ' ἀνδροβρώτας,
Ιλιοπέρσας ἀρδίων 9 ἦρ
Ες Τευκρίδ' ἄγαγε τρίπορθον.

© Centre d'Études Supérieures de la Renaissance - Tours

© Centre d'Études Supérieures de la Renaissance - Tours

# ΣΧΟΛΙΑ ΕΥΡΙΣΚΟΜΕΝΑ ΕΙΣ ΤΑ ΘΕΟΚΡΙΤΟΥ ΕΙΔΥΛΛΙΑ,

ΕΚ ΔΙΑΦΟΡΩΝ ΑΝΤΙΓΡΑ-φων ἐπιμελῶς εἰς κοινὴν ὠφέλειαν συλλεχθέντα,

παρὰ ΖΑΧΑΡΙΟΥ ΚΑΛΛΙΕΡΓΟΥ τοῦ Κρητός.

Ex Officina Commeliniana.

M D C I.

925

© Centre d'Études Supérieures de la Renaissance - Tours

© Centre d'Études Supérieures de la Renaissance - Tours

VIRIS CLARISS.

# M. MARTINO MYLIO GYMNASII GORLICENSIS RECTORI,

ET

*M. MELIORI LAVBANO SCHOLÆ GOLDPERGICÆ PRORECTORI,*

*amicis honorandis.*

MAGNAM Hieronymus Cõmelinus laudem eſt meritus, quod dum vixit, eos ſibi delegit auctores typis deſcribendos, quorum inter veteres illuſtre olim nomen fuit, quorumque ex lectione ampliſſimum literati fructum conſequuntur. Sed non minor Iudam Bonnutium manet gloria, qui quam Cõmelinus feliciter exorſus eſt operarum telam, eam feliciſſimè ſtudet pertexere. Huius cura in lucem nunc prodit ille eruditiſſimorum quorumq; votis tantoperè deſideratus Athanaſius: huius cura præclarum Inſcriptionum opus Iani Gruteri vigiliis confectum breui publicabitur. Huius eiuſdem cura hæ quoque Zachariæ Calliergi in Theocritum ſcholæ, & multo quidem quam olim correctiores, nunc exeunt: quas, quoniam neſcio quid mihi in eas iuris vendico, non

© Centre d'Études Supérieures de la Renaissance - Tours

co, non tam vobis, viri honorandi, quam per vos discipulis vestris mitto, minime dubitans, tanto e-das Theocritum auditoribus vestris gratiorem red-dituras, quanto illi clarius sibi lumen ad Theocri-tum intelligendum inde accendi senserint. Vos lau-datissimis Bonnutii conatibus bene precabimini, & Scultetum, qui vel absens de scholis patriæ com-munis bene mereri cupit, amare non desinetis.

Valete viri fratres & saluete ab eo, qui omni studio vester est,

ABRAHAMO SCVLTETO
Grünbergensi.

© Centre d'Études Supérieures de la Renaissance - Tours

# INDEX VERBORVM, QVÆ IN SCHOLIIS IN THEOCRITVM GRAMMATICE EXplicantur.

## A


ἄβρας 116. 38. 37.
ἀγγέλλω ἀμηνύω differt 119. 18.
ἄγη 156. 39.
ἀδεῖα & ἄδεια 31. 10.
ἀδίαντον 202. 22.
ἄδονες 243. 25.
Ἀδώνιος κῆπος 220. 4.
Ἄδωνις 247. 1. 39.
ἀδὺ 1. 3.
ἄζα 107. 3.
ἀηδὼν 151. 34.
ἄθως 139. 9.
αἴγειρος 126. 12.
Αἰγιαλεὺς 238. 11.
Αἴγιλος 41. 32.
Αἰγίπυρος 81. 34.
αἰθαλόεν πέταυρον 196.
Αἰθαλίωνες 151. 11.
αἶθε 142. 25.
αἶκα 5. 33.
Αἶμος 139. 39.
αἰπολικὸν 12. 24.
Αἴσαρος 79. 32.
Αἴτης 192. 18. 27. 234.
Αἴτνα 164. 35. 187. 8.
αἶψα, αἰψηρὸς 243. 1.
Ἀκανθίς 151. 36.
ἄκην 241. 22.
ἀκράχολος 236. 27.
ἀκρὶς 173. 10.
ἄκυλος 104. 11.
ἀλάβαστρα 220. 7.
Ἄλεος 121. 31.




© Centre d'Études Supérieures de la Renaissance - Tours

| | | | |
|---|---|---|---|
| ἁλιόκαυστον | 175.25. | ἄνθεα | 220.9. |
| Ἄλκιμος | 83.21. | ἀξενος | 206.23. |
| ἀλκυόνες | 135.30.136.20. | ἀπαρέσκομαι | 23.31. |
| | | ἀπεκρέθλω | 162.36. |
| Ἀλκυὼν | 135.25. | ἀπευκτὸς | 180.20. |
| ἀλοὴ | 18.23. | Ἆπις | 238.15. |
| ἅλως ἀλωαὶ | 31.18. | ἀποβάλλω | 184.17. |
| ἀλωὰ | 18.15. | Ἄρατος | 113.7. |
| ἅλως | 18.23. | Ἀρβέλη | 130.4. |
| ἀμβροσία | 141.29. | Ἀργεία | 226.40. |
| ἀμολγὲς | 163.21. | Ἀρέθουσα | 35.37. |
| ἀμὸς | 235.36. | Ἄριστις | 144.2. |
| ἄμπυκι | 13.22. | Ἀρκαδικὴ ἑορτὴ | 145.39. |
| ἄμυλος | 167.11.21. | ἄρκευθος | 105.5. |
| Ἀμύκλαι | 176.35. | ἄρραστον | 44.16. |
| ἀμύσσω | 205.35. | ἄρριζον | 44.11. |
| ἀμυχαὶ | 205.37. | ἀρρηνὲς | 237.37. |
| ἀμφίθυρον | 210.29 | ἀσπάλαθος | 88.8. |
| ἀναβάλλω | 117.17. | ἀστεμφὲς | 248.6. |
| ἀνάλητος | 87.40. | Ἀσφόδελος | 137.38. |
| Ἄναυρος | 241.26. | ἀταρτηρὸν | 231.39. |
| ἄνδηρα | 103.37.104. | ἀτέραμνος | 171.18. |
| ἀνεμώνη | 103.23. | ἀτιμαγελεώτης | 261.3. |
| ἀνέλπιστον | 85.36. | ἀτιτάλλω | 219.30. |
| ἀνεπίλνατος | 242.34. | ἀτρακτύλις | 87.14. |
| ἄνηθος | 155.8. | αὖαι. | 106.40. |
| ἀνήλινον | 136.40. | αὐλεῖν | 138.20. |


Αὐσονία

© Centre d'Études Supérieures de la Renaissance - Tours

Αὐσονία &
Αὔσων 245.6.
αὗται 107.5.
Ἀφρογένεια 242.16.
ἀφρόνιτρος 147.29.
Ἀχάρναι 138.23.
ἄχερδος 237.1.
ἄωτος. 199,22.

B

Βαίται 92.35.
βάσκανος 92,17.
βάτος ἡ & ὁ 38.38,
βάτραχος 132.20.
βαύζω 114.37.
βδέλλα 52.34. 185.33.
βδέλλω 185.31.
Βερονίκη 219.21.
Βλέμυες 147.9.
βληχᾶσθαι 97.19.
βλήχων 98.35.
βολβὸς 208.39.
βουγᾶος 169.20.
βουκολιάζω 131.25.
βούρεια 124.12.
βούῤῥινα 125.7.
βρασίλας & βρασίδας

diuersi 126.24.
βύβλινος οἶνος 208.32.
βυβλὶς 147.34.

Γ

Γανυμήδης 195.7.230.21.
γαυλοὶ 98.37.
γαῦρος 184.21.
γεώλοφον 9.8.
γλαῦκα 83.15.
γλίνη 238.31.
περιγλινόμενη 238.0.
γλυκύμαλον 186.6.
γλύφανος 12.28.
γλύφω 12.27.
Γολγὸς 219.8.
γραπτὴ cur dicatur ὑάκινθος 175.36.176.1.
γράψαι 116.24.
γριπιδὸς 15.4.
γρυπὸς 185.21

Δ

δαγὺς 58.7.
δασίκερκος 107.15.
δεικανάεσκεν 236.24.



© Centre d'Études Supérieures de la Renaissance - Tours

δείλη, ἕωα & ὀψία 170. 32.
Δευκαλίωνες 221.8.
διδυματόκος 202.9.
δίσσεα 86.8
διώκη 248.16.
δοῦλος 91.12.
Δοχμὸς 233.26.
δράγματα 154.20.178. 33.
δράκανος 239.5.
δραχμὴ 178.36.
δρέψασθαι 185.7.
δρυμύλαι 236.13.
δρύινον 166.15.
δρυὸς γένη πέντε 166. 39.

E

ἔθειρα 13.25.
ἐθειράζω 13.25.
οὖθαρ 238.24.
εἴλως 222.23.
εἴσπλινος 192.16.24.
ἑκάτη 45.6.
ἐλινύω. 180.9.
ἑλίχρυσος 12.32.
ἕλκειν τοὺς πόδας pro βαδίζειν 128.35.
ἐλλοποιεύω 15.30.
ἔμβρυον 166.26.
ἐν οἷ 212.20.
ἔνηβος 155.7.
ἔνθα 156.2.
ἔνοσις & ἐννοσίγαιος 242.4.
ἐπαναφορὰ quid 164.25.
ἐπίκουρος 155.15.
ἐπιπλαίρω 143.22.
ἐπιτυμβίδιος 129.6.
ἐργατίνης 169.27.
ἐρείδω 94.30.
ἐρίζω 94.30.
ἔριφοι 135.22.
Ἔρυξ 219.12.
ἕρπειν 121.18.
ἔῤῥε 229.15.
ἐρωὴ 246.18.
ἐσσυμένως 233.27.
εὐκέλτος 131.9.
εὐκτὸς 180.18.
Εὖρος 146.39.
Εὐρύθεμις 120.38.
Εὐρώπεια 241.17.

ἐφιλα-

ἐφίλαθεν 136.28.
ἐχθρὸς 118.9.

Z

Ζέοντης 100.24.
ζέω 100.24.

H

Ἡδωνοὶ 146.29.
ἤλιψ 87.39.
ἤμενος 19.4.
ἦμες 142.27.
ἠμιγένειος 113.33.
ἠνδαίω 204.30.
ἠπεροπεύω 240.2.
ἠρωεῖν 247.14.

Θ

Θαλύσια 121.36.
θαλλὸς 86.5.
θάψος 56.6.
θέμεν 63.30.
θηεῦντο 242.8.
θεῖον 212.10.
θρόνα 52.12.

θύειν 43.20.
θύμβρεις 36.20.

I

ἴα 246.18.
ἴδαι 225.24.
ἰδάλιον 219.10.
ἰδὲ 114.27.
ἴλαθι 221.15.
ἱμέρα 109.33. 139.13.
ἰνδάλλομαι 233.4.
ἴπτω 240.10.
ἰξία 119.8.
ἴυγξ 47.1.
ἰυκτὴς 150.20.

K

Καζαύτης 9.3.
καθίζας 8.28.
καιρὸς & χρόνος quomodo differãt 121.16
κακοχεάσμων 81.7.
καλαμαία 173.17.
καπυραὶ 115.35.
Κάρνεα 100.38.
Κασταλίδες 152.24.



© Centre d'Études Supérieures de la Renaissance - Tours

καταπίπτω 248.7.
κνώκασος 139.11
Καχάζω 112.4.
καχλάζειν 115.12.
κελέβη 43.7.
κέονται 110.25.
κερουλκίδες 112.17.
κερουχίδες 112.12.& 14.
κιανοὶ 190.35.
κιγκλίζω 108.17.
κίναδος 95.1.
κιναίθα 42.21.106.13.
κῖος 199.38.
κίσσα 111.7.
κισσαίθα 42.17.25.
κισσὸς 110.32.
κισσύβιον. 11.33.
κλᾶξ 142.10.
κλείω κλείσω, κληίσω
κλάσω, κλαξῶ 119.33.
κλύζω 12.13.
Κλυτία 122.32.
κνακὸν 127.8.
κνίδη 146.23.
κνίζα 81.38.
κνύζα 137.32.
κνυζηθμὸς 119.3.
κνώδαλον 232.3.
κοιλότητες 119.10.
κόκυξ 151.3.
κόλος 160.3.
κομάσαι 39.13.
κονία 12.37.
κόρθυς 179.13.
κόροιφος 89.1.
κορυδαλὸς 180.11.
κορύνη 167.29.
κορυπτιλίδες 129.6.
κορύπτιλος 112.24.
κόττω 120.28.
κοτυτηρὶς 120.33.
κράθι 109.38.
κράθις 93.14.
κρήγυον 230.7.
κριθὴ 131.13
Κυανέαι 198.20.
Κύδων 126.33.
κυκλάμινος 109.27.
κυμαίθα 86.22.
κυνόσβατος 103.16.
κύττισος 176.21.
κῶ 122.39.123.31.
κώπηρος 106.11.
κωπηλαρήματα 229.24.
κωτίλλη 218.9.


Λαβυριν-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Λ


Λαβύρινθοι ἐκ σχοίνων 231.5.
λαγωβόλον 86.32.150.2.
λαζῖμαι & λάζυμαι 243.3.
λαιοτμῶ 170.25.
λακίνιον 83.29.
λάμπτηρ 161.23.
λάρναξ 140.2.
λείβειν 43.27.
λέπρας 15.8.
λευκὸς pro λυκὸς 185.3.
λυκίτης 112.19.
λῆς 8.22.
λῆδα 231.1.
λιάζω 248.8.
λίθος ἡ 130.6.
λιλαιόμενος 233.24.
λίνον 40.20.
λὶς 195.31.
λυδία λίθος 195.12.
λυκωπίτας λυκώπη, ληκωτος 138.25.
λωτὸς 236.20.


M


Μαλακὸς 98.19.
μαλθακὸς 145.15.
μάλιμνον 81.9.
μαλοπάρηος 238.38.
μάνδρα 88.31.
μάννος 186.29.
μάντις 173.14.
μέγα pro μεγάλως 100.35.
μεγαίρειν 144.27.
μελάγχλαινος 243.32.
μελάμπους 73.29.
μελίζειν quid 3.33.
μελιτῶδες 218.31.
μελιχραὶ 104.22.
μεσάτη 126.20.
μεσημβρινὸν 9.23.
μεταμώλια 233.35.
μήκων 188.15.
μηνυτὴς 239.6.
μηνύω & ἀγγέλλω quomodo differant 119.31.
μικκύλα 240.5.
μινυροὶ 196.26.
μιτυλήνη 244.29.


μολων

© Centre d'Études Supérieures de la Renaissance - Tours

Μόλων 149.18.
μυσῶν ὄρνιθες 133.39.
μύγδονες 242.26.

N

Νέκταρ 141.28.
νεῖλος 146.18.
νὴ στερητικὸν 247.1.
Νήαιθος 81.30.
Νηρηΐδες 136.23.
Νικάνωρ 124.21.
νόμος 156.13.
Νύμφαι 143.2.
νύττω 229.6.
νωδὸς 167.3.

Ξ

ξενέα 138.35.
ξυστὶς 55.3.

O

Ὄγμος 170.9.
οἰέτης 241.24.
ὀϊζυρὸς 169.29.
οἰκέτης 91.13.
οἰναρίζειν 150.30.
οἰνωπὸς 233.1.
οἰστρεῖν & οἶστρος 118.24.
οἰφεῖν 88.40. 89.3.
ὀλολογῶν 151.23.
ὁλοότροχοι 233.6.
ὀλοφυγδὼν 168.3.
ὅμολος 144.36.
ὄμφαξ 184.33.
ὀπανίκα 234.34.
ὀρέγω 111.3.
ὁρμίαι 231.3.
ὄρνιθες μυσῶν 133.39.
ὀροδαμνίδες 150.40. & 151.1.
ὀρταλιχοι 196.24.
ὀρχάτου & ὄρχου discrimen 19.57.
ὄσον 85.25.
ὄχνη 39.22.
ὀψαμάτης 271.12.
ὀψίγονος 136.8.

Π

Παίναλος 230.13.
πυκτᾶς 230.11.
παλαίστρα 149.14.

Πὰν

© Centre d'Études Supérieures de la Renaissance - Tours

Πὰν vnde dictus 4.32.
πᾶν 146.16.
παρὰ 165.20.
Πάραρος 213.4.
Παρία 120.20.
Πάρνασος 165.20.
Πάρος 244.27.
πατρωνυμικῶς dictorum exempla 128. 22.132,1.
Παφίη, πάφος 248.13.14,
πείκειν 105.11.
Πελείαδες 199.11.
Πελίδων ἀνατολοὶ 201. 3.
πελίδνωμα 105.20.
πέλωρ καὶ πέλωρον 246. 3.
πέλλαμα 105.24.
πενέσται 222.21.
περιβάλλω 184.20.
περιγλινώμενος 238.30.
περισώμος 239.8.
περονατρὶς 214.4.
πέτευρον 196.30.
πίων 152.9.238.1.
πλαθῆναι 220.8.
πλακὸν 127.32.
πλαταγώνιον 188.18.
πλατυάζω 218.17.
πλουτῆι 243.30.
ἐκ ποδὸς 125.3.17.
πολύγναμπτος 138.5.
Πραξιτέλης 116.22.
Πρήπος 10.30.
προσβάλλω 184.18.
πρῦσαι 199.31.
πρύσιος 199.38.
Πρυτανεῖον 231.32.
πρωτοτόκος 102.8.
πταρμὸς 143.23.
πτελέα 137.8.
Πτερέλας 235.18.
Πυθαγορικοὶ & Πυθαγόρειοι differunt 207. 21.
πυκάζω 230.10.
πύρριχος 80.17,
Πύρρος 83.19.
πύξα 150.10.

P

ῥαδινὸν 186.29
ῥάμφος

ῥὶς &

© Centre d'Études Supérieures de la Renaissance - Tours

ῥὶς & ῥύγχος quomodo differant 119. 15.
ῥοδόπη 139. 20.
ῥοπαλὸν 167. 33.
ῥύγχος 119. 13.

Σ

Σάτυροι 89. 18.
σαῦρος & σαῦρα 129. 1.
σεσαρὼς 128. 1.
σία 110. 3.
σιμαὶς μέλισσαι 141. 2.
σίμβλον 141 12.
Σιμιχίδα 128 7.
σιμὸς 185. 19.
Σιμὼν 149. 19.
Σιμωνίδης 222. 34. 244. 20.
σινῆσθαι 240. 13.
Σισυφὶς ἀκτὰ 233. 28.
σκαλὶς 172. 24.
σκαίρειν 89. 4.
σκαπάνη 79. 15.
σκαφίδες 99. 6.
σκιάδιον 215. 3.
σκίλλα 109. 11.
σκιπναῖον 223. 37.
Σκοπάδαι 222. 25.
σκύζειν 221. 27.
σκύλακες 46 31.
σταγὼν 151. 33.
στασῶ 98, 30.
στεῖραι 164. 37.
στιβάδες 200. 4.
στίβεις 137. 30.
στρόμβος 168. 40.
στρυμόνιος 243 26.
Σύβαρις 99. 11.
συρίζειν 3. 39. 130. 17.
συρικτὴς 130. 8.
σχαδόνες 41. 24.

T

Τάμισος 127. 24.
τέπητης 220. 27.
ταρσοὶ 185. 36.
τέτμοιμεν 227. 36.
Τήλεμος 117. 27.
τῆνος pro ἐκεῖνος 3. 22.
τηΰσίως 238. 26.
τίκτω qualia composita habeat 112. 5.
τίτυρος 138. 31.

τρόπιον

© Centre d'Études Supérieures de la Renaissance - Tours

τριόπιον 227.31.
τρίοψ 227.21.
τρυγὼν 151.34.
τρὺξ 138.15.
τρύχνος 177.15.
τυρόεις 23.3.
τυτθὸν 17.6.
Τυφλὸς cur dicatur Pluto 17 4 19. 175.3.

Υ

ὑάκινθος 175.34
ὑβὸς 97.38.
Ὑετὶς 147.33.
Ὕλας 195.38. 201.28.
ὑπομαζοὶ 248.1.

Φ

φάανθεν 241.36.
φύλαρος 156.12. 105.40.
φαλὸν 106.6.
φάρυγος 236.4.
φάσις 198.3.
φάσσα 104.37. 105.1.
φέσθαι 144.30.
φηγὸς 166.31.
φθονεῖν pro μέμφεσθαι 144.30.
φθόνος pro μέμψις ibid
φθύζειν 149.52.
Φιλαμμονίδας 237.9.
φιλεχθὴς 111.17.
Φιλητᾶς 132.9.
Φιλῖνος 145.15.
φίλος 118.6.
φιλοποίμνιος κύων 106.30.
Φοίνικες 223.15.
φέλος 153.5.
Φορωνεὺς 288.19.
φαρμαγμὸς 112.6.
φιμάσσομαι 111.28.
φύκων 136.12.

Χ

χαίτη 115.33.
χάλκων 123.29.
χανδάνω 204.29.
χαὸν 122.14.
χελιδόνιον 202.19.
χείρων 153.5.


χορία

© Centre d'Études Supérieures de la Renaissance - Tours

χόρεια 166.16.20.
χρόνος & καιρὸς quomodo differant 121.16.

Ψ

ψαλίσματα 193.31.
ψιθύρισμα 1.16.
ψυδράκια 193.30. & 37.
ἐκ ψυχῆς βόσκει 157.15.

Ω

ὠδήκαντι 16.24.
ὥρεια 136.32.
ὥρειον ἔαρ 142.19.
Ωρίων 231.29.
Ωρομέδων 133.1.
ὦπρος 131.27.

FINIS.

© Centre d'Études Supérieures de la Renaissance - Tours

# ΣΧΟΛΙΑ ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ ΕΙΣ ΤΑ ΘΕΟΚΡΙΤΟΥ ΕΙΔΥΛΛΙΑ,

Ἐκ διαφόρων ἀντιγράφων ἐπιμελῶς εἰς κοινὴν ὠφέλειαν συλλεχθέντα παρὰ ΖΑΧΑΡΙΟΥ ΚΑΛΛΙΕΡΓΟΥ τοῦ Κρητός.

## Εἰς τὸ Α Εἰδύλλιον.

ἉΔΥ τι τὸ ψιθύρισμα, καὶ ἁ πίτυς αἰπόλε τήνα.] ἁδύ τι, ψιλοῦται τὸ α. οἱ γὰρ Δωριεῖς τρέποντες τὸ η τὸ δασὺ, εἰς α ψιλούμενον τρέπουσιν, ὑπεξαιρουμένων τῶν ἄρθρων. τὸ γὰρ η τὸ ἄρθρον τραπὲν εἰς α, οὐ ψιλοῦσιν, ἀλλὰ δασύνουσιν. Ἐν ἄλλῳ, οὕτω τὸ ἁδὺ, τινὲς λέγουσιν ὅτι ψιλοῦται, τοῦ η τρεπομένου εἰς α, Δωρικῶς. καὶ εἰ μὲν οὗτοι ἀληθεύουσι, ψεύδεται ὁ Θεόκριτος, —πάνθ᾽ ἅλιος γράφων· καὶ, Οὐχ᾽ ἁμῖν τὸν ἔρωτα· καὶ, —τί ποθ᾽ ἁδύ· καὶ ἄλλα πολλὰ τοιαῦτα ἐναντιούμενα τῷ κανόνι. ¶ Ψιθύρισμα. ψιθυρίζουσι γὰρ αἱ πίτυς πρὸς τὰς πνοὰς τῶν ἀνέμων σχιζόμεναι. Ψιθύρισμα δὲ, ἢ τὸ μέλισμα, ἢ τὸ σύριγμα, ἢ τὸ κροῦμα. Ἄλλως· ψιθύρισμα, τὸ μινύρισμα. ὀνοματοπεποίηται δὲ ἡ λέξις παρὰ τὴν τοῦ ἤχου ἰδιότητα, κατὰ μίμησιν τῆς φωνῆς. Ψιθύρισμα, μέλισμα, λάλημα· ὅθεν καὶ ψίθυρος, ὁ λάλος· ἡ δὲ φωνὴ τῶν κατὰ μίμησιν, καθάπερ καὶ τὸ κελαρύζειν. Ὅμηρος, —κατειβόμενον κελαρύζει. Γίνεται δὲ ἀπὸ τοῦ ψίω, τὸ λεπτύνω, ἐξ οὗ καὶ ψιαὶ παρ᾽ Ὁμήρῳ. κυρίως δὲ λέγεται ψιθυρίζειν, τὸ ἐν τοῖς ὠσί τινα λεπτὸν ἦχον ἠχεῖν παρὰ τὸ ψίειν ἐν ταῖς θύραις, ἤγουν ταῖς ἀκοαῖς. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν δένδρων. ψιθυρίζουσι γὰρ αἱ πίτυς ὅταν ῥιπισθῶσι, τῇ στενότητι τῶν φύλλων σχιζομένης τῆς πνοῆς· ὡς Ἀριστοφάνης ἐν Νεφέλαις, Τῆμος χαίρων ὁπόταν πλάτανος ψιθυρίζῃ. Ἡ δὲ διάνοια καὶ τὸ ἑξῆς, ἔχει οὕτως· αἰπόλε, καὶ ἡ πίτυς ἐκείνη, ἥτις ἐστὶ περὶ ταῖς πηγαῖς ἡδεῖαν τινὰ μελίζει ἤγουν μετὰ μέλους καὶ ῥυθμοῦ τινὸς ἀφίησι τὴν τῶν φύλλων λεπτὴν ἀπήχησιν. τοῦτο γὰρ νῦν τὸ ψιθύρισμα μεταφορικῶς, ἀπὸ τῶν ἀνθρώπων. ἡδὺ δὲ μέλος καὶ σὺ τῇ σύριγγι μέλπεις αἰπόλε. Ἄλλως. Ἡδὺ μὲν τὸ τῆς πί-



© Centre d'Études Supérieures de la Renaissance - Tours

τινος ψιθυρισμοῦ ἐκείνης τῆς παρὰ ταῖς πηγαῖς λιγυρῶς ᾀδούσης· ἡδὺ δὲ καὶ σὺ ὦ αἰπόλε ψιθυρίζεις. Ἄλλως. Τὸ ψιθυρίζειν τινὲς ὀνοματοποιεῖσθαί φασιν, ὡς τό, κρίκε ζυγόν· καὶ τό, σίζε δ' ὀφθαλμός. κυρίως δέ, ἐπὶ τῶν ψευδομένων, τὸ ψιθυρίζειν λαμβάνουσι. ψίθυρ ψίθυρος, ὡς μάρτυρ μάρτυρος· καὶ ψίθυρος ψιθύρου, ὡς μάρτυρος μαρτύρου. τὸ δὲ ψίθυρ, παρὰ τὸ ψίθος. ὃ σημαίνει τὴν λοιδορίαν· ἢ παρὰ τὸ ψίω, τὸ λεπτύνω, καὶ τοῦ θύρα. σημαίνει δὲ τὰ χείλη περιφραστικῶς. τὸ δὲ ψίθος, ἀπὸ τοῦ ψεῦδος· ἀποβολῇ τοῦ ο, καὶ τροπῇ τοῦ ε εἰς ι, καὶ τοῦ δ εἰς θ, ψίθος. Αἰπόλοι δέ εἰσιν, οἱ ἐν τοῖς αἴπεσι, τουτέστιν ὑψηλοῖς τόποις καὶ τραχέσι τὰς αἶγας νέμοντες. οὕτω γὰρ φιλεῖ τὸ ζῶον. ¶ Τήνα] εὐθεῖα ἀντὶ τοῦ ἐκείνη. οἱ γὰρ Δωριεῖς τὸ ἐκεῖνος, τῆνος λέγουσι· καὶ τὸ ἐκείνη τήνα, ἀναλόγως τὰ θηλυκά. καὶ ἄλλως· τήνα. Δωρικῶς οὕτω λέγεται ἀντὶ τοῦ ἐκείνη. οἱ γὰρ Δωριεῖς ποτὲ μὲν γράφουσι τὸ τ ἀντὶ τοῦ κ, ὡς ἐνταῦθα· ποτὲ δὲ τὸ κ ἀντὶ τοῦ τ. ἐκείνη γὰρ τήν, καὶ κατὰ ἀφαίρεσιν τοῦ ε, κείνη· ἐκβολῇ τοῦ ι, καὶ τροπῇ τοῦ ε εἰς η, καὶ τοῦ κ εἰς τ, καὶ τοῦ η εἰς α, τήνα. Μελίσδεται. Αἰολικόν ἐστιν ἀντὶ τοῦ μελίζει, ὅ ἐστι λιγυρῶς ἠχεῖ καὶ ᾄδει. μέλη γὰρ τὰς ᾠδὰς ἔλεγον. ὡς καὶ Πίνδαρος τὸν Πᾶνα φάσκων, τὸ σαυτοῦ μέλος γλάζεις· τουτέστιν, ἑαυτῷ ᾠδὴν ᾄδεις.

3 Τυρίσδες] ἀντὶ τοῦ συρίζεις Δωρικῶς. οἱ γὰρ Δωριεῖς, τὰ δεύτερα πρόσωπα τῶν ῥημάτων τὰ εἰς εις λήγοντα, εἰς ες ποιοῦσι· τὸ ι μόνον ἐκθλίβοντες. τὸ συρίζεις γὰρ συρίσδες γράφουσι. ὡς καὶ ἐν τοῖς ἀπαρεμφάτοις τὸ συρίζειν, συρίσδεν. διαλύουσι δὲ τὸ ζ, εἰς τά, ἐξ ὧν ἦν συγκείμενον, στοιχεῖα. Ἄλλως. Συρίζειν τὸ διὰ σύριγγος μέλπειν. ὡς παρὰ σαλπίζειν τὸ διὰ σάλπιγγος φωνεῖν, καὶ αὐλεῖν, τὸ δι' αὐλοῦ μέλπειν, ὡς ἀπὸ τούτων δῆλον, Χ' ὡ μὲν τῷ, σύριγγ', ὁ δὲ τῷ καλὸν αὐλὸν ἔδωκεν· Αὔλει Δαμοίτας, σύρισδε δὲ Δάφνις ὁ βούτας. συρίζω καὶ τὸ μετὰ σύριγγος λέγω, ἢ φθέγγομαι· συρίττω δὲ ἐπὶ συρισμοῦ, τὸ διὰ τοῦ στόματος ἀμεταβάτως. καὶ συρίττω ἐπὶ χλευασμοῦ μεταβατικῶς, οἷον, συρίττω τινά, ἀντὶ τοῦ χλευάζω. καὶ τῶν συριττομένων ἐστίν, ἤγουν τῶν ἐμπαιζομένων. διαφέρει τὸ ᾄδειν, τοῦ συρίζειν καὶ τοῦ αὐλεῖν καὶ τῶν τοιούτων, τῷ τὰ μὲν μέλος ἔχειν μόνον· τὸ δὲ ᾄδειν ἐπὶ λόγου λέγεσθαι ἐμμελοῦς. ¶ Μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ] ἤγουν, ἀπολαβὼν οἴσεις, τουτέστιν, ἐν τῇ μολπῇ τῇ διὰ τῆς σύριγγος, τὰ δευτερεῖα τοῦ Πανὸς ἕξεις· τῶν δὲ ἄλλων, τὰ πρωτεῖα. Πᾶνα] τὸν Πᾶνα, οἱ μὲν λέγουσιν υἱὸν Πηνελόπης καὶ πάντων τῶν μνηστήρων, καὶ διὰ τοῦτο λέγεσθαι καὶ Πᾶνα. Ἐπιμενίδης δὲ ἐν τοῖς ποιήμασιν αὐτοῦ, Διὸς καὶ Καλλιστοῦς, Πᾶνα καὶ Ἀρκάδα διδύμους. Ἀρίσιππος δὲ ἐν τῷ Ἀρκαδικῷ, Διὸς καὶ νύμφης Οἰνηΐδος. οἱ δὲ λέγουσι διὰ τοῦτο Πᾶνα, ὅτι τῆς ὥρας

© Centre d'Études Supérieures de la Renaissance - Tours

ὥρας ἐστὶ σημεῖον· ταυτέστι τοῦ παντός. ὅθεν κυρίως προσαγορεύεται Πάν. συνοικειοῦσθαι γὰρ ἡ μορφὴ τοῦ θεοῦ τῷ περιέχοντι. καὶ τὸ μὲν τῶν κεράτων ἀπομίμημα, ἡλίου καὶ σελήνης, καὶ μηνίσκους φασὶν εἶναι, τὸ δὲ πορδάλιν εἰλῆφθαι, τῆς φαντασίας ἕνεκα· τὰ δὲ κάτω λάσια τῶν τῆς γῆς μερῶν, καὶ τῶν ἐν αὐτῇ πεφυκότων· τὴν δὲ σύριγγα, τῶν ἐν τῷ κόσμῳ πνεομένων μίμησιν εἶναι, τὸ δὲ αἰγωπὸν, τῶν καταιγίδων τὰς ἀφνιδίους ταραχὰς καὶ τῶν ἀπὸ νεφῶν γινομένων περὶ τὸν ἀέρα μεταβολῶν· τὰ δὲ κάτω τουτέστι τοὺς μηροὺς δασεῖς, σημαίνοντας τοὺς ὑλώδεις τόπους. καὶ τὰ κάτω βραχέα, σημαίνοντα τῶν ὀρῶν τὰ τραχέα. ἔχει δὲ καὶ τῇ μιᾷ χειρὶ τὸ δρέπανον, σημαῖνον τὴν ἐργασίαν· τῇ δὲ ἄλλῃ τὴν σύριγγα, σημαίνουσαν τοὺς ἀνέμους. Τὸ δὲ δεύτερον, ἐνίοτε μὲν ἐπὶ τάξεως λέγεται, ἐνίοτε ἐπὶ ἀριθμήσεως, καθάπερ τὸ πρῶτον, καὶ τὸ τρίτον, καὶ τὰ τῆς ἀκολουθίας ταύτης. ἐνταῦθα δὲ τὸ δεύτερον, καὶ τὸ πρότερον σημαινόμενον λέγεται. ¶ Ἀποισῇ. κομίσῃ, ὡς τὸ λαψῇ, ἀντὶ τοῦ λήψῃ.] τοὺς γὰρ μέλλοντας περισπῶσιν οἱ Δωριεῖς, δεξῆ, λαψῆ, γραψῆ, καὶ τὰ ὅμοια. ¶ Αἶκα] τὸ αἶκα ἀντὶ τοῦ εἴκεν ἐστὶ· τὴν γὰρ ει δίφθογγον τρέπουσιν οἱ Δωριεῖς εἰς τὴν αι. τὸ δὲ ε ψιλὸν, εἰς α βραχύ. οἷον, εἴκεν, αἶκα, ἄρτεμις, ἄρταμις. κακῶς οὖν ὁ Θεόκριτος ἐξέτεινε τὸ α νῦν. τῶν γὰρ Δωριέων εἰς α βραχὺ τὸ ε τοῦ ὑποτακτικοῦ συνδέσμου τρεπόντων, οὗτος ἐξέτεινεν, ὃ καὶ παρακαλῶν, σημείωσαι.

4 Λαψῆ] ἐκτέταται τὸ λα, διὰ τὸ εἶναι δωρικὸν, ὥς φησιν Ἀσκληπιάδης, ἐπεί φησιν ὅτι καὶ βραχύ ἐστιν.

5 Αἴκα δ' αἶγα λάβῃ τῆνος] ἤγουν, εἰ μὴ ἔχει τις τράγον διδόναι τῷ θεῷ, καὶ δώσει αἶγα θήλειαν, συλλήψῃ χίμαρον, ἐπὶ θηλυκοῦ. Χίμαρος γὰρ ἀρρενικῶς μὲν ὁ τράγος, θηλυκῶς δὲ, ἡ ἐνιαυσιαία αἶξ, ἡ ἑνὸς χειμῶνος οὖσα. μᾶλλον δὲ ἀδύνατον μὴ ἔχειν τινὰ τράγον, ἀλλ' εἰ θελήσει ὁ θεὸς αἶγα λαβεῖν, σοὶ δοθήσεται χίμαρος. τὸ δὲ καταρρεῖ μεταφορικῶς ἀντὶ τοῦ κατενεχθήσεται, τὸ σύντονον τῆς δόσεως διὰ τοῦ καταρρεῖ δηλοῖ.

6 Ἔστε κ' ἀμέλξῃς ἀντὶ τοῦ ἀνάμελκτος. ἐκ δὴ τούτου, τὴν μήπω τετοκυῖαν δηλοῖ. ὅτι δὲ τῆς μήπω τετοκυίας τὸ κρέας ἥδιόν ἐστι, φησὶ καὶ Ἡσίοδος· Καὶ βοὸς ὑλοφάγοιο κρέας μήπω τετοκυίας. γράφεται καὶ, ἔς τ' ἂν ἀμέλξῃς. Ἐν ἄλλῳ· αἴκα τῆνος] Ἐὰν ἐκεῖνος λάβῃ κερασφόρον τράγον (κεραὸς γὰρ καὶ κερασφόρος, ταὐτό· τοσοῦτον ὅτι τὸ μὲν ποιητικόν ἐστι, τὸ δὲ κερασφόρος, κοινόν) αἶγα σὺ λήψῃ. ἐὰν δὲ αἶγα λάβῃ ἐκεῖνος γέρας, εἰς σὲ καταρρεῖ καὶ καταρρεύσει, ἤγουν εἰσελεύσεται ἡ χίμαρος ἀπὸ μεταφορᾶς τοῦ ὕδατος. τὸ σύντονον δὲ τῆς δόσεως διὰ τοῦ καταρρεῖ δηλοῖ. ¶ Χιμάρῳ δὲ καλὸν κρέας] Τῇ χιμάρῳ δὲ καλὸν κρέας ἐστὶν, ἕως ἂν ἀμέλξῃς αὐτήν. Ἔριφος, μέχρι τριῶν καὶ



© Centre d'Études Supérieures de la Renaissance - Tours

τεττάρων μηνῶν. Χίμαιροι ἐπὶ θηλυκοῦ, ἕως ἐνιαυτοῦ, τουτέστιν, ἕως ἂν τέκωσι καὶ ἀμελχθῶσιν. ἀφ' οὗ δὲ τέξεται ἡ χίμαιρα, οὐκέτι χίμαιρα λέγεται, ἀλλὰ χίμαιρα ἢ αἴξ· αὕτη γὰρ αἴξ, καὶ χίμαιρα. ἐπὶ δὲ τῶν ἀρρένων, ἔριφος, καὶ τράγος. οἱ δὲ ποιηταὶ καὶ ἐπὶ τοῦ ἄρρενος, τὸν αἶγα λέγουσι. καὶ ἔστιν αὐτοῖς κοινὸν ὄνομα τὸ αἴξ, ὡς ἔλαφος, ἄνθρωπος, ἵππος. ὃ δὲ ἐπὶ τούτων ἔριφοι, τοῦτο ἐπὶ τῶν προβάτων ἄρνες καὶ ἀμνοί. καὶ ὃ αἶγες ἐνταῦθα, τοῦτο ἐπ' ἐκείνων ὄιες. ὁ δὲ τράγος ἐπὶ τούτων, τοῦτο ἐπ' ἐκείνων κριός. νομεῖς δὲ οἱ τῶν προβάτων, καλοῦνται ποιμένες· οἱ δὲ τῆς ἑτέρας μερίδος, αἰπόλοι. θεοῖς δὲ ἐχρῶντο οἱ νομεῖς, τῷ Πανὶ καὶ ταῖς Μούσαις, καὶ ἐπὶ ταῖς Νύμφαις. καὶ ταῖς μὲν Νύμφαις, καὶ τῷ Πανὶ, ὡς ἐν τοῖς ὄρεσι διατρίβοντες, ὑγρότητος θεοῖς καὶ αὐτοῖς οὖσι, καὶ ἐν τοῖς ὄρεσι διατρίβουσι· τῷ δὲ Πανὶ, ὡς χρωμένῳ σύριγγι, καὶ ἐπιστήμονι, καὶ ἐφόρῳ αὐτῆς ὄντι, ἧς καὶ αὐτοὶ ἐπιμελοῦνται· ταῖς δὲ Μούσαις, διὰ τὸ μέλειν αὐτοῖς ᾠδῶν, ὧν αὗται ἔφοροι.

7 Η τὸ καταχές] Καταφερὲς ἢ ἠχοῦν ἢ καταχὲς, τὸ καταχεόμενον, ἢ ὑπηχοῦν, καὶ ὑπορροιζοῦν ἐν τῷ καταφέρεσθαι. Ἐν ἄλλῳ. Η τὸ καταχές. Εἰ μὲν μετὰ τὸ ὕδωρ ἐπῆγε τὸ τό, ταυτὸ δ' ἦν ἀμθμιον τῷ ὅ, εἶχεν ἂν ὁ λόγος σαφέστερον οὕτω· ἡδύτερον ὦ ποιμὴν τὸ σὸν μέλος. ἢ ἐκεῖνο τὸ ὕδωρ, ὅ ἀπὸ ὑψόθεν ἀπὸ τῆς πέτρας καταφέρεται μετὰ ἤχου. νῦν δὲ προτάττεται αὐτό. καὶ δυσνόητον ποιεῖ τὸν λόγον, τῷ ὑποτακτικῷ ἄρθρῳ συνεπταγμένον. συνήθες δὲ τὸ τοιοῦτον καὶ τῷ πεζῷ λόγῳ.

9 Αἴκα ταὶ Μῶσαι] παραβέβληται ὁ μὲν αἰπόλος τῷ Πανί· ὁ δὲ ποιμὴν ταῖς Μούσαις. ὁ δὲ νοῦς, οὕτως· ἐὰν αἱ Μοῦσαι τὴν οἶδα, ἤγουν τὴν οἶν τὸ θῆλυ πρόβατον δῶρον ἄγωνται, αὐτὴν δὲ λάβωσιν, Ἄρνα σὺ σακίταν λήψη γέρας. σηκῖται δὲ ἄρνες, οὓς ἐπιγάλακτος δεομένους, οἱ νομεῖς τῶν μητέρων χωρίζοντες, ἰδίᾳ βόσκουσι, καὶ ἐν ἰδίῳ σηκῷ κλείουσιν· ἐὰν δὲ ἀρέσκῃ ἐκείναις ἄρνα λαβεῖν, σὺ δὲ τὴν οἶν ὕστερον ἀξεῖς, λαβὼν οἴσεις, τουτέστιν ἐν τῇ ᾠδῇ τὰ δευτερεῖα τῶν Μουσῶν ἕξεις.

12 Λῇς ποτὶ τᾶν νυμφᾶν] ἀντὶ τοῦ βούλει, καὶ θέλεις. ἀπὸ δὲ ῥήματος τοῦ λῶ, τὸ θέλω ὅθεν καὶ λῷον τὸ ἐπωφελὲς, ὃ πάντες θέλομεν ἡ Δωρικὸν τὸ λῇς, μετὰ ἀφαίρεσιν τοῦ θε συλλαβῆς. ὁ Θύρσις δὲ τοῦτο λέγει. Τῇδε ἐνθάδε ἢ ἐκεῖσε. Τὸ δὲ καθίξας Δωρικὸν, τροπῇ τοῦ σ, εἰς ξ. οἱ γὰρ Δωριεῖς τὸν μέλλοντα τῆς τετάρτης συζυγίας τῆς ληγούσης εἰς ζ, διὰ τοῦ ξ ἐκφέρουσιν.

Ἄλλως. Λῇς ποτὶ τᾶν νυμφᾶν· Θέλεις ὦ αἰπόλε πρὸς τῶν νυμφῶν ὧδε ἐλθεῖν, καὶ καθίξας εἰς τὸν ἀνεστηκότα τοῦτον τόπον καὶ κάταντη, ἤγουν, ὀξὺν, ὅπου αἱ μυρῖκαι, τῇ σύριγγι μελπεῖν, τὰς δὲ αἶγας ἐγὼ ἐν τῷδε τῷ τόπῳ βοσκήσω. Τὸ κάταντες, τὸ καταφερὲς, ὅπερ ἐστὶν ἐναντίον τῷ ἀνάντει.

© Centre d'Études Supérieures de la Renaissance - Tours

τες. λέγεται δὲ ἐπὶ τοῦ αὐτοῦ. ὁ γὰρ ἀνάντης τόπος, ὁ αὐτός δή που ἐστὶ καὶ κατάντης, καὶ ἀνωφερὴς ἐπὶ τοῦ αὐτοῦ καὶ κατωφερής. λέγεται δὲ καὶ ἀνάντη ξύλα καὶ κατάντη, τὰ ἄνω φερόμενα καὶ κάτω. καὶ ἀνωφερῆ καὶ κατωφερῆ, ἐπὶ τῶν αὐτῶν· Γεώλοφον δὲ, ὁ ἐν τῷ ὁμαλῷ πέδῳ ὑπερανεστηκὼς ὄχθος, ὃς καὶ κολωνὸς καλεῖται. πῶς τῆς γαίας διφθογγογραφουμένης, ψιλογραφεῖται τὸ γεώλοφον, ὡς τὸ ἀνώγεων, καὶ κατώγεων; καὶ φαμὲν ὅτι παρὰ τοῖς παλαιοῖς ἡ γαῖα, ἐψιλογραφεῖτο, ὡς καὶ τὰ παρ' αὐτῆς συγκείμενα· νῦν δὲ οἱ νέοι διφθογγογραφοῦντες, οὐκ ἠθέλησαν τὴν παλαιὰν συνήθειαν τελείως ἀπολιπεῖν, ἀλλ' ἔθεσαν καὶ τινὰ ψιλογραφούμενα.

13 Ἄτε μυρῖκαι] Ὅπου αἱ μυρσῖναι, ἐφ' αἷς μεσημβρίζειν εἰώθασιν. τὸ μεσημβρινὸν, ἐκ τοῦ μεσημερινοῦ, ἐκβολῇ τοῦ ε, καὶ προσθέσει τοῦ β.

15 Οὐ θέμις ὦ ποιμὰν] οὐ πρέπον ἐστὶν ὦ ποιμὴν, κατὰ τὸ μέσον τῆς ἡμέρας τῇ σύριγγι χρῆσθαι. τὸν Πᾶνα δεδοίκαμεν, οὕτως γὰρ πικρός ἐστιν ἀντὶ τοῦ βαρὺς καὶ ὀργίλος ἤγουν ἀπὸ τῆς ἄγρας κοπιάσας ἀναπαύεται. κυνηγετικῶς. ἐν αὐτῇ δηλονότι καὶ ἀεὶ πρὸς τῇ ῥινὶ αὐτοῦ, ἤτοι ἐν τῇ ῥινὶ, δριμεῖα χολὴ κάθηται τουτέστι, καὶ ἀεὶ ὀργίλος ἐστίν.

19 Ἀλλὰ τὺ γὰρ δὴ Θύρσι, τὰ Δάφνιδος ἄλγε' ἀείδες] ἤγουν, τὸ περὶ τοῦ θανάτου τοῦ Δάφνιδος καὶ λέγε. Τὸ ἄλγε' ἄειδε, τετραχῶς εὕρομεν γεγραμμένον ἐν τοῖς παρ' ἡμῖν ἀντιγράφοις, δηλονότι ἄλγε' ἀείδες καὶ λέγει τὸ ἀείδες, ἀντὶ τοῦ λέξεις ἄν, Δωρικῶς. καὶ ἔστι τὸ γὰρ παρέλκον. καὶ ἄλγε' ἄειδε· ἀντὶ τοῦ λέγε. καὶ ἄλγεα εἴδες, ὃ καὶ βέλτιον. Ἄλλως. Ἀλλὰ τὺ γὰρ δὴ Θύρσι] τὸ σὺ καὶ τὸ γὰρ. ἐπὶ τὴν δευτέραν ἀφορμὴν ἔχειν ὀφείλει δὲ τὸ σὺ, καὶ ἐπὶ τοῦ προτέρου λέγεσθαι ἀπὸ κοινοῦ. οὕτω γὰρ ἂν εἴη ὁ λόγος ἀκόλουθος, ἔχων οὕτως· Ἀλλὰ σὺ ὦ Θύρσι, ᾄδε τὰ ἄλγη τοῦ Δάφνιδος σὺ γὰρ ἀφίκου καὶ ἐπὶ τὸ πλέον τῆς βουκολικῆς μούσης. Τοῦτο αὐτὸ περιπίπτει δὲ ἑαυτῷ, μὴ πρέπειν εἰπὼν συρίζειν κατὰ τὸ μέσον τῆς ἡμέρας διὰ τὸν Πᾶνα, εἶτα, τὸν Θύρσιν προτρεπόμενος ᾄδειν. οὐ γὰρ ταὐτόν ἐστι τὸ συρίζειν τῷ ᾄδειν· ἀλλὰ συρίζειν μέν ἐστι, τὸ διὰ σύριγγος μέλπειν· ᾄδειν δὲ, τὸ κοινῶς τραγῳδεῖν. τὸ τῇ σύριγγι δὲ χρῆσθαι, φησὶ μὴ πρέπον εἶναι κατὰ τὸ μεσημβρινὸν, διὰ τὸν Πᾶνα, τῇ σύριγγι χρώμενον· ἐπὶ τὴν ᾠδὴν δὲ προτρέπεται, ὡς ἄλλο τι οὖσαν, καὶ οὐ μέλον αὐτῆς τῷ Πανί.

21 Τῶ τε Πριήπω] Τὸν Πρίηπον νύμφης Ναΐδος, ἢ Χιόνης καὶ Διονύσου φασὶν υἱὸν, ὃν καὶ κτίσαι περὶ Λάμψακον, ὁμώνυμον αὐτῷ πόλιν φασί. παρ' ἐνίοις δὲ, ὁ αὐτός ἐστι τῷ Διονύσῳ ἐκ τῆς ἐτυμολογίας παρὰ τὸ ῥαίνειν. ἔστι γὰρ οἶνος, ἢ βρίηπος διὰ τοὺς ἐν ταῖς βακχείαις καὶ μέθαις ἐκβοήσεις· ἢ πρίηπος, ὁ παρὰ ἱερὸς τὸ σπέρμα. τὸ δὲ κρανιάδων, ἀντὶ τοῦ κρη-



© Centre d'Études Supérieures de la Renaissance - Tours

ὑδῶν. εἰ μή που τὰς νύμφας κρηνίδας λέγει, ὡς τῶν νυμφῶν συγκαθεζομένων τῷ Πριήπῳ. τινὲς δὲ τὸ κρανικάδων, κρανείας ἀπεδέξαντο, ἅ ἐστι δένδρα οὕτω καλούμενα.

21 Εν ἄλλῳ. Δεῦρ' ὑπὸ τὴν πτελέαν.] Ἄγε ὑπὸ τὴν πτελέαν ἱσδώμεθα· ἀντὶ τοῦ καθεζώμεθα, ἢ καθίσωμεν, ἀπεναντίας τοῦ ἀγάλματος τοῦ Πριάπου, καὶ τῶν πηγῶν, ὅπου ἡ καθέδρα ἐκείνη ἡ ποιμενική, καὶ αἱ δρῦς. ἐὰν δὲ ἄσῃς ὥσπερ ἤσας ποτὲ ἐρίζων πρὸς τὸν Χρόμιν τὸν Λιβύαθεν, τουτέστι τὸν ἀπὸ τῆς Λιβύης, αἶγα τέ σοι δώσω διδυματοκοῦσαν ὥστε μέχρι τρίτου ἀμέλξαι αὐτήν. ἥτις δύο ἔχουσα ἐρίφους, προσαμέλγεται, καὶ ἀμελχθήσεται εἰς δύο πέλλας. ποιμενικὸν δὲ ἀγγεῖον ἡ πέλλα. λέγεται δὲ οὕτω καὶ ἡ μέλαινα.

25 Διδυματόκον] Δίδυμα τετοκυῖαν, ὥστε τρὶς ἀμέλξαι. πολὺ γὰρ ἔχουσι γάλα αἱ διδυματόκοι· ὅθεν φησὶν, ἡ αἲξ περιουσιάζεται τῷ γάλακτι, ὥστε καὶ μετὰ τὴν τῶν ἐρίφων τροφὴν εἰς δύο πέλλας πιμπλῆσι. τὰς δὲ ἀμολγοὺς πέλλας καλοῦσι, παρὰ τὸ πίνειν ἐν αὐταῖς, ὅ ἐστι, γαλακτοδόχον ἀγγεῖον.

27 Καὶ βαθὺ κισσύβιον] Κισσύβιον, ποτήριον παρὰ τὸ κεῖσθαι ἐν αὐτῷ τὸ πίνειν, χισσύβιον ὄν. ἢ ξύλινον ἔκπωμα κεκοσμημένον ἀμφοῖσι πολλοῖς· ἢ καυκίον ξύλινον ποιμενικὸν, τὸ οἱονεὶ χισσύβιον. Ἄλλως. Κισσύβιον, ποτήριον ἀγροικικὸν, ἴσως ἀπὸ τοῦ κισσοῦ, ἐξ οὗ κατεσκεύαζον τὰ ποτήρια. κοινοτέρως δὲ, καὶ ἐπὶ πάντων τῶν ξυλίνων ποτηρίων ὁ λόγος τίθεται, παρὰ τὸ κεχύσθαι εἰς αὐτὸ τὸν οἶνον, οἷον χύω, χύσω, χυσίβιον, καὶ κισσύβιον. Ἡσίοδος· --ὀλίγον δὲ Εἴσεται κισσυβίῳ. ἢ κισσύβιον, ποτήριον, παρὰ τὸ χεῖσθαι ἐν αὐτῷ τὸ πίνειν, χυσίπιόν τι ὄν. Κεκλυσμένον ἁδέϊ καρῷ] Ἤγουν λελυμένον κηρῷ. κεχρισμένον ὃ καὶ κεκονισμένον οἱ κοινοί φασιν, ἀπὸ τοῦ κλύζω. λέγεται δὲ τὸ κλύζειν, ἐπὶ δύο. ἐπί τε τοῦ διὰ κλυστῆρος ἰατρεύειν, καὶ ἐφ' ὑδάτων, ὅταν τι ἐπέρχωνται καὶ ἐπικαλύπτωσι, καθὸ λέγεται ἐνταῦθα.

28 Ἀμφῶες] Τὸ ἀμφοτέρωθεν ἔχον ὦτα τινά. διὰ δὲ τούτου τὸ μέγεθος παρίστησιν. ¶ Νεοτευχές] νεωστὶ κατεσκευασμένον. ¶ Ἔτι γλυφάνοιο ποτόσδον] ἀντὶ τοῦ προσόζον, ὀσμὴν πέμπον, καὶ μυρίζον. Γλυφάνοιο δὲ, τουτέστι γλυφῆς. ὥσπερ δὲ γίνεται ἀπὸ τοῦ στέφω, στέφανος, καὶ ἀπὸ τοῦ λείβω, λείβανος· οὕτω καὶ ἀπὸ τοῦ γλύφω γλύφανος, ποιητικῶς.

29 Τῶ, περὶ μὲν χείλη.] ὕπνος περὶ μὲν τὰ χείλη ὑψόθι κισσὸς μαρύεται, ἀντὶ τοῦ πέπλεκται.

30 Κισσὸς ἑλιχρύσῳ] ὁ ἑλίχρυσος εἶδος φυτοῦ, οὗ τὸ ἄνθος, ὅμοιον κρόκῳ, καὶ οἷον χρυσοειδές. ἄλλοι δὲ τὸν ἑλίχρυσον, βοτάνην λέγουσι κροκοειδῆ καὶ χρυσίζουσαν. ¶ Κεκονισμένος] Κονία, ἡ ἄσβεστος. ἀφ' οὗ, κονιάω κονιῶ, τὸ ἀσβέστῳ χρίω, καὶ κεκονιαμένος τοῖχος, ὁ ἀσβέστῳ κεχρισμένος.

© Centre d'Études Supérieures de la Renaissance - Tours

νος. ἐνταῦθα δὲ τὸ κεκονισμένος, ἴσως ἀντὶ τοῦ κεχαρισμένος ἁπλῶς. ἀπὸ τοῦ κεκονιαμένος κατὰ συγκοπήν. ¶ Ἃ δὲ κατ' αὐτόν] τὸν κισσὸν δηλονότι. ἕλιξ, ἤγουν πλοκὴ εἱλεῖται, τουτέστι, στρέφεται τὴν ἑαυτῆς στροφήν.

31 Ἀγαλλομένα] ἀντὶ τοῦ θάλλουσα. ¶ Καρπῷ κροκόεντι] ἤγουν, κρόκου χροιὰν ἔχοντι.

32 Ἔντοσθεν δὲ] ἀντὶ τοῦ ἔνδον γυνά τις κατεσκεύασται θεῶν δαίδαλμα, τουτέστιν ἔργον οὕτω ποικίλον, ὡς μὴ δοκεῖν ἄνθρωπον αὐτὸ κατασκευάσαι, ἢ ποικίλαι, ἀλλὰ θεούς. τινὲς τὴν Πανδώραν φασὶν εἶναι. γράφεται καὶ γυνά, τι. τὸ δέ τι, πρὸς τὸ δαίδαλμα.

32 Ἀσκητὰ πέπλῳ τε, καὶ ἄμπυκι] Ἀσκητῇ, ἢ κεκοσμημένῃ πέπλῳ, τουτέστιν ἐνδύματι, καὶ περικεφαλαίᾳ, τοῦτο γὰρ τὸ ἄμπυκι. ἢ ἄμπυκι, τῷ συνδέοντι τὰς τρίχας. ἀπὸ τοῦ ἀμπέχειν. ¶ Πὰρ δέ οἱ ἄνδρες καλὸν ἐθειράζοντες] ἤγουν, κόμην τρέφοντες. κομᾶν γὰρ καὶ ἐθειράζειν ταυτό· πλὴν ὅτι τὸ μὲν κομᾶν ἐστι κοινόν· τὸ δὲ ἐθειράζειν ποιητικόν. Ἄλλως. Ἐθειράζοντες, κομῶντες, εὔτριχοι. ἔθειραι γὰρ αἱ ἐξ ἔθους γινόμεναι τρίχες. ἢ ἐθειράδες, καὶ καθήκοντες τὰ γένεια ἢ κομῶντες. ἔθειρα δὲ ἡ θρίξ, ἡ ἐξ ἔθους τημελουμένη. Ἄλλως. Κομῶντες τὰς τρίχας οὐ γενειῶντες ὡς τινες. ἔθειρα γὰρ ἡ τῆς κεφαλῆς θρίξ. ὅθεν Ἀριστοτέλης ἐν Ὁμήρῳ ἔγραψεν· Κυάνεαι δ' ἐρρώοντο γενειάδες ἀμφὶ γένειον, οὐκ ἐθειράδες.

34 Ἀμοιβαδὶς ἄλλοθεν ἄλλος] ἀπὸ τοῦ ἄλλου μέρους. Ἀμοιβαδὶς νεικείουσιν ἐπέεσσιν· ἤγουν, λόγοις ἐρίζουσι πρὸς ἀλλήλους κατὰ ἀμοιβὴν περὶ αὐτῆς τὴν ἔριν δηλονότι ποιούμενοι.

35 Τὰ δ' οὐ φρενὸς ἅπτεται αὐτᾶς] ταῦτα δὲ ἃ αὐτοὶ φιλονεικοῦσιν, ἤγουν, αἱ φιλονεικίαι δὲ αὗται καὶ ἔριδες ἃς αὐτοὶ φιλονεικοῦσι περὶ αὐτῆς, τῆς φρενὸς αὐτῆς οὐχ ἅπτεται.

36 Ἄλλοκα μὲν τῆνον] τὸ μέν τοι, νοήσεώς ἐστι· τὸ δὲ, ὁράσεως. ἀδύνατον γὰρ ὁμολογουμένως, ἐν γραφῇ, κίνησιν εἶναι ζωτικήν, ἀλλὰ τῶν γλυπτῶν εἰκόνων κατάλληλοι ἦσαν τοῖς λελεγμένοις. ταῦτα καθ' ὑπερβολὴν Ὅμηρος ἔλεγεν ἀληθέστερον· Χρύσειαι ζωῇσι νεανίσιν ἐοικυῖαι. Ἄλλως. Ἄλλοκα μὲν τῆνον. ἄλλοτε μὲν πρὸς ἐκεῖνον βλέπει τὸν ἄνδρα γελῶσα· ἄλλοτε δὲ πρὸς τοῦτον ῥίπτει τὸν νοῦν, ἤγουν τρέπει.

38 Κυλοιδιόωντες] οἰδοῦντες τὰ κοῖλα τὰ ὑπὸ τοὺς ὀφθαλμούς. συμβαίνει γὰρ τοῖς ἀγρυπνοῦσιν ὡς ἐπίπαν οἰδαίνειν τὰ κοῖλα· ὅπερ οἱ πολλοὶ ἀναγκαίως δι' ἔρωτα πάσχουσι. γίνεται δὲ παρὰ τὸ τὰ κοῖλα οἰδαίνειν· κοῖλα δὲ, τὰ ὑποκάτω τῶν ὀφθαλμῶν. ¶ Ἐτώσια μοχθίζοντι] ἀντὶ τοῦ μάτην κάμνουσι. τίς γὰρ ἂν ἄγαλμα πεῖσαι δυνήσεται; Ἄλλως. ὁ νοῦς· οἱ δὲ ὑπ' ἔρωτος καὶ πολὺ κυλοιδιόωντες, ἤγουν κυλοιδιῶντες, τουτέστι τοὺς ὀφθαλμοὺς ἐξογκούμενοι, ἐτώσια καὶ μάταια μοχθί-



© Centre d'Études Supérieures de la Renaissance - Tours

ζοντι, ἀντὶ τοῦ μοχθίζουσι καὶ κοπιῶσι. μοχθίζω ποιητικόν· μοχθῶ κοινόν.

39 Γριπεύς τις γέρων] γριπεὺς, ὁ ἁλιεύς. καὶ γρῖπος τὸ δίκτυον, παρὰ τὸ τοὺς ἰχθύας ἀγρεύειν.

40 Λεπρᾶς] τραχεῖα, ἢ λευκή, ἡ ὑπὸ τῶν κυμάτων λευκαινομένη, ἢ ὑψηλή· ἐπεὶ τὰ λέπας, τοῦ ὄρους τὸ ἄκρον φασίν. ἢ λευκή, καὶ λέπρᾳ ἐοικυῖα. τινὲς δὲ τὴν τραχεῖαν ἔφασαν, τὴν ἐκλεπρωθεῖσαν, καὶ ἐκπηλωθεῖσαν, οἷον καὶ βρωθεῖσαν. Ἄλλως ὁ νοῦς· γριπεύς τις γέρων, ἤγουν, δικτυοθήρας· καὶ πέτρα λέπρας, τουτέστι βρύα ἔχουσα. ἐφ' ᾧ, καὶ ἐν ᾗ πέτρᾳ σπεύδων ὁ πρέσβυς, μέγα δίκτυον ἕλκει ἐς βόλον, ἤγουν, εἰς ἄγραν, εἰς τὸ ῥίψαι ἐπὶ ἄγραν, ὁμοιωμένος ἀνδρὶ μοχθοῦντι κατὰ τὸ καρτερόν, ἤγουν κατὰ πᾶσαν αὐτοῦ τὴν ἰσχύν· ἢ, τὸ ἰσχυρὸν τῆς δυνάμεως, ἀνδρὶ ἀκμάζοντι ὅμοιον ἔχων.

42 Φαίης κεν γυίων νιν] εἴποις ἂν αὐτὸν ἐκ τῶν μελῶν τοῦ σώματος ἁλιεύειν, ἢ ἐκ πάσης δυνάμεως ἧς ἔχει. ἐλλοπιεύειν δέ ἐστιν, τὸ ἐλλοπεύς. ἤγουν ἰχθῦς ἀγρεύειν. ἔλλοπες γὰρ οἱ ἰχθύες, παρὰ τὸ ἐν λεπίσιν εἶναι. ἢ παρὰ τὸ λεπιδωτοὺς τῶν ἰχθύων· ἢ παρὰ τὸ ἐλλείπειν τῆς ὀπὸς καὶ φωνῆς. Ἄλλως. εἴποις ἂν ἐλλοπιεύειν αὐτόν, ἤγουν, ἰχθυάζειν ἐπὶ τὴν τῶν ἰχθύων ἄγραν μοχθεῖν, ὅσον σθένος, ἤγουν, ὅση δύναμις τῶν μελῶν. ὁ σχηματισμὸς οὗτος καὶ τοῖς κοινοῖς ἐστι συνήθης. οἷον, συλλαβοῦ ὅση δύναμις· ἐκκλίνω τόδε, ὅση μοι ἰσχύς. ἐλλιπῶς δὲ ταῦτα λέγεται. τὰ γὰρ ἐντελῆ· συλλαβοῦ κατὰ τὴν δύναμιν, ὅση σοι ἐστί· καὶ ἐκκλίνω τόδε κατὰ τὴν ἰσχύν, ὅση μοι ἐστίν. εἶχε δ' ἂν ταῦτα ὁμοίως τῷ τῶν οἱ νῦν βροτοί εἰσι. καὶ σαφέστερα ἦν, εἰ οὕτως ἂν ἐλέγετο· συλλαβοῦ κατὰ τὴν ὅση σοι δύναμίς ἐστι καὶ ἐκκλίνω τόδε, κατὰ τὴν ὅση μοι ἰσχύς ἐστι. ταῦτα γὰρ ἀπὸ τοῦ τὴν, ἀρξάμενα, εἶτα οὐκ ἀποδεδωκότα τὸν λόγον πρὸς αὐτό, ἀλλ' ὥσπερ ἐκ μεταμελείας εἰς ἕτερον μεταπεσόντα σχηματισμόν, δῆλα γίνεται ἀπὸ τῆς ἀρχῆς, οἷα ἐτύγχανεν, εἶτα ὅπῃ μετακλιθέντα ἀποδίδοται. νῦν δὲ ἐλλιπέστερον λέγεται, καὶ τοῦ τὴν, ἀπόντος. κατὰ τοῦτό ἐστιν ἐλλιπὲς καὶ τὸ, ὅσος ὄχλος ἄμμιν ἐπιρρεῖ. τὸ γὰρ ἐντελὲς, βαβαὶ τοῦ ὄχλου, ὅσος ἡμῖν ἐμπίπλει.

43 Ὠιδήκαντι] Δωρικῶς, ἀντὶ τοῦ, ᾠδήκασιν· ἤγουν γεγαυρωμένος, ἢ πεφυσιωμένος καὶ ἐξωγκωμένος ὤν. οἰδῶ γὰρ οἰδήσω, τὸ ἐξογκοῦμαι. Ἶνες δὲ τὰ παρακολουθοῦντα νεῦρα ταῖς φλεψίν. ἐλέγετο δὲ παρ' αὐτοῖς καὶ ὁ υἱὸς ἶνις. ἀπὸ γὰρ τούτων τῶν μελῶν, τὸ σπέρμα συνάγεσθαι δοκεῖ.

44 Τὸ δὲ σθένος ἄξιον ἥβας] ἤγουν, ἄξιόν ἐστι νέῳ τινὶ εἶναι ἡ ἡ δὲ δύναμις, ἀξία τῆς ἡλικίας αὐτοῦ. ἴσως γὰρ ὁ ἧλιξ ἐγέγλυπτο τῷ κισσυβίῳ, ὁ μήκης τε τὴν σύνθεσιν τῶν μελῶν, ἢ ἀνάλογον τῆς ἀκμῆς. τὸ σθένος αὐτοῦ. Ἄλλως· ὁ νοῦς, Ὡς δέ οἱ ᾠδήκαντι, οὕτως

© Centre d'Études Supérieures de la Renaissance - Tours

τως εἶπεν ὁ σκωμμένῃ κατὰ τὸν αὐχένα αὐτοῦ πάντοτε νέοι ἶνες. ἤγουν τὰ νεῦρα, καὶ περὶ οὐκ πολιοῦ, ἤγουν λευκὰς τὰς τρίχας ἡ δὲ ἰσχὺς, ἄξια ἥβης, ἤγουν ἀκμῆς.

45 Τυτθὸν δ' ὅσον] τυτθὸν κυρίως, τὸ ἐπιτύτθιον βρέφος· παρὰ τὸ τυτθὸν, ὃ σημαίνει τὸν μαζόν. ὅθεν καὶ τυτθὴν λέγουσι τὴν ὀλίγην, ἢ μικράν. Ἄλλως Τυτθὸν δ' ὅσον ἄποθεν] ἄποθεν δὲ τοῦ γέροντος, μετὰ τὸν γέροντα τὸν κατὰ τὴν θάλασσαν πονούμενον, τοσοῦτον διάστημα, ὅσον ὀλίγον τοῦτο γὰρ δύναται τὸ ὀλίγον ὅσον, περιττευόμενον ἔχον τὸ ὀλίγον τοῦ ὅσον. καθάπερ τὸ, ὅστις ἔχει τὸ ὅς, τοῦ τις περιττευομένου. ἐν τῇ διαιρέσει τοῦ λόγου, ὕστερον ἐξ ἀνάγκης ἀποδίδοται οἷον, τίς ὅς τάδε ἐποίησε; καὶ τοσοῦτον ἀπέχει τόδε, τοῦδε, ὅσον ὀλίγον· ἐν ᾧ τὸ ὅσον ἀπὸ ἴσου διαστήματος, ἑτέρου ἐγνωσμένου ἀπαιτεῖ τὸν λόγον δείκνυσι εἴπερ ὥσπερ μὴ προχείρου τούτου ὄντος, τὸ ὀλίγον ἀποδίδοται καθολικῶς, ὑφ' ᾧ τόδε τὸ διάστημα καὶ τόδε εἰσίν. ὥσπερ εἴ τις πρός τι τίς οὐδέ ἐστι· τὸ ἄνθρωπος ἀποδοίη. τοῦ τίς τὴν ὑπόστασιν ἀπαιτοῦντος, καὶ τὸ ἄτομον ὥσπερ δὲ τὸ ὅσον ἐν τοῖς τοιούτοις ὑποτάττεται, κατὰ τὰ αὐτὰ ταῦτα καὶ τὸ οἷον, ἀκολουθίαν ἔχει ὑποτάξεως. Τυτθὸν δ' ὅσον] τὸ πᾶν οὕτως· μετὰ τὸν γέροντα δὲ, τὸν κατὰ τὴν θάλασσαν πονούμενον, τοσοῦτον διάστημα ὅσον ὀλίγον, ἀλωὰ, ἤγουν ἄμπελος βαρεῖται καλῶς σταφυλαῖς πυρναίαις ἤγουν πυρσαῖς ἤδη, πεπείροις δηλονότι, ἣν μικρός τις παῖς φυλάσσει ἐπὶ τοῖς φραγμοῖς καθήμενος.

46 Πυρναίαις] ὡρίμοις, ἀκμαζούσαις. οἱ δὲ, ταῖς ἤδη ὥραν ἐχούσαις τροφῆς· πύρνον γὰρ ἔνιοι τὴν τροφὴν λέγουσιν. ἢ πυρναίαις, ταῖς τρωξίμοις. ἐπάγει οὖν ἑξῆς· Φοιτῇ σινομένα τὰν τρώξιμον. ἢ ταῖς ἀκμαζούσαις, παρ' ὅσον παρὰ τῶν ἀκτίνων τοῦ ἡλίου πυροῦνται. Ἄλλως. πυρναίαις, ταῖς ἀκμαζούσαις, ἢ τρωξίμοις. πύρνος γὰρ ὁ σῖτος καὶ ἡ τροφή. Ἀλωὰ σημαίνει τέσσαρα κυρίως· μὲν γὰρ λέγεται ὁ ἀμπελόφυτος τόπος ὡς κατὰ πολὺ λῷον τοῦ ἁπλοῦ πεδίου. λέγεται ἀλωὰ καὶ ὁ δενδροφόρος τόπος. ἐπεὶ δευτέρως καὶ αὐτὸς λῷον τοῦ τῆς ἁπλῶς γῆς. ἀλλὰ καὶ ὁ λαχανηφόρος τόπος, ὁμοίως καὶ αὐτὸς διὰ τὴν αὐτὴν αἰτίαν. ἀλωὴ δὲ, καὶ ἡ ἅλως.

47 Κῶρος] ἢ κοῦρος, νέος, ἀπὸ τοῦ τῆς ὀφθαλμοῦ κόρης, οἱονεὶ, χώρη τις οὖσα, ἀπὸ τοῦ δι' αὐτῆς χεῖσθαι τὸ διορατικὸν πνεῦμα. κόρη δὲ καὶ ἡ παρθένος, ἢ ὑγροφυὴς καὶ τρυφερὰ, ἀπὸ τοῦ, κορεῖν τὸ καλλωπίζειν, ὃ καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ εἴρηται. ἢ ἡ καθαρὰ, καὶ ἄφθορον ἔχουσα τὴν ἡλικίαν κορεῖν γὰρ τὸ καθαίρειν, ἀφ' οὗ καὶ νεωκόρος. ἢ παρὰ τὸ κείρω, ἡ κειρομένη ἔτι καὶ νηπιάζουσα. ἀφ' ἧς καὶ τὸ κῶρος. καὶ κοῦρος, ὁ ἁπαλὸς καὶ τρυφερὸς παῖς. Ἐφ' αἱμασιαῖσι] παρ' ὅσον πλήρεις αἵματος γίνονται, οἱ εἰσερχόμενοι ἐπ' αὐτάς, διὰ τὸ ἀκανθώδεις αὐτὰς εἶναι.

© Centre d'Études Supérieures de la Renaissance - Tours

48 Ἥμενος δὲ, καθεζόμενος, ἀπὸ τοῦ ἕω, τὸ καθέζομαι, ἕημι καὶ τὸ παθητικὸν, ἕεμαι ἧμαι. ἡ μετοχὴ, ἑέμενος, ἥμενος. ¶ Ἀμφὶ δέ μιν δύ' ἀλώπεκες· ἁ μὲν ἀν' ὄρχως φοιτῇ ὅμοιον τῷ Δύο σκόπελοι, ὁ μὲν εἰς οὐρανὸν εὐρὺν ἱκάνει. τοῦτο δὲ τὸ σχῆμα οὐκ ἔχει κίνδυνον· οὐ γὰρ ἀφ' ἑτέρου πρὸς ὅσον ἐφ' ἕτερον ἡ μετάβασις γίνεται, ἵνα δέηται πλαγιασμοῦ, ἀλλὰ τὸ ὅλον εἰς μέρη. ταυτὸν δὲ τὸ ὅλον τοῖς μέρεσιν. ἔχει δὲ τὸ πᾶν οὕτως. Δύο δὲ ἀλώπεκες περὶ αὐτὸν, ἡ μὲν ἀνὰ τοὺς ὄρχους, ἤγουν τὰς συστοιχίας τῆς ἀμπέλου στρέφεται, βλάπτουσα τὴν σταφυλὴν τὴν εἰς βρῶσιν ἐπιτηδείαν· ἡ δὲ ἐπὶ τῇ πήρα, ἤγουν, κατὰ τῆς πήρας, τῆς τὸν ἄρτον τοῦ παιδὸς ἐχούσης πάντα δόλον κατασκευάζουσα, τὸ παιδίον οὐ πρότερον ἐάσειν φησὶ, πρὶν αὐτὸ καθίσῃ αὐτὸ ἐπὶ τοῖς ξηροῖς, ἀντὶ τοῦ ἐπὶ τοῖς κενοῖς. ἀπὸ μεταφορᾶς τῶν ἀνύδρων τόπων. ἡ ἀκράτιστον· ἤγουν οὐδενὸς ἐγκρατές. ὅτι δὲ ἀπὸ τοῦ κρατῶ συνετέθη τὸ ἀκράτιστον, δῆλον μὲν ἀπὸ τοῦ βραχὺ ἔχειν τὸ κρα. Τὸ δὲ πρὶν, ἐνίοτε μὲν μετὰ ἀπαρεμφάτου λέγεται. οἷον, πρὶν γενέσθαι τόδε, ἐλθεῖν τόδε· ἐνίοτε δὲ μετὰ ὁριστικοῦ· οἷον, πρὶν ποιήσω τόδε, ἐποίησα τόδε. δοκεῖ δὲ μετὰ ἀπαρεμφάτου μὲν λέγεσθαι, ἐπὶ τοῦ ποιουμένου πράγματος· μετὰ ὁριστικοῦ δὲ, ἐπὶ τοῦ ποιοῦντος αὐτό.

¶ ἀν' ὄρχως] ὄρχος, ὀρχάτου διαφέρει. ὄρχος γάρ ἐστιν ὁ βόθρος, εἰς ὃν ἐντίθεται τὸ φυτὸν πρὸς μοσχείαν, παρὰ τὸ ὀρύσσω, ὀρυχόν τινα ὄντα. ὀρχάτον δὲ τὴν ἐπὶ στίχον φυτείαν, παρὰ τὸ ἔρχεσθαι. καὶ Ἀριστοφάνης τὸ μεταξὺ τῶν φυτῶν μετόρχμιον ἐκάλεσεν ἐν τοῖς γεωργοῖς. καὶ Ἡσίοδος ὄρχον λέγει τὴν ἐπίστιχον τῶν ἀμπέλων φυτείαν. Ἁ μὲν ἀν' ὄρχως, τοὺς διδύμους τῆς ἀμπέλου· ἤγουν, τοὺς κλάδους. Φοιτῇ] ὁρμᾷ. ὡς παρὰ τὸ πόρος πορῶ, τὸ πορεύομαι· οὕτω καὶ παρὰ τὸ ὁδὸς γίνεται ὁδῶ, τροπῇ τοῦ δ εἰς τ, ὀτῶ, πλεονασμῷ τοῦ φ, καὶ ι, φοιτῶ τὸ πορεύομαι, καὶ ὁρμῶ.

50 Πάντα δόλον τεύχοισα] κατασκευάζουσα. γράφεται καὶ κεύθοισα, ἀντὶ τοῦ κρύπτουσα. πανοῦργον γὰρ τὸ ζῶον. ¶ Πρὶν ἢ ἀκράτιστον] πρὶν ἢ ἀκρατισμοῦ ξηρὸν ποιήσῃ αὐτό. ἀκρατισμὸν δὲ νῦν ὡς οἶμαι φησὶ, τὸν ἀπὸ τῶν βρωμάτων κόρον τε, καὶ μέθην.

Ἄλλως. οἱ μέλλοντες πολεμεῖν, πρωΐας ἔτι οὔσης, ὀλίγον τινὰ ἤσθιον ἄρτον, καὶ ἄκρατον οἶνον ἔπινον, ὡς θερμοὶ ὦσι, καὶ μὴ δειλιῶσιν, ὃ καὶ ἀκρατισμὸν ἐκάλουν. ἐνταῦθα δὲ ἀκράτιστον, ἀντὶ τοῦ ἄγευστον. Καθίξῃ] τὸ καθίξῃ γράφεται βαρυτόνως. τὰ γὰρ ὑποτακτικὰ τῶν ῥημάτων, ὁμοίως οἱ Δωριεῖς ἡμῖν προφέρουσιν.

52 Αὐτὰρ ὅγ' ἀνθερίκοισιν] ἀνθέρικος ὁ τῆς ἀσφοδέλου καρπὸς, ἧς τὰ φύλλα ὡς πράσου ἀγρίου, μείζω δὲ καὶ πλατύτερα. ὁ δὲ καυλὸς ἀνθέριξ καλεῖται, ὅσον πηχυαῖος ὢν καὶ μείζων. τὸ αὐτὸ δὲ φησὶ καὶ Θεόφραστος. Ἀπολλόδωρος δὲ ὁ Δωριεὺς φησὶν οὐ λέγεσθαι τὴν



© Centre d'Études Supérieures de la Renaissance - Tours

δὲ τὸν τῆς ἀσφοδέλου καυλόν. ὁ δὲ Νεοπτόλεμος, γελοίως ὤηθη, τὸ αἰθέρα τοῦ στάχυος. Ἀυτὰρ ὄγε] ὁ δὲ πλέκει καλὴν ἀκριδοθήραν δι' ἀνθερίκων. ἀντὶ τοῦ διὰ καλάμης, ἣν οἱ κοινοὶ, καλαμαίαν φασί. ¶ Καλάν] ἐπὶ τῶν ἐστι, παρὰ τὸ κάζω ῥῆμα· ὃ δηλοῖ τὸ κοσμῶ, ὁ μέλλων κάσω, ἀφ' οὗ ῥηματικὸν ὄνομα, καλός· τὸ θηλυκὸν, καλή. ἢ παρὰ τὸ καλῶ ῥῆμα, ἔγκειται καλος· διὰ τὸ καλεῖν πρὸς ἑαυτὸν ἕκαστον, ὡς τὸ ἀγαθὸν, ἐφ' ὃ ἄγειν θέομεν.

53 Σχοίνῳ ἐφαρμόσδων] ἀντὶ τοῦ συναρμόζων, συνδῶν. σχοῖνος δὲ, τὸ παρὰ τοῖς κοινοῖς βρύλλον. ¶ Μέλεταί δέ οἱ] ἀντὶ τοῦ μέλει, φροντίς ἐστιν αὐτῷ, οὔτε ἐπὶ πήρης. τουτέστιν, οὐδὲν οὔτε τῆς πήρας, οὔτε τῶν φυτῶν, ἤγουν τῆς ἀμπέλου, κατὰ τοσοῦτον. τοῦτο γὰρ τὸ, τοσσῆνον, καθ' ὅσον γαθεῖ, ἤγουν γήθεται καὶ χαίρει περὶ τῷ πλέγματι, ἀντὶ τοῦ ἐπὶ τῷ πλέγματι.

55 Παντᾷ δ' ἀμφὶ δέπας] πανταχοῦ δὲ περὶ τὸ ποτήριον περιπέπταται καὶ περικέχυται ὑγρὸς τὶς ἄκανθος καὶ μαλακός. ὅπερ ἐστιν εἶδος φυτοῦ ἀκανθῶδες χαμαίζηλον, εἰς μῆκος ἐξανθοῦν λίαν ἢ ὑγρὸς ἄκανθος, ὁ εὔκαμπτος, καὶ εὔτονος.

56 Αἰπολικόν τι θάημα] ἤγουν θαῦμα οἷον αἰπόλος ἂν θαυμάσῃ διὰ τὸ κάλλος. γράφεται καὶ χωρὶς τοῦ π αἰολικὸν, τὸ ἀπατητικόν. αἰολίζω γὰρ τὸ ἀπατῶ καὶ Ἡρακλῆς· Μηδ' αἰολίζε ταῦτα. τοῦτο δὲ ἔφη δι' ὑπερβολὴν τοῦ κάλλους. ἢ αἰολικὸν τὸ αἰτωλικόν. Αἰολεῖς γὰρ οἱ Αἰτωλοί. ἐξ Αἰτωλίας δέ φησι τὸ ποτήριον κεκομίσθαι ἢ αἰολικὸν, ἀπατηλὸν, ποικίλον, ἐκπληκτικόν· καὶ ὁ ἄν τις διὰ κάλλος θαυμάσῃ τοῦτο γὰρ δύναται τὸ αἰολίζειν. οἱ γὰρ Αἰολεῖς ἐπὶ ἀπάτῃ διαβάλλονται.

Ἄλλως. πάντῃ δὲ περὶ τὸ δέπας, ἤγουν τὸ ποτήριον περιτέταται ἀπαλὸς ἄκανθος· εἶδος φυτοῦ φασὶν ὁ ἄκανθος. αἰπολικόν τι θάημα, ἤγουν θαῦμα, ἀπὸ τοῦ θέω θεῶ, θεήσω, θέημα· καὶ τροπῇ τοῦ ε εἰς α Δωρικῶς, θάημα. ¶ Τέρας, κέ τυ θυμὸν ἀτύξαι] ἀντὶ τοῦ, ἐκπλῆξαι δυνάμενον. καὶ Ὅμηρος· πρὸς ὄψιν ἀτυχθείς. ἢ τοῦτο τὸ θέαμα τεράστιον ὂν, τὴν σὴν ἐκπλήξει διάνοιαν ἢ ἀτύξαι, καταπλῆξαι σου τὴν ψυχήν. καὶ δι' ὑπερβολὴν κάλλους, ἐραστὸν ἂν νομισθείη. ἢ ἀτύξαι ἂν, τουτέστι σεῖσαι, ἐκπλῆξαί σε κατὰ τὴν ψυχήν.

57 Τοῦ μὲν ἐγώ] ἕνεκα μὲν τούτου ἐγὼ, αἶγά τε ἔδωκα ὦνον τῷ πορθμεῖ, τῷ ἀπὸ τῆς Καλυδῶνος. καὶ τυρόεντα, ἀντὶ τοῦ τυρὸν μέγαν, ἀπὸ γάλακτος λευκοῦ. ὤνια, τὰ πωλούμενα. ὦνος δὲ, ὃ δίδωσί τις ἵνα λάβῃ τι τῶν πωλουμένων. ¶ πορθμεῖ Καλυδωνίῳ] ἢ ὄνομα κύριον, ἢ τῷ ἀπὸ Καλυδῶνος εἰς Πελοπόννησον αὐτὸ μετακομίσαντι. ἀντίκεινται γὰρ ἀλλήλων τὰ χωρία. ἢ πορθμεῖ ἴσως διαπορθμεύοντι ἐξ Αἰτωλίας εἰς Πελοπόννησον. γράφουσι δέ τινες καὶ Καλυδνίῳ, ἀγνοοῦντες ὡς Κάλυδνοι ἐγγὺς τῆς Κῶ εἰσιν. Ὅμη-

© Centre d'Études Supérieures de la Renaissance - Tours

ρος· Καὶ Κῶν Εὐρυπύλοιο πόλιν, νήσους τε Καλυδνάς. ¶ Καὶ τυρόεντα] τυρὸς, τυρόεις παράγωγον. τυρόεντα. τὸ τυ μακρὸν· ῥέοντα μὲν, συνίζησις. τὰ εἰς ρὸς γὰρ δισύλλαβα ὀξύτονα, τῷ υ παραληγόμενα, ἐκτείνουσιν αὐτό. οἷον, τυρός. πυρὸς, ὁ σῖτος. τὸ πῦρ δὲ τοῦ πυρὸς, βραχύ.

59 Οὐδέ τί πω] ἤγουν, οὔπω δὲ, οὐδαμῶς εἰς τὸ ἐμὸν χεῖλος ἔψαυσεν, ἀλλ' ἔτι κεῖται ἄχραντον, ἤγουν ἄψαυστον, ἀμόλυντον.

60 Τῷ καί τυ μάλα] γράφεται καὶ τῷ κέν τοι. δι' οὗ καί σε μάλα ἀρεσαίμην, ἀντὶ τοῦ ἀρέσω, εὐάρεστος δόξαιμι. τὸ δὲ πρόφρων, ἐπιρρηματικῶς, ἀντὶ τοῦ μετὰ προθυμίας αὐτὸ διδοὺς δηλονότι.

61 Αἴκεν μοι τὺ φίλος] ἐάν γε σὺ ὁ φίλος· ἢ σὺ ὦ φίλε ᾄσῃς τὸν ὕμνον τὸν ἐφίμερον, τὸν γλυκύν· ἀντὶ τοῦ τὴν ᾠδὴν τὴν ἐπιθυμητὴν ἐμοί. λέγει δὲ τὴν ἐπὶ Δάφνιδος ᾠδήν. τὸ ἀρέσκω, οὕτως· ἀρέσκω τινὶ, ἀντὶ τοῦ ἀρεστὸς αὐτῷ φαίνομαι. αἰτιατικῶς δὲ μετὰ αἰτιατικῆς, ὡς παρὰ Πλάτωνι· ἀλλ' εἰ μὴ αὖ σε τοῦτ' ἀρέσκει. Ἀρέσκομαι δέ τινι, ἀντὶ τοῦ ἀποδέχομαι αὐτόν. καὶ ἀπαρέσκομαι, τὸ οὐκ ἀποδέχομαι.

62 Κοὔτοι τι φθονέω] καὶ οὐδαμῶς σοι φθονῶ. πρόσαγε σαυτὸν ὦ ἀγαθὲ, ἤγουν πρόσελθε, εἶξον. γράφεται καὶ, κοὔτι τυ κερτομέω. ¶ Τὰν γὰρ ἀοιδάν] τὴν γὰρ ᾠδὴν οὐδαμῶς φυλάξεις εἰς τὸν ᾅδην τὸν ἐκλελάθοντα. ἀντὶ τοῦ τὸν λήθης ποιητικὸν καὶ αἴτιον. ἐκλανθάνουσι γὰρ πάντες οἱ ἐν αὐτῷ, τὸ τῆς λήθης ὕδωρ πίνοντες ὡς ἀπὸ τοῦ ἔλαχον, λελάχω ἐνεστὼς, οὕτω καὶ ἀπὸ τοῦ ἔλαθον, λελάθω.

64 Ἄρχετε βωκολικᾶς] τῆς βουκολικῆς ᾠδῆς ἄρξασθαί με ποιήσατε ὡς ποιήτριαι. ἐπικαλεῖται γὰρ αὐτὰς μέλλων ἀείδειν. τοῦτο δὲ λέγεται, προάσμα καὶ ἐπιμελῴδημα, καὶ ἐπῳδή. τὸ δὲ ἄρχετε καὶ λήγετε, ἐπῳδοῦ τάξιν ἔχει. Μνασίας δὲ ἐν τῷ περὶ Εὐρώπης, Πανὸς υἱὸν φησὶ Βουκολίωνα, ἀφ' οὗ καὶ τὸ βουκολεῖν. Ἄλλως. Ἄρχετε βωκολικᾶς] ἄρχετε ὦ Μοῦσαι, ἤγουν προηγεῖσθε τῆς βουκολικῆς ᾠδῆς, ἄρχετε.

65 Θύρσις ὅδ' ὡξ Αἴτνας] δεικτικῶς ἤγουν ἐγὼ ὁ ἐξ Αἴτνης, καὶ Θύρσιδος ἥδε ἡ φωνή. ὁ ποιμὴν Θύρσις ἐπαινεῖ ἑαυτόν. ἡ δὲ Αἴτνη Σικελίας ὄρος ἐστίν. ἀπὸ Αἴτνης τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς, ὥς φησιν Ἄλκιμος. Σιμωνίδης δὲ ἐν τῷ περὶ Σικελίας, Αἴτνην φησὶ κρῖναι Ἥφαιστον, καὶ Δήμητραν περὶ τῆς χώρας ἐρίσαντας. Δημήτριος δὲ ὁ Καλλατιανὸς, τοῦ Βριάρεω ἑνὸς τῶν κυκλώπων παῖδας γενέσθαι, Σικανὸν καὶ Αἴτνην, ἀφ' ἧς τὸ ὄνομα. Ἄλλως. ὡς Σικελιώτου αὐτοῦ ὄντος, καὶ κατὰ τὴν Αἴτνην νεμομένου· μέλλει δὲ ᾄδειν, ὃν τρόπον ὁ Δάφνις μὴ δυνάμενος φέρειν τὸν τῆς Ξενέας τοὔνομα Νύμφης, ἔρωτα, ἀπέλιπε τὸ ζῆν.

66 Πᾷ ποκ' ἄρ' ἦσθ' ὅκα Δάφνις ἐτάκετο] ὁ Δάφνις Σικελιώτης ὑπάρχων ἐν Σικελίᾳ ἦν ὅτε ταλαιπωρῶν ἔπνευσεν. ὅτι γυναικὸς Νύμ-

φης

© Centre d'Études Supérieures de la Renaissance - Tours

φης ἤρα ὁ Δάφνις, ἡ δὲ Νύμφη ἀπεστρέφετο αὐτὸν διὰ τὴν πρὸς ἑτέρας γυναῖκας ὁμιλίαν, αἰνίσσεται ὅτι οὐδὲ αἱ λοιπαὶ ἐν Σικελίᾳ ἦσαν, ὅτε ὁ Δάφνις ἐθνήσκεν.

67 Ἢ κατὰ Πηνειῶ καλὰ τέμπεα] Πηνειὸς, ποταμὸς Σικελίας. τέμπη δὲ, γενικῶς μὲν τὰ ἄλση νῦν δὲ τὸ μεταξὺ τῆς Ὄσσης καὶ τοῦ Ὀλύμπου χωρίον, ὅ ἐστι περικαλλὲς, καὶ ὥσπερ ὑπὸ θείας γνώμης πρὸς διορυξιν διηρημένον, δι᾽ ἧς ὁ Πηνειὸς πρὸς τὴν θάλασσαν ῥεῖν. λέγεται δὲ τοῦτο τὸ χωρίον, τέμπεα Θετταλικά. ἢ ἢ κατὰ Πίνδω] Πίνδος ὄρος τῆς Ἀρκαδίας, ἢ ποταμὸς κατὰ δέ τινας ὄρος τῆς Περραιβοίας ἐγγὺς θαλάσσης τὸ δὲ εἴχετε, ἀντὶ τοῦ κατῳκεῖτε.

68 Οὐ γὰρ δὴ ποταμοῖο] οὐ γὰρ τότε τὸ μέγα ῥεῦμα εἴχετε, ὅ ἐστιν, οὐκ ἦτε ἐκεῖσε. ὁ δὲ Ἄναπος ποταμὸς ἐν Συρακούσαις τῆς Σικελίας. Ἄναπος δὲ εἴρηται, ὡς ἀναπόσεως ὢν, καὶ βληχρὸν ἔχον ὕδωρ ἢ παρὰ τὸ τοῖς ποσὶ μὴ διαβατὸς εἶναι.

69 Οὐδ᾽ Ἄκιδος ἱερὸν ὕδωρ] Ἄκις ποταμὸς Σικελίας. ὁ δὲ νοῦς· αἱ Νύμφαι τότε οὐκ ἦσαν περὶ Σικελίαν, ὅτε ὁ Δάφνις ἀπώλετο. ἴσως διὰ τὸ Νύμφης ἐρῶν ὑπερηφανευούσης αὐτὸν αἰνιξάμενος, ὡς οὐδὲ τῶν λοιπῶν αὐτόθι οὐσῶν. Ἄκις δὲ, παρὰ τὸ ἀκὺ ἐοικέναι τὸ ῥεῦμα. Νυμφόδωρος ἐν τῷ περὶ Σικελίας θαυμαζομένων φησὶν, ὅτι Δάφνιδος Ἄκις ποταμὸς Σικελίας ἐστίν. Ἄλλως. Ὁ νοῦς· Πᾶ ποκ᾽ ἄρ᾽ ἦσθα] ποῦ ποτε ἄρα ἦτε, ἢ κατὰ τὰ καλὰ τέμπη τοῦ Πηνειοῦ ἦτε; ποταμὸς οὗτος Θετταλίας· ἢ κατὰ τὰ καλὰ τέμπη τοῦ Πίνδου, ποταμὸς δὲ οὗτος Θετταλίας. οὐ γὰρ δὴ εἴχετε, ἤγουν ᾠκεῖτε τὸν μέγαν ῥοῦν τοῦ ποταμοῦ τοῦ Ἀνάπου· τῆς Σικελίας οὗτος ποταμός· οὐδὲ τὴν σκοπιὰν τῆς Αἴτνης, περιφραστικῶς, ἀντὶ τοῦ τὴν ὑψηλὴν Αἴτνην· οὐδὲ τὸ ἱερὸν ὕδωρ τοῦ Ἄκιδος· ποταμὸς δὲ οὗτος Σικελίας· ἤγουν. οὐ γὰρ τὴν Σικελίαν ᾠκεῖτε τότε λέγει δὲ ἀπεῖναι τὰς Νύμφας, ἐπεὶ Νύμφης ἤρα ὁ Δάφνις, ἧς ἀπούσης μετὰ τῶν ἄλλων δηλονότι, ἐτελεύτα. εἰ γὰρ παρῆν, οὐκ ἂν ἴσως ἀπέθανε.

71 Τῆνον μὰν θῶες] ἐκεῖνον οἱ θῶες, ἐκεῖνον οἱ λύκοι ὠρύσαντο, ἤγουν, ὠρυόμενοι ἐθρήνησαν, ἢ ἐκεῖνον οἱ θῶες ἐμυρήσαντο δηλονότι. οὐ γὰρ τὸ ὠρύσαντο δύναται καὶ ἐπὶ τῶν θώων λέγεσθαι ἀπὸ κοινοῦ. συνυπακούεται γοῦν τὸ οἰκεῖον κατὰ ἀναλογίαν τοῦ προειρηκότος. ἐκεῖνον καὶ ὁ λέων ἐκ τοῦ δρυμοῦ ἀνέκλαυσε θανόντα.

72 Τῆνον χ᾽ ὠκ δρυμοῖο λέων ἀνέκλαυσε θανόντα] γράφεται δὲ, χ᾽ ὡκ δρυμοῖο λέων ἂν ἔκλαυσε. τινὲς αἰτιῶνται τὸν Θεόκριτον, ἐν Σικελίᾳ λέγοντες μὴ εἶναι λέοντα ἀλλὰ προστεθειμένη ἡ ἂν συλλαβὴ, λύει τὴν αἰτίαν ἵνα ᾖ· τῆνον ἂν ἔκλαυσεν, εἰ ἐν Σικελίᾳ ἦν, καὶ ὁ λέων ἐκ τοῦ δρυμοῦ ἢ καὶ εἰ ἐγένετο γὰρ ἐν Σικελίᾳ λέων, κἀκεῖνος τοῦτον ἐθρήνησεν.

73 Ἄρχετε βουκολικᾶς. ὅρα τὴν ἡδονήν. αὐτῳδὴ δὲ τὸ σχῆμα, ἢ τις γίνεται οὕτως, ὅταν λαλῇ ᾠδὴν ἄλλην, καὶ ἄλλην ἀποκρίνεται.

© Centre d'Études Supérieures de la Renaissance - Tours

75 Δαμάλαι μὲν, αἱ ἤδη δαμασθεῖσαι διωκόμεναι· πόρτιες δὲ αἱ μικραὶ, αἱ μήπω εἰς ζυγὸν ἐλθοῦσαι. Ἄλλως. Πολλαὶ οἱ πὰρ ποσσί. πολλαὶ δὲ βόες παρὰ τοῖς ποσὶν αὐτοῦ· πολλοὶ δὲ ταῦροι. πολλαὶ δὲ δαμάλαι, ἀντὶ τοῦ δαμάλεις, καὶ πόρτιες πολλαί. ἀπὸ κοινοῦ ὀδυρόμενοι ἦλθον, ἐθρήνησαν. βόες, αἱ τέλειαι δαμάλεις, καὶ πόρτιες, αἱ μήπω ὑπὸ ζυγὸν ἐλθοῦσαι, μὴ δὲ ὀχηθεῖσαι. αἱ πόρτιες δὲ, καὶ ἔτι ἀτελέστεραι τῶν δαμάλεων. ἐπὶ δὲ τῶν ἀρρένων, μόσχοι τὰ νεογνὰ, καὶ τὰ ὑπὸ ταῖς μητράσιν ἔτι· ταῦροι δὲ οἱ τέλειοι. ἔστι δὲ, ἡ δάμαλις τῆς δαμάλεως· οἱ ποιηταὶ δὲ, καὶ ἡ δαμάλη, τῆς δαμάλης, λέγουσιν, ἀφ' οὗ ἐνταῦθα, αἱ δαμάλαι.

77 Ἦνθ' Ἑρμᾶς] ἦλθεν ὁ Ἑρμῆς πρώτιστος· ἢ ὡς φίλος Δάφνιδος, ἢ ὡς ἐραστής. τὸ δὲ λ εἰς ν τρέπουσιν οἱ Δωριεῖς οὐ πάντοτε, ἀλλ' ὅταν αὐτὸ τὸ θ ἢ τὸ τ ἐπιφέρηται· οἷον, βέλτιστος, βέντιστος, φίλτατος, φίντατος, οὕτως οὖν καὶ τὸ ἦνθ' Ἑρμᾶς.

81 Ἦνθ' ὁ Πρίαπος] οἰκείως. ἀγροῖκος γὰρ ἦν ὁ Πρίαπος, ὡς καὶ ὁ Δάφνις. ἴσως διὰ τὸ κάλλος υἱὸς Ἀφροδίτης. Ἄλλως· ἢ ἐρώμενος τοῦ Δάφνιδος, ἢ ὡς υἱὸς Ἀφροδίτης.

82 Κῆφα] καὶ ἔφη. ἔστι δὲ τὸ πάθος ἔκθλιψις, καὶ κρᾶσις. ¶ Ἁ δέ γε κώρα] τὸ ἑξῆς. ἡ δὲ κόρη ἀνὰ πάσας τὰς κρήνας ζητοῦσά σε. διὰ μέσου γὰρ ὁ στίχος τὸ ἄρχετε βουκολικᾶς.

83 Ποσσὶ φορεῖται] μανιωδῶς φέρεται. καθόλου τὰ εἰς ται λήγοντα ῥήματα ὅταν ἔχῃ τὸ ν παραληγόμενον καὶ προπαροξυτόνως (?), παροξύνουσιν οἱ Δωριεῖς· ὅταν δὲ βαρυνόμενον, ὁμοίως ἡμῖν ἐκφέρουσιν.

84 Ἄρχετε βουκολικᾶς Μῶσαι φίλαι] γράφεται, Μοῖσαι. πάλιν] τὸ πάλιν· ἐξ ὑποστροφῆς ἀρχὴν ποιούμενος φησίν. αἱ περιγραφαὶ δὲ συστέλλουσι τὰς ᾠδάς. τὸ δὲ ἄρχετε βουκολικᾶς, λέγεται ἐπῳδῆς τάξιν ἔχειν.

85 Ζατεῦσα] αἰολικόν. συναπτέον δὲ τοῦτο τοῖς ἐπάνω. πάντη δὲ πλανᾶται ζητοῦσά σε. εἰρωνευόμενος δὲ λέγει πρὸς αὐτὸν τοῦτο. αὐτὸς γὰρ μᾶλλον ἐζήτει, διὰ τοῦτο καὶ δύσερως. τινὲς δέ φασιν ὅτι οὐ διὰ τὴν Νύμφην, ἀλλὰ διὰ τοῦ βασιλέως θυγατέρα δι' ἣν ἐπηρώτα. Ἄλλως. Ζατεῦσα] εἰρωνεύεται δέ. ζητεῖ γὰρ αὐτὸς μᾶλλον, οὐ ζητεῖται ὑπὸ τῆς νύμφης. ἢ καὶ παρηγορητικὸς ὁ λόγος. ¶ Δύσερώς τις ἄγαν] δύσκολον ἔρωτα ἔχεις καὶ παντελῶς ἀπροσμήχανον. ζητοῦσα γὰρ ἡ νύμφη περιέρχεται. παρηγορῆσαι θέλων, τοῦτο φησὶ πρὸς αὐτόν. Ἄλλως. τὸ πᾶν. ἦλθεν ὁ Ἑρμῆς πρώτιστος ἀπὸ τοῦ ὄρους εἶπε δὲ τῷ Δάφνιδι, τίς σε καταστρύχει; ἤγουν, δαπανᾷ, φθείρει; τίνος ἕνεκα ὦ ἀγαθὲ μετὰ τοσοῦτον ἐρᾶσαι, ἀντὶ τοῦ ἐρᾷς. ἦλθον οἱ βουκόλοι μετὰ τὸν Ἑρμῆν δηλονότι. ἦλθον οἱ ποιμένες, οἱ αἰπόλοι, πάντες ἀνηρώτων τί κακὸν ἔπαθεν. ἦλθεν ὁ Πρίαπος καὶ ἔφη· ὦ Δάφνι τάλαν,

© Centre d'Études Supérieures de la Renaissance - Tours

λαν, ἤγουν, ἄθλιε· τί σὺ τήκῃ; ἤγουν, διαρρέεις, φθείρῃ; ἡ δὲ κόρη ἀνὰ πᾶσαν πηγὴν, ἀνὰ πάντα τὰ ἄλση, φέρεται τοῖς ποσί· ζητοῦσά σε δῆλον ὅτι. προσμυθούμενος δὲ αὐτὸν τοῦτο λέγει. δύσερώς τις ἄγαν εἶ, ἤγουν οὐκ εἰδὼς ἐρᾶν, οὐ καλῶς διοικῆσαι τὸν σεαυτοῦ ἔρωτα δυνάμενος, καὶ ἀμήχανος, ἤγουν, ὑπ' οὐδεμιᾶς μηχανῆς μετριώτερος περὶ τὸν ἔρωτα γενέσθαι δυνάμενος. ¶ Βούτας μὲν ἐλέγευ βουκόλος ὢν φησὶν, οὐ κατὰ τοὺς βουκόλους ἐρᾷς· παρ' ὅσον οἱ μὲν βου[illegible]λοι σώ[illegible] τὰ ἀφροδίσια ἐγ[illegible] οἱ δὲ αἰπόλοι, λάγνοι. ἢ [illegible] καταφιλέστεραι οὖσαι [illegible] ἀσελγάζουσι τοὺς αἰπόλους [illegible]ως. Παροιμία [illegible] ἐπὶ [illegible] ἡσύχων μὲν [illegible]του [illegible] δὲ ἀγρίων. οἱ γὰρ [illegible] εἰσιν ἀπὸ γοῦν [illegible] καὶ οἱ βόσκοντες αὐτοὺς [illegible]οῦτοι λέγονται. αἱ δὲ αἶγες ἄγριαι, παρ' ὅσον καὶ εἰς τὰ ὕψη τῶν ὀρῶν, καὶ εἰς κρημνώδεις τόπους βόσκονται. ἀπὸ τούτων δὲ καὶ οἱ αἰπόλοι, τοιοῦτοι λέγονται.

87 ὠπόλος, ἀντὶ τοῦ ὁ αἰπόλος. γίνεται κατὰ συναίρεσιν τοῦ ο καὶ α εἰς ω μέγα μόνου τοῦ προσγεγραμμένου τοῦ ι. οἷον, ὁ αἰπόλος, ὠπόλος· οἱ αἰπόλοι ὠπόλοι. Ἄλλως. Βούτας μὲν] ὁ νοῦς. βουκόλος μὲν ἐλέγου, νῦν δὲ ὡμοίωσαι ἀνδρὶ αἰπόλῳ. τοῦτο δὲ τοιοῦτόν ἐστιν, ὡς ὅτι εἰ ἐλέγου, οὐκ ἀξίως τῆς σεαυτοῦ τάξεως διετέθης. βουκόλος γὰρ ὢν ὤφειλες μεγαλοπρεπὴς εἶναι, καὶ γενναίως τοὺς ἔρωτας, καὶ τὰ συμπίπτοντα δύνασθαι φέρειν. νῦν δὲ ὡς ἔοικεν ἐλέγου μόνον βουκόλος, τῇ ἀληθείᾳ δὲ οὐκ εἶ, μικροπρεπῶς διακείμενος, καὶ τοιαῦτα πάσχων, οἷα ἂν αἰπόλος ἀνὴρ ἐπάθε. πρὸς ὃ ἐπάγει· ὁ αἰπόλος ὅτε ὁρᾷ τὰς μηκάδας, ἤγουν τὰς αἶγας· οἷα, ἀντὶ τοῦ ὅπως, ἐπιρρηματικῶς· βατεῦνται, ἤγουν βαλδύονται, τοῖς τράγοις μίγνυνται· τήκεται κατὰ τοὺς ὀφθαλμοὺς, ἤγουν διαρρέεται, φθείρεται, ὅτι οὐ τράγος αὐτὸς ἐγένετο. καὶ σὺ ἐπειδὰν ὁρᾷς τὰς παρθένους ὅπως γελῶσι, τήκῃ τοὺς ὀφθαλμοὺς, ὅτι οὐ σὺν αὐταῖς χορεύεις.

92 Τὼς δ' οὐδὲν ποτελέξατο ὁ βουκόλος] πρὸς τούτους δὲ οὓς τινας ἄνωθεν εἴπομεν, ἤτοι τοὺς βούτας, τοὺς ποιμένας, καὶ τοὺς αἰπόλους, τὸν Πρίαπον καὶ τοὺς λοιποὺς, οὐδὲν ἐφθέγξατο ὁ βουκόλος, ἤτοι ὁ Δάφνις. ¶ ἀλλὰ τὸν αὐτοῦ] ἀλλὰ τὸν αὐτοῦ ἔρωτα ἐπέραινε, καὶ διήνυε μέχρι καὶ τῆς μοίρας. τοῦτο διχῶς. ἐὰν μὲν γὰρ ἐκτείνωμεν τὸ ας, σημαίνει γενικὴν κλίσιν· ἐὰν δὲ συστέλλωμεν αὐτὸ, αἰτιατικὴν τῶν πληθυντικῶν Δωρικῶς. ἐκεῖνοι γὰρ τὰς παρ' ἡμῖν ἐκφερομένας εὐθείας τῶν πληθυντικῶν διὰ τῆς αι διφθόγγου, διὰ τοῦ ας ἐκφέρουσιν. Ἄλλως. Τὼς δ' οὐδὲν] πρὸς τούτους, ἤγουν τοὺς νομεῖς καὶ τὸν Πρίαπον, οὐδὲν ἔλεξεν, ἀντὶ τοῦ οὐδὲν ἀπεκρίνατο ὁ βουκόλος. ἀλλὰ τὸν ἑαυτοῦ ἀπεκρίνε ἀλγεινὸν ἔρωτα, καὶ εἰς τὸ τέλος ἤνυε, ἤγουν,

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἐπανῆλθε τὸ τῆς μοίρας, ἤγουν, ὃ ἡ μοῖρα αὐτῷ ἀπεκλήρωσεν.

95 Ἦνθέ γε μὰν ἁδεῖα] ἦλθε καὶ ἡ ἡδεῖα Κύπρις γελῶσα, καὶ ἔφη· βέβαια ὑπ' ὀργαλέου ἐλυγίσθης ἔρωτος καὶ ἐκάμφθης· ταῦτα δὲ ἐπὶ μυκτηρισμῷ λεληθυῖα φησὶν ἡ Κύπρις. Εὔπολις· οἷον λυγίζεται καὶ συστρέφει τὸν αὐχένα. Ἄλλως. Τὸ ἁδεῖα, καὶ ἀδία ποιητικῶς λέγεται. ἐὰν δὲ γράφηται διὰ τοῦ ι, Ἀδία, ἡ Διὸς θυγάτηρ, ἐναντίως βούλεται· θέλει γὰρ εἰπεῖν φανερῶς μὲν γελῶσα λανθάνειν δὲ βαρυνομένην ἐπὶ τῷ Δάφνιδι. ταῦτα ἐπὶ μυκτηρισμῷ λέγει ἡ Ἀφροδίτη. Ἄλλως. Ἦνθέ γε μὰν ἁδεῖα] ἦλθε γε μὴν, καὶ ἡ Κύπρις ἡ ἡδεῖα γελῶσα. λάθρα μὲν γελῶσα. βαρὺν δὲ θυμὸν, ἤγουν, βαρεῖαν ὀργὴν ἀνέχουσα, τουτέστιν, ἀναδεδεγμένη βαρεῖα δὲ ὀργὴ, ἣν οὐκ ἄν τις ῥᾳδίως ἐνέγκοι. καὶ εἶπε· σὺ δὴ ὦ Δάφνι κατεύχου, ἀντὶ τοῦ εὔχου, ἐκαυχῶ λυγιξεῖν, ἤγουν λυγίσειν, καταπαλαίσειν τὸν ἔρωτα. ἆρ' οὐκ αὐτὸς ὑπὸ τοῦ ἔρωτος τοῦ ἀλγεινοῦ ἐλυγίχθης; τῶν Δωριέων δὲ τοῦτό ἐστιν. ἐπεὶ γὰρ οὗτοι ἐπὶ τοῦ μέλλοντος τοῦ ἐνεργητικοῦ, λυγιξῶ λέγουσιν, ὡς πλέξω, ἐξ ἀνάγκης καὶ ἐλυγίχθης λέγουσιν ἐπὶ τοῦ παθητικοῦ ἀορίστου, ὡς ἐπλέχθης.

97 Ἄλλως· Λυγιξεῖν] καταδύσαι, τουτέστι, περιέσεσθαι τοῦ ἔρωτος ἐκαυχῶ. ἴσως γὰρ ὁ Δάφνις μεγαλορρημονήσας εἰς τὴν θεὸν, ταύτην ὑπέχει τὴν ποινὴν καὶ ζημίαν. ἡ λυγιξεῖν, τοῖς βεργίοις δῆσαι· ἤτοι δῆσαι λύγοις. παρὰ τὸ δεσμεύειν. καὶ Ὅμηρος, Δίδη μόσχοισι λύγοισιν· ἡ θλάσιο ἄπυλος γὰρ ὁ λύγος λέγουσι δὲ καὶ τὸ ἀμαυρωσαι δηλοῦν λυγαῖα γὰρ τὰ σκοτεινά. ἡ λυγιξεῖν, κάμψειν, δεσμεύσειν λυγίσω, καὶ Δωρικῶς λυγιξῶ ἀπὸ τοῦ λύγος, τὸ βέργιον καὶ ὁ δεσμός. ἴσως γὰρ ὁ Δάφνις περιέσεσθαι τοῦ ἔρωτος μεγαλορρημονήσας, ταύτην ἔπαθε τὴν ποινήν.

100 Τὰν δ' ἄρα χ' ὠ Δάφνις ποταμείβετο] πρὸς ταύτην καὶ ὁ Δάφνις ἠμείβετο ἀντὶ τοῦ ἠμείψατο, ἤγουν, ἀπεκρίνατο ὦ Κύπρις βαρεῖα, ἤγουν ἐπαχθής. βαρὺ ἐπὶ ὄγκου, ᾧ ἐναντίον τὸ κοῦφον· ἀφ' οὗ βαρὺς, ὁ δυσκίνητος, καὶ ὁ ἐπαχθής.

101 Κύπρι νεμεσσατή] ἤγουν, ἀξία μέμψεως. Κύπρι ἀπεχθὴς, ἤγουν μεμισημένη ὑπὸ τῶν ἀνθρώπων. ἤδη γὰρ ὁ ἥλιος φράσσει ἡμῖν πάντα, ἤγουν δεικνύσι, φανερὰ ποιεῖ. διὰ τὴν μετὰ τοῦ Ἄρεως αὐτῆς μῖξιν λέγει, ἣν ἔδειξεν ὁ ἥλιος. δεδύκει ὁ Δάφνις, ἤγουν ἐκλείπει ἀποσβέννυται, καὶ ἐν τῷ ᾅδῃ κακὸν ἄλγος ἔσται τοῦ ἔρωτος, ὥσπερ ἐν τῇ ζωῇ δηλονότι. δοκεῖ γὰρ ἀντιτάξασθαι πρὸς τὸν ἔρωτα. διὸ καὶ ταύτην αὐτὸς αὐτῷ τὴν δίκην ἐπλήρωκε. τὸ δὲ ἄμμιν, ἡμῖν ἦν καὶ τροπῇ τοῦ α εἰς η Δωρικῶς, καὶ προσθέσει τοῦ μ αἰολικῶς, καὶ ἐν ὑπερβιβασμῷ τοῦ τόνου, ἄμμιν.

105 Οὐ λέγεται τὰν Κύπριν] τὸ οὐ, δασύνεται. ἔστι γὰρ ἀντὶ τοῦ ὅπου.

© Centre d'Études Supérieures de la Renaissance - Tours

ὅπου. λείπει δὲ τὸ κατακλιθῆναι, ἵν' ᾖ τὸ ὅλον. ὅπου ὁ βουκόλος Ἀγχίσης, τὴν Κύπριν, καὶ τὴν Ἀφροδίτην κατακλιθῆναι λέγεται. Ἀγχίσης γὰρ ὁ Αἰνείου πατὴρ, κατὰ τὴν Ἴδην ἐμίγη Ἀφροδίτῃ, καὶ Αἰνείαν ἐγέννησεν ὡς ἑξῆς ἐπιφέρει. ἕρπε ποτ' Ἴδαν, ἕρπε ποτ' Ἀγχίσαν] ἀντὶ τοῦ ὕπελθε πρὸς τὸν βουκόλον Ἀγχίσην. βουκόλον δὲ καὶ Ὅμηρος τὸν Ἀγχίσην φησίν· Ἡμὶν ὑπ' Ἀγχίσῃ τέκε βουκολέοντι. ἄλλοι δὲ οὐ προσυπακούουσι τὸ κατακλιθῆναι. ἡ δὲ Ἴδη ὄρος Τρωίας. δύναται δὲ καὶ πάντα τὰ ὄρη, τῆς Ἴδης τῇ προσηγορίᾳ καλεῖσθαι, ἀπὸ τοῦ ἴδη, ἡ βοτάνη· ἢ ἀπὸ τοῦ ἰδεῖν καὶ θεάσασθαι. ἀφ' ὑψηλοῦ γάρ τις ἐφιστάμενος, δύναται πόρρω ἰδεῖν. καλεῖται δὲ Ἴδη καὶ ὄρος Κρήτης.

106 Τηνεὶ δρύες] ὥστε σκέπειν τὸν Ἀγχίσην συνερχόμενον αὐτῇ· ἢ ὥστε σκέπειν σε συνερχομένην τῷ Ἀγχίσῃ. ἐνταῦθα δὲ κύπειρον, τουτέστι βοτάνη, καὶ μὴ δυναμένη σκέπειν σε. κύπειρον δὲ τινὲς λέγουσι τὸ παρ' ἡμῖν βούτομον.

¶ Τηνεὶ δρύες] ἐκεῖ δρύες, κρύπτειν σε δηλονότι δυνάμεναι ὧδε, ἤγουν ἐνταῦθα, κύπειρος. βοτάνη τίς ἐστιν αὕτη μικρὰ καὶ εὐώδης. ὧδε μέλισσαι βομβοῦσιν ἐμμελῶς ποτὶ σμήνεσιν, ἀντὶ τοῦ ἐν τοῖς σίμβλοις, ἐπαγόμεναι δηλονότι τοὺς ὁδίτας.

107 Ὧδε καλὸν βομβεῦντι] ἀντὶ τοῦ κατηγορούσας τῆς ἀκρασίας εὑρήσεις τὰς μελίσσας, εἰ πρὸς ἡμᾶς ἥκεις διὰ τοῦ βόμβου τοὺς ὁδοιπόρους ἐπαγόμεναι. Σμῆνη δὲ, τὰ τῶν μελισσῶν ἀγγεῖα, ὡς Ἡσίοδος· Ὡς δ' ὅταν ἐν σμήνεσσι κατηρεφέεσσι μέλισσαι.

Ἄλλως. Ὁ νοῦς· ἕρπε ποτ' Ἴδαν, ἕρπε ἀντὶ τοῦ ἀπέρχου πρὸς τὴν Ἴδην, ὅπου λέγεται ὁ βουκόλος τὴν Κύπριν γνῶναι, δηλονότι αἰσχῦναι· ἀπέρχου πρὸς τὸν Ἀγχίσην· οὗτος ἦν ὁ βουκόλος, ὃν λέγουσι συγγενέσθαι αὐτῇ ἐν τῇ Ἴδῃ.

109 Ὡραῖος χ' ὤδωνις] ἀντὶ τοῦ τρυφερός. ὅθεν καὶ τὸ θρύπτεσθαι, ὡραΐζεσθαι φησὶ Μένανδρος· Ὡραΐζεθ' ἡ τύχη πρὸς τοὺς βίους. ἢ ἀντὶ τοῦ ἀκμάζων, ὡς καὶ Ἡσίοδος· Ὡραῖον δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι. Ἄλλως. ὁ νοῦς· Ὡραῖος χ' ὤδωνις] ἤγουν, ἀκμάζων καὶ εὐειδής· ἐπεὶ καὶ μῆλα, ἤγουν πρόβατα, βόσκει, καὶ πτῶκας, ἤγουν λαγωοὺς τοξεύει. τοῦτο γὰρ τὸ βάλλει. καὶ πάντα τὰ θηρία. ἢ καὶ θηρία ἄλλα (γράφεται γὰρ καὶ οὕτω) διώκει, τουτέστιν ἀγρεύει. σκώπτει δὲ αὐτὴν ὡς ἐρῶσαν τοῦ Ἀδώνιδος. τοῦ δὲ πτῶκας τὸ ας μακρόν. οἱ γὰρ Δωριεῖς τῶν εἰς ες ληγόντων εὐθειῶν τῶν πληθυντικῶν, ὁμοίως παραξύνουσι καὶ μακρὸν ἔχουσι τὸ α, θῶας, τρῶας· ὅτι τὰς παρ' ἡμῖν εἰς ες ληγούσας εὐθείας τῶν πληθυντικῶν ἐκεῖνοι διὰ τῆς ας προφέρουσιν. Ὡραῖος χ' ὤδωνις] Ἱστορία. Κινύρου τοῦ Ἀπόλλωνος, καὶ Σμύρνης θυγάτηρ Μοῖρα, ἥτις κατὰ μῆνιν Ἀφροδίτης ἠράσθη τοῦ πατρὸς, ὅτι λύουσα τὰς τρίχας, οὐδὲ Ἀφροδίτην ἔφη ἔχειν τοιαύτας· ἐλάνθανε δὲ τὸν πατέρα



© Centre d'Études Supérieures de la Renaissance - Tours

στολιζομένη, καὶ συναναμιγνυμένη ὡς θεράπαινα. ὕστερον δὲ ἐγκυμονοῦσα, καὶ γνοῦσα τὸν Ἄδωνιν, ἐφωράθη· ἐφ᾽ οἷς αἰδουμένη, ἢ αἰσχυνομένη, ηὔξατο εἰς ὁμώνυμον φυτὸν μεταλλαγῆναι.

112 Αὖθις ὅπως στάσῃ] τινὲς περισπῶσιν, ἀλλ᾽ ἁμαρτάνουσι. τὰ γὰρ ὑποτακτικὰ τῶν ῥημάτων, ὥς φησι Λεπτίνης, ὁμοίως ἡμῖν προφέρουσιν οἱ Δωριεῖς. Ἄλλως. Αὖθις ἔρχου ὅπως ἰοῦσα στήσῃ πλησίον τοῦ Διομήδους, καὶ λέγε ὅτι τὸν Δάφνιν νικῶ τὸν βουκόλον. ἀλλὰ συμμαρτύρει, ὃ λέγω μοι.

115 Ὦ λύκοι, ὦ θῶες, ὦ ἀν᾽ ὤρεα φωλάδες ἄρκτοι] οὐ μόνον φωλάδας καλεῖ, ἀλλ᾽ ὅτι, ὥς φησι Θεόφραστος καὶ Σώπατρος ἐν τῷ περὶ ἄρκτων, φωλεοῖς οἱ ἄρκτοι χρῶνται, καὶ πολὺν φωλεύουσι χρόνον, ἢ ὅτι μόναι τῶν ἄλλων θηρίων οἱ ἄρκτοι τίκτουσι, καὶ φωλεοῖς ἐπικάθηνται· ἢ φωλάδες, αἱ καταδυτικαί. Χαίρεθ᾽, ὁ βουκόλος ὔμμιν. ὡς ἀποδημῶν τῆς ζωῆς τοῦτό φησι. τὸ γὰρ χαίρειν, ἐνίοτε μὲν ἐπὶ ἀποδημίας λέγεται, ἐνίοτε δὲ προσαγορεύουσιν ἁπλῶς σημαίνει. ὁ βουκόλος ὑμῖν ἐγὼ ὁ Δάφνις, οὐκέτι κατὰ τὴν ὕλην, ἀναστραφήσομαι δηλονότι· οὐκέτι κατὰ τοὺς δρυμοὺς, οὐ κατὰ τὰ ἄλση. ἐπὶ τοῦ αὐτοῦ λέγεται ὕλη καὶ ἄλσος· δρυμὸς δὲ, ὃς καὶ δρυμὼν λέγεται.

117 Χαῖρ᾽ Ἀρέθοισα] πηγὴ ἐν Συρακούσαις τῆς Σικελίας, εἰς ἣν εἰσρέει ὁ ἐξ Ἀρκαδίας Ἀλφειὸς ποταμός. ἡ Ἀρέθουσα κρήνη ἐν Συρακούσαις, ἡ ἐν Σικελίᾳ, ἥν φασι διὰ πελάγους Ἀλφειὸν ἥξειν· ὥς φησιν Ἴβυκος παριστορῶν περὶ τῆς Ὀλυμπίας φιάλης. Ἄλλως. ὅτι Ἀρέθουσα Σικελικὴ κρήνη, πρόδηλον. δοκεῖ δ᾽ ὑπ᾽ Ἀλφειοῦ πληροῦσθαι. ἔστι δὲ καὶ ἐν Εὐβοίᾳ Ἀρέθουσα· καὶ ἄλλη ἐν Σάμῳ περὶ Κόρακος πέτρῃ, καὶ ἐπὶ κρήνῃ Ἀρεθούσῃ. Χαριέντως δὲ καὶ Ἐπαφρόδιτός φησιν, ὅτι Ἀρεθούσας καλοῦσι τὰς κρήνας. Ἄλλως. Ἀρέθουσα πηγὴ ἐν Σικελίᾳ, ἧς ἔλεγον ἐρᾶν τὸν Ἀλφειὸν ποταμόν.

118 Καὶ ποταμοί] οἳ χεῖτε καλὸν ὕδωρ, ἢ καθαρόν, ἢ κατὰ κάλλους ῥέον. ¶ κατὰ Θύμβριδος] ποταμὸν Σικελίας εἶναί φασι τοῦτον. Ἄλλως. Θύμβρις κατά τινα γλῶσσαν ἡ θάλασσα. τινὲς δὲ Σικελίας ποταμὸν ἔφησαν Θύμβριδα ἢ Θύμβρις, ποταμὸς Σικελίας, ἐφ᾽ ὃν μυθεύεται Ἡρακλῆς τὰς ἐκ τῆς Ἐρυθείας βοῦς ἐλαύνων ἐνταῦθα ἀφίκεσθαι· γενομένου δὲ χειμῶνος ἀνυπερβλήτου, χῶσαι τὸν ποταμὸν, καὶ ἐπίπεδον ποιῆσαι, ἐφ᾽ ὃν οἱ Κέφαλοι διαδείκνυνται καθικνοῦντες. Ἀσκληπιάδης δὲ ὁ Μυρλεανὸς, διὰ τοῦ δ γράφει Δύμβρις· ἢ κατὰ γλῶσσαν θάλασσα. ἄλλοι δὲ ὑπὸ Τύμβριδος. ἔστι δὲ καὶ οὗτος ποταμὸς Σικελίας.

120 Δάφνις ἐγὼν, ὅδε] κατ᾽ ἐπανάληψιν τοῦτο λέγεται πρὸς τὸ βουκόλος ὔμμιν ἀποδεδομένον. ἡ γὰρ συνέχεια τοῦ λόγου, οὕτως ἔχει. ὁ βουκόλος ὑμῖν ἐγὼ ὁ Δάφνις, οὐκέτι

οὐκέτι

© Centre d'Études Supérieures de la Renaissance - Tours

οὐκέτι ἀναστραφήσομαι κατὰ τὴν ὕλην καὶ τοὺς δρυμοὺς, καὶ τὰ ἄλλα, ὁ Δάφνις ἐγὼ οὗτος ἐκεῖνος ὁ τὰς βόας ἐνθάδε βόσκων ὁ Δάφνις ὁ τοὺς ταύρους, καὶ τὰς δαμάλας ἐνθάδε ποτίζων. τὸ δὲ χαῖρε Ἀρέθουσα, καὶ τὸ ἑξῆς μέχρι τοῦ, Δάφνις ἐγω, τῆδε μὲν σοι.

123 Ὦ Πὰν Πάν] ποιητικὴ ἐπανάληψις, εἰ μή τις πιθανεύοιτο λέγων, ὡς ὁ νοῦς ἐστὶ τοιοῦτος· ὦ τὸ πᾶν σὺ ὦ Πάν· ἵνα, τὸ μὲν πρῶτον περισπασθῇ, τὸ δὲ δεύτερον ὀξυτονηθῇ. τὸν δὲ Πᾶνα, οἱ μὲν Πηνελόπης καὶ Ὀδυσσέως, ἢ Ἑρμοῦ, ἄλλοι δὲ Διὸς καὶ Καλλιστοῦς, ἕτεροι δὲ Αἰθέρος καὶ Οἰνηίδος, ἢ Νηρηίδος· ἔνιοι δὲ οὐρανοῦ καὶ γῆς. ¶ Λυκαίου] ὑπὸ τοῦ Λυκαίου φησὶ χωρίου, καλουμένου Καλλιστοῦς, εἰς ὃ ἐλθοῦσαν τὴν Λυκάονος Καλλιστὼ θυγατέρα ἄρκτον οὖσαν, ὑπὸ Ἑρμοῦ τραφῆναι. ἥν φησιν Ἄρατος ἐν οὐρανῷ ἠστερίσθαι.

124 Μέγα Μαίναλον] Μαίναλον ὄρος Ἀρκαδίας, ἀπὸ Μαινάλου τοῦ Λυκάονος υἱοῦ Ἑρμοῦ. ἔνθα ἡ Ἀταλάντη τῷ Ἰάσονι προέχετο δόρυ ξένιον· Δεξιτερῇ δ' ἕλεν ἔγχος ἑκηβόλον ὅ ῥ' Ἀταλάντη Μαινάλῳ ἔν ποτέ οἱ ξεινήιον ἐγγυάλιξεν.

125 Ἑλίκας δὲ λίπε ῥίον] τοῦ ὄρους τὸ ἀκρωτήριον, παρὰ τὸ ἐπιῤῥεῖσθαι τοῖς τῶν ὑετῶν ὄμβροις, καὶ πηγῶν ὕδασιν. ἢ ὄνομα πόλεως, πρὸς τῷ ὁρίῳ τῷ Ἀχαικῷ, ὁ Αἰπύτου τάφου κεφαλή. καὶ Ὅμηρος· Αἰπύτιον παρὰ τύμβον. εἰς ὅν φασι τὰ εἰσερχόμενα ζῶα ἄγονα γίνεσθαι.

126 ἀγαστὸν δὲ, ἤγουν ἔκπληξιν ἔχον, διὰ τὰ ἐν αὐτῷ γινόμενα. Ἄλλως. Ὁ νοῦς. Ὦ Πὰν Πάν εἴτε εἰς κατὰ τὰ ὄρη τὰ μακρὰ, ἤγουν, τὰ ἐπὶ πολὺ διήκοντα τοῦ Λυκαίου· ὄρος δὲ Ἀρκαδίας τὸ Λύκαιον, εἴτε σύ γε περιέρχῃ τὸ μέγα Μαίναλον, ὄρος καὶ τοῦτο Ἀρκαδίας· ἐλθὲ ἐπὶ τὴν νῆσον τὴν Σικελίαν, ἀντὶ τοῦ τὴν Σικελικήν. τῆς Ἑλίκης δὲ τὸ Ῥίον κατάλιπε, καὶ τὸ ὑψηλὸν μνῆμα ἐκεῖνο τοῦ υἱοῦ τοῦ Λυκάονος ἤγουν τοῦ Μαινάλου, ἀφ' οὗ τὸ ὄρος Μαίναλον, ὃ καὶ τοῖς θεοῖς ἐστὶ θαυμαζόμενον. τὸ δὲ Ῥίον ἀκρωτήριόν ἐστι τῆς Πελοποννήσου, ἐναντίως τοῦ καλουμένου Ἀντιρρίου τετραμμένον.

127 Ἴτε λήγετε] ὥσπερ ἤρξατε, οὕτω καὶ λήγειν ποιήσατε. παρακελευσματικὸν ἐπίρρημα τὸ ἴτε, ἀντὶ τοῦ ἄγετε.

128 Ἐνθ' ὦ 'ναξ] ἐλθὲ ὦ ἄναξ, καὶ τὴν δὲ τὴν καλὴν σύριγγα τὴν γλυκύφωνον, τοῦτο γὰρ τὸ μελίπνουν, ἐκ κηροῦ εὐπήκτου οὖσαν περὶ τὸ χεῖλος ἑλικτὴν, ἤγουν περιειλημμένην, φέρε, ἀντὶ τοῦ λάβε. οὕτως γὰρ ἐγὼ ὑπὸ τοῦ ἔρωτος ἤδη ἐλήλυθα εἰς τὸν ᾅδην. εὔπηκτον δὲ λέγει τὸν κηρὸν, ὡς εὐκόλως πηγνύμενον καὶ μελίπνουν, τὴν ὀσμωδίαν διὰ τὸν κηρόν. Ἄλλως· τὸ ἑξῆς, Λάβε τὴν σύριγγα τὴν ἐκ κηροῦ εὐπήκτου περὶ τὸ χεῖλος εἱλουμένην ἐκ τοῦ συνέλξειν. ¶ 132 Φορέοιτε βάτοι] ἡ βάτος θηλυκῶς λέγεται, ὁμοίως ἐν τούτῳ καὶ ἡ νάρκισσος, παρὰ δὲ τῷ Ἀριστοφάνει



© Centre d'Études Supérieures de la Renaissance - Tours

ἀρσενικῶς λέγεται.

133 Ἐπ᾽ ἀρκεύθοισι κομάσαι] ἄρκευθος, εἶδος φυτοῦ ἀκανθώδους. τὸ δὲ κομάσαι ἀντὶ τοῦ ἀναθῆλαι. τὰ ἀπαρέμφατα ἀντὶ προστακτικῶν. Ἄλλως. Νῦν δ᾽ ἴα μὲν φορέοιτε. νῦν δὲ ἴα μὲν αἱ βάτοι φορέοιτε, ἀντὶ τοῦ φέρετε. τουτέστι, γεννᾶτε, ἐκτρέφετε, φέρετε δὲ αἱ ἄκανθαι. ἡ δὲ καλὴ νάρκισσος, κομάσαι ἀντὶ τοῦ βλαστησάτω ἐπὶ ταῖς ἀρκεύθοις. ἀκανθῶδες φυτὸν ἡ ἄρκευθος. τὸ δὲ κομάσαι, γίνεται ἀπὸ τοῦ κομέω κομῶ, ὃ λέγεται οὐ μόνον ἐπὶ τριχῶν, ἀλλὰ καὶ ἐπὶ φυτῶν. πάντα δὲ ἐνηλλαγμένα γένοιτο. καὶ τό· ἄνω ποταμῶν χωροῦσιν αἱ πηγαί.

134 Καὶ ἁ πίτυς ὄχνας, ἤγουν ἄπια ἐνείκαι, ἀντὶ τοῦ ἐνεγκάτω, γεννησάτω, ἐκθρεψάτω, ἐπεὶ ὁ Δάφνις ἀποθνήσκει. ¶ ὄχνας, ἀπίους καὶ ἀχράδας, ἀχλάδας. ἀχλάδας μὲν διὰ τὴν ἐν τῷ ἐσθίεσθαι, ὄχλησιν οἱονεὶ ἐμποιεῖν, ὀχλάδας τινὰς οὔσας· ὄχνας δὲ, ἀπὸ τοῦ ἄγχειν δοκεῖν· ἀπίους δὲ, ὅτι πρῶτον ἐν Πελοποννήσῳ δοκοῦσι φῦναι, ἣ ἐλέγετο Ἀπία.

136 Κἠξ ὀρέων τοὶ σκῶπες] Ἀλέξανδρός φησι τοὺς σκῶπας οὐκ ἐπιτερπεῖς τῇ φωνῇ· διὸ καὶ παρ᾽ Ὁμήρῳ φησὶν ὀρθῶς δοκεῖν γράφεσθαι Σκῶπές τ᾽ ἴρηκές τε. Οὐ δεῖ γάρ φησι, γράφεσθαι χωρὶς τοῦ σ. οἱ γὰρ σκῶπες φωνὴν ἀφιᾶσι. Καλλίμαχος δέ φησι, φθέγγεται, ὥσπερ ἐπισκώπτων τῇ φωνῇ, ὅθεν καὶ οὕτω καλεῖται. Τυραννίων δέ φησι σκῶπας τοὺς νυκτικόρακας. οἷον, σκιόπας τοὺς ἐν σκιᾷ ἔχοντας τὴν ὄπα, ἤγουν ἐν νυκτὶ ἔχοντας τὴν φωνήν. Ἄλλως. καὶ τὰς κύνας ὥλαφος ἕλκοι, ἀντὶ τοῦ· καὶ τοὺς μαστοὺς τῶν κυνῶν, ὁ ἔλαφος ἑλκέτω· καὶ ἐκ τῶν ὀρῶν οἱ σκῶπες ταῖς ἀηδόσι γαρύσαιντο, ἀντὶ τοῦ εἰς ἔριν φωνῆς ἐλθέτωσαν· σκῶπας δὲ λέγουσιν εἶναι τοὺς νυκτικόρακας.

138 Χ᾽ ὣ μὲν τόσσ᾽ εἰπὼν ἀπεπαύσατο, ἢ ἀνεπαύσατο. εὐφήμως τὸ ἀποθανεῖν ἀναπαύσασθαι ἔφη. καὶ Ὅμηρος· Ὣς ὁ μὲν αὖθι πεσὼν, κοιμήσατο χάλκεον ὕπνον.

139 Τά γε μὰν λίνα πάντα λελοίπει] ἐπεπλήρωκε τὸ χρεών. καὶ Ὅμηρος· Γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ. Λίνον δὲ οἱ ποιηταὶ ἀντὶ ἐρίου συνάπτουσιν, ὅτι τὸ λίνον ἐκ γῆς καὶ αὗται δὲ αἱ μοῖραι, ἐκ γῆς ἐπικλώθουσι τοῖς ζώοις τὴν ἐκ γῆς ἀνάλυσιν.

140 Ἔβα ῥόον] τουτέστιν, ἀπέθανε, καὶ τὸν Ἀχέροντα διῆλθε.

141 Τὶν Μοίσαισι φίλον] καθὸ πρῶτος εὕρατο βουκολικήν. φίλον ἄνδρα. ἐπεὶ ταῖς πάσαις οἰκείως διέτριβε. Ἄλλως. ὁ νοῦς. καὶ ὁ μὲν τοσαῦτα εἰπὼν, ἀπεπαύσατο, ἤγουν ἀπέπνευσεν, ἐτελεύτησε τὸν βίον. τοῦτον δὲ ἡ Ἀφροδίτη ἤθελεν ἀνορθῶσαι, ἤγουν, ἀνακαλέσασθαι, ἀναζωῶσαι, τά γε μὰν λίνα, τουτέστι τὰ νοήματα τὰ ὑπὸ τῶν μοιρῶν ἐπ᾽ αὐτῷ κλωθόμενα πάντα λελοίπει, ἤγουν, ἐξέλιπον, ἐπαύσαντο· καὶ ὁ Δάφνις διέβη τὸν ῥοῦν τοῦ Ἀχέροντος, δηλονότι ἔκλυσεν,

ἤγουν

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἤγουν ἐκάλυψεν ἡ δίνη, τουτέστιν ἡ συστροφὴ τῶν ῥευμάτων τοῦ Ἀχέροντος, τὸν ἄνδρα τὸν ὑπὸ τῶν Μουσῶν φιλούμενον· ὡς τῶν ᾠδῶν δηλονότι τῶν προσφιλῶν αὐταῖς ἐπιμελούμενον. ¶ τὸ οὐ νύμφαισιν ἀπεχθῆ, ἤγουν μὴ μισούμενον ταῖς νύμφαις, ἀλλὰ καὶ ὑπ' αὐτῶν δηλονότι φιλούμενον.

143 Καὶ τὺ δίδου τὰν αἶγα καὶ τὸ σκύφος] ἤγουν, τὸ ποτήριον. ὡς ἂν ἀμέλξας, σπονδὴν ποιήσω ταῖς Μούσαις, εἶτα ἀποτείνει πρὸς τὰς μούσας καὶ φησίν· ὦ Μοῖσαι, χαίρετε πολλάκις, τουτέστιν, ἀσπάζομαι ὑμᾶς πολλάκις. ἐγὼ δὲ χάριν ὑμῶν καὶ ἐς ὕστερον, ἤγουν εἰς τὸ ἐπιὸν, ᾄσω ἡδύτερον.

146 Πλῆρές τοι μέλιτος] ἀντωνυμία τό τοι. εἴθε γένοιτο τὸ καλόν σου στόμα ὦ Θύρσι, μέλιτος πεπληρωμένον.

147 Πλῆρές τοι χαδόνων] γράφεται καὶ πλῆρες δέ. χαδόνες δὲ τὰ ἐκ τῶν κηφήνων κηρία, ὥς φησιν Ἀριστοτέλης. Θεαίτητος δέ, τοὺς κηροὺς τοὺς ἔχοντας τῶν κηφήνων τοὺς γόνους. οἵτινες ἡδὺ ποιοῦσι βρῶμα. οἱ δὲ κοινότερον ἐπὶ τῶν κηρίων, ὧν τὸ μέλι ἐσθίεται. ¶ καὶ ἀπ' Αἰγίλω ἰσχάδα] Αἴγιλος, δῆμος τῆς Ἀττικῆς ἀπό τινος φυλῆς ἥρωος Αἰγίλου. ὅτι δὲ αἱ Ἀττικαὶ ἰσχάδες ἡδεῖαι καὶ Δίων μαρτυρεῖ. ἔστι δὲ καὶ Λακωνικὸν χωρίον Αἴγιλον. τινὲς δὲ ὅτι ἐστὶ καὶ νῆσος μεταξὺ Κρήτης καὶ Λακωνικῆς οὕτω καλουμένη.
Ἄλλως. Πλῆρές τοι χαδόνων] ἤγουν μέλιτος κηρίου. περισσὸν δὲ ἐνθῶθαι τό τοι. καὶ ἀπ' Αἰγίλω εἴθε τρώγοις ἰσχάδα ἡδεῖαν. αὕτη δὲ ἀπὸ τῆς Ἀττικῆς. Αἴγιλος γὰρ δῆμος ἐν ταῖς Ἀθήναις.

148 ἐπεὶ τύγε φέρτερον ᾄδεις] ἤγουν βέλτιον τέττιγος.

149 Ηνὶ δέ τοι] ἤγουν ἰδοὺ τὸ δέπας, θέασαι φίλος ὅπως καλὴν ὀσμὴν πέμπει. Ἐπὶ κράνεσιν. ἐπὶ κρήναις ταῖς τῶν Ὡρῶν δόξεις ἀποπεπλῦσθαι. αὐτὶ τοῦ ἔαρος· ἐπεὶ ἀνθεῖ πάντα τότε. Ἄλλως. Δοκασεῖς· ἤγουν δόξεις· νομίσεις πεπλῦσθαι αὐτό, ἐπὶ ταῖς πηγαῖς τῶν Ὡρῶν, οὕτως ἐστὶ δηλονότι ὡραῖον. Ὧ δ' ἴθι. ἤγουν δεῦρο ἐλθὲ Κισσαίθα. ὄνομα αἰγὸς ἡ Κισσαίθα, ἢ ἡ πρὸς τὸ γεννᾶν διάπυρος, καὶ θερμή, ἀπὸ τοῦ κισσῶ τὸ γεννῶ, καὶ τοῦ αἴθω τὸ καίω· εἰ δὲ κιναίθα γράψεις, κιναίθα ἐστὶν ἡ πρὸς τὸ κινεῖσθαι διάπυρος, ἤγουν, ταχεῖα αἴξ· ἀπὸ τοῦ κινῶ, καὶ τοῦ αἴθω τὸ καίω. Ἄλλως, Κισσαίθα ὄνομα αἰγός. ἐκ τοῦ κισσῶ καὶ τοῦ αἴθω, ἡ κισσὸν λευκὸν κατανεμομένη. αἶθον γὰρ τὸ λαμπρόν. ἐκ δὲ τοῦ λαμπροῦ γίνεται μεταληπτικῶς τὸ λευκόν.

150 Τὺ δὲ] σὺ δὲ ἄμελγε αὐτήν. ¶ αἱ δὲ χίμαιραι, οὐ μὴ σκιρτήσητε, τῆς συνωνύμου δηλονότι στερούμεναι.

151 μὴ ὁ τράγος] τὸ οὐ, ἀπὸ κοινοῦ ἤγουν, οὐ μὴ ἐπιβῇ δηλονότι ὁ τράγος ὑμῖν.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ β'.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον, φαρμακεύτρια, κέχρη-



© Centre d'Études Supérieures de la Renaissance - Tours

ται δὲ ὁ Θεόκριτος ἐν τούτῳ Δωρίδι διαλέκτῳ. προσλογίζει δὲ Σιμαίθα.

1 Πᾶ μοι ταὶ δάφναι φέρε Θέστυλι, πᾶ δὲ τὰ φίλτρα; Στέψον τὰν κελέβαν] στεφάνωσον τὴν κελέβην. κελέβη δέ ἐστιν ὄνομα πόλεως· ἔστι δὲ καὶ ποτήριον ξύλινον κυλικῶδες. Εὐφορίων ἐν ποτηριογλύπτῃ· Ὅς κε ἐμὴν κελέβην ἀλυσθηΐδα μαιῶον ἀπηύρα.

2 οἰὸς ἀώτῳ] προβάτου ἄνθει, ἀντὶ τοῦ ἐρίῳ ὡς συνεργοῦντος δὲ τούτου πρὸς τὰς φαρμακείας θεραπεύεται. Ἄλλως. στεφάνωσον τὴν κελέβην, τῷ λεπτοτάτῳ καὶ ἐξαιρέτῳ ἐρίῳ τοῦ προβάτου τοῦ φοινικοῦ· ἤγουν τοῦ κοκκίνου. ξύλινον δὲ ποτήριόν φασιν εἶναι τὴν κελέβην.

3 Ὡς τὸν ἐμὸν βαρυνεῦντα] ἵνα τὸν ἐμὸν φίλον ἄνδρα βαρύνοντά με καταθύσωμαι, ἤγουν καταγοητεύσω, ἢ καταγοητεύσασα, ἐν πυρὶ καύσασα τὰ ἐπὶ τοῦτο συντείνοντα φάρμακα· ὥσπερ τὸ λείβειν λέγεται μὲν καὶ ἀντὶ τοῦ σπένδειν, λέγεται δὲ καὶ ἀντὶ τοῦ χεῖν ἁπλῶς· οὕτω καὶ τὸ θύειν λέγεται μὲν καὶ ἀντὶ τοῦ τῶν παρόντων ἀπάρχεσθαι κατὰ τὴν τῶν παλαιῶν χρῆσιν. οὗτοι γὰρ οὐκ ἐπὶ τοῦ σφάττειν τοῦτο ἔθεσαν, ὡς οἱ νεώτεροι, ἀλλ' ἐπὶ τοῦ ἀπάρχεσθαι τῶν παρόντων. τὸ ἔρδειν δὲ καὶ τὸ ῥέζειν, ἔλεγον ἐπὶ τῶν σφαγίων. λέγεται δὲ καὶ ἀντὶ τοῦ καίειν ἁπλῶς, καὶ ἐν πυρὶ τιθέναι τι, καθὸ λέγεται ἐνταῦθα. Ἵνα καταθύσωμαι.

ὁριστικὸν ἀντὶ ὑποτακτικοῦ, ὡς ἐν τῷ· ἵνα εἴδομεν ἄμφω. βαρυνεῦντα, ἀντὶ τοῦ βαρύνοντα, μέλλων ἀντὶ ἐνεστῶτος. οὕτω γὰρ συνεφώνει τῷ μέτρῳ, βραχὺ ἔχων τὸ ρυ. τὰ γὰρ ἀπὸ τοῦ ω ῥήματα, ἐπὶ τοῦ μέλλοντος ἀεὶ βραχὺ τὸ δίχρονον ἔχουσιν. οἷον, κρίνω, κρινῶ· ὀτρύνω, ὀτρυνῶ· πλατύνω, πλατυνῶ.

5 Ἀρράξειν] ἐκρούσειν. ἀράσσω, δι' ἑνὸς ρ. οἱ ποιηταὶ δὲ ὅτε ἔχουσι χρείαν ἐκτεῖναι τὸ α, καὶ ἕτερον ρ προστιθέασιν αὐτῷ· καὶ ἐν τῷ παρατατικῷ ἐκκλίνοντες, τὸ κοινὸν ἄρρασσον λέγουσι, τῇ προσθήκῃ τοῦ ρ τὴν ἀρχὴν αὔξοντες.

8 Παλαίστραν] παλαίστρα ὁ τόπος ἔνθα παλαίουσι, καὶ αὐτὴ ἡ πάλη. ἐνταῦθα δὲ ἐπὶ τοῦ περιέργου λέγεται συμμιγνυμένου.

10 Ἀλλὰ σελάνα] Πίνδαρος φησὶν ἐν τοῖς κεχωρισμένοις τῶν παρθένων· ὅτι τῶν ἐραστῶν οἱ μὲν ἄνδρες εὔχονται τὸν ἥλιον, αἱ δὲ γυναῖκες σελήνην. Ἄλλως. τὰς ἔρωτι κατεχομένας τὴν σελήνην μεταχαλεῖσθαι συνήθες, ὡς καὶ Εὐριπίδης ποιεῖ Φαίδραν πράττουσαν ἐν τῷ καλουμένῳ Ἱππολύτῳ. κατὰ τί δὲ τοῦτο ἐπράττον; ἔνιοι φασὶν, ὅτι ἐπειδὴ σιγηλή ἐστιν ἡ νύξ· δεῖ δὲ τοῖς κλεπτομένοις ἔρωσι σιγῆς καὶ νυκτός. Μένανδρος, ὦ νύξ· σοὶ γὰρ δεῖ πλεῖστον Ἀφροδίτης. ἢ ὅτι καὶ ἡ σελήνη περὶ ἐρωτικήν τινα νενόσηκε. παρὸ καὶ ταῖς τῷ αὐτῷ πάθει κεχρημέναις συμπράσσει· ἢ ὅτι διάπυρος ὁ θεός, καὶ τὸ δὲ

πάθος

πάθος τοιοῦτο.

11 Τὶν γὰρ προσαείσομαι] σοὶ γὰρ καλὸν ὕμνον προσσυμνήσω ὦ σελήνη.

12 Τᾷ χθονίᾳ θ' Ἑκάτᾳ] τὴν Ἑκάτην χθονίαν φασὶ θεὸν καὶ νερτέρων πρύτανιν, καθὰ καὶ Σώφρων· Ἥραν μιχθεῖσαν Διῒ γεννῆσαι παρθένον ὄνομα δὲ αὐτῇ θέσθαι Ἄγγελον. ταύτην δὲ μετὰ τὴν γέννησιν, ὑπὸ ταῖς νύμφαις δοθῆναι παρὰ τοῦ Διὸς τρέφεσθαι. αὐξηθεῖσαν δὲ, κλέψαι τὸ τῆς Ἥρας μύρον, ᾧ τὸ πρόσωπον αὐτῆς αὐτὴ ἐχρίομαι, καὶ δοῦναι Εὐρώπῃ τῇ Φοίνικος θυγατρί. αἰσθομένην τὴν Ἥραν καὶ ἐφορμῆσαι βουλομένην αὐτὴν κολάσαι, τὴν καὶ τὰ μὲν τὸ πρῶτον εἰς γυναικὸς τετοκυίας οἶκον καταφυγεῖν, ἐκεῖθεν δὲ πρὸς ἄνδρας νεκρὸν φέροντας. ὅθεν τὴν μὲν Ἥραν ἀποστῆναι, τὸν δὲ Δία τοὺς Καβείρους κελεῦσαι ἀναλαβεῖν καὶ καθᾶραι· ἐκείνους δὲ ἐπὶ τὴν Ἀχερουσίαν λίμνην ἀπαγαγόντας ἁγνίσαι. ὅθεν τὴν θεὸν ἀποκεκληρῶσθαι τοῖς τεθνεῶσι, καὶ καταχθονίαν φασίν. Ἄλλως. τῇ Δήμητρι μιχθεὶς ὁ Ζεὺς, τεκνοῖ Ἑκάτην διαφέρουσαν ἰσχύϊ καὶ μεγέθει. ἣν ὑπὸ γῆν πεμφθῆναι ὑπὸ τοῦ πατρὸς πρὸς Περσεφόνης ἀναζήτησιν· καὶ νῦν Ἄρτεμις καλεῖται, καὶ φύλαξ, καὶ δᾳδοῦχος, καὶ φωσφόρος. καὶ χθονία.

12 Τὰν καὶ σκύλακες] διὰ τὸ σκύλακας συμφέρεσθαί τινα τῇ Ἑκάτῃ. Ἀριστοφάνης ἐν Δαιταλεῦσι· Τί δὲ κυνίδιον λευκὸν λαβὼν ἐθύω τῇ θεᾷ εἰς τὰς τριόδους· Ἄλλως. Σκύλακες τὰ μικρὰ τῶν κυνῶν ὑποκοριστικὸν γὰρ ὁ σκύλαξ. ἐνταῦθα δὲ σκύλακες, ἀντὶ τοῦ κύνες. Τὴν Ἑκάτην φασὶ, τὴν αὐτὴν εἶναι τῇ Περσεφόνῃ· τὴν Ἑκάτην δὲ καὶ τὴν σελήνην ἐπικαλεῖται, ὡς νυκτερινὰς θεὰς καὶ τὰ κατὰ τὴν νύκτα πραττόμενα ἐφορώσας.

13 Ἀνά τ' ἠρία] ἠρία οἱ τάφοι, παρὰ τὸ ἐνηρεῖσθαι τῇ γῇ· ἢ παρὰ τὴν ἐπιχεομένην τοῖς νεκροῖς ἔραν, ἤγουν γῆν, ἢ ἐστιν ἱερά.

14 Ἑκάτα δασπλῆτι] ἢ ᾗ οὐκ ἄν τις διαπελάσειεν· ἢ τὸ δὰ ἐπιτατικὸν, πολυπέλαστε· ἢ αὐτὴ τοῦ πολεμικοῦ. ἵν' ἔγκειται ἡ δαΐς, τουτέστιν ἡ μάχη· ἢ προσπελάζουσα ταῖς δᾳσὶ, τουτέστι φωσφόρος ἐπεὶ ἡ αὐτή ἐστι τῇ σελήνῃ. Ἄλλως. Νεκύων ἀνά τ' ἠρία] ἔρχου διὰ τῶν μνημάτων, καὶ τοῦ μέλανος αἵματος τῶν νεκρῶν. δασπλῆτι δὲ, σφόδρα πλησιάζουσα. ¶ καὶ ἐς τέλος ἄμμιν ὀπήδει] ἤγουν μέχρι τέλους παράμενε· τὰς μαγείας ταύτας ποιούσῃ χείρονας οὐδὲν οὔτε τῶν μαγειῶν τῆς Κίρκης, οὔτε τῶν μαγειῶν τῆς Μηδείας, οὔτε τῶν μαγειῶν τῆς ξανθῆς Περιμήδης.

15 Μήτε τι Κίρκης] ἔτι καὶ νῦν ἐν τῷ σεληνιακῷ ὅρῳ, ὅρμους δεικνύουσι τῆς Μηδείας, καὶ Κίρκης, ἐν οἷς ἐκεῖναι τὰ φάρμακα. Περιμήδης μνημονεύει παρ' Ὁμήρῳ Ἀγαμήδη λεγομένη, ἣ τόσα φάρμακα εἴδειν, ὅσα τρέφει εὐρεῖα χθών.



© Centre d'Études Supérieures de la Renaissance - Tours

17 Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν] Ἴυγξ, ὄρνεον Ἀφροδίτης, ὃ αἱ φαρμακίδες συνεργὸν ἔχουσι πρὸς τὰς μαγείας. λέγουσι δὲ καὶ αὐτὸν τὸν ἔρωτα ἀπὸ τοῦ ἐνόντος ζώου ἴυγγα, ὥς φησι Πίνδαρος, καὶ Ἀριστοτέλης ἐν τῷ περὶ ζώων μορίων, μεῖζον πίννης αὐτὸ λέγων, ἢ κινάδος· ἡ παρὰ Ῥωμαίοις σεισοπυγὶς καλουμένη, διὰ τὸ παντοδαπῶς στρέφειν καὶ λυγίζειν τὸν αὐχένα ἢ τὴν πυγήν. ἢ τὴν ἴυγγα, ὥς φησι Καλλίμαχος, ἠχοῦς θυγατέρα. φαρμακεύειν δὲ τὸν Δία, ὅπως αὖ αὐτῇ μιχθῇ· ὅθεν ὑπὸ Ἥρας εἰς ὀρνίθειον αὐτὴν μεταβαλεῖν, καὶ συνεργεῖν ταῖς φαρμακείαις. Ἄλλως. Ἴυγξ, ἡ λεγομένη σεισοπυγίς· ἣν φασὶν ἐν τῇ φύσει ἔχειν ἐρωτικήν τινα πάθω· ἀφ' ἧς καὶ πάντα ἁπλῶς τὰ εἰς φιλίαν κινοῦντα φάρμακα, ἴυγγας λέγουσι, καὶ τὰ ἐπαγωγὰ ἄλλως καὶ χαρίεντα, κατὰ μεταφοράν. ἐνταῦθα δὲ ἴσως τὴν σεισοπυγίδα λέγει, ἣν ἐν καταδέσει τινὶ ἡ Σιμαίθα ἔχουσα, ταῦτα ἐπᾴδει. Ἀλφιτά τοι πρᾶτον πυρὶ τάκεται] ὡς τῶν μαγευουσῶν ἄλφιτα θυουσῶν. ταῦτα δὲ θηλήματα ἔλεγον. τάκεται δὲ, τύφεται, θυμιᾶται, ὑπὸ τοῦ πυρὸς ἀναλίσκεται. κάρφεται ἔτι καὶ καίεται. ῥόμβος δὲ ὃν οἱ ἀττικοὶ κόρυμβον καλοῦσι. περισσὸν τέλειός ἐστιν ἀριθμὸς ὁ τρεῖς, ἀρχὴ ὢν, καὶ μέσον, καὶ τέλος. καὶ ἐστὶ φύσει τρίγωνος. τὸ δὲ τάκεται, ἐπὶ κηροῦ, καὶ χιόνος, καὶ τῶν τοιούτων λέγεται, τῶν κατ' ὀλίγον ἀναλισκομένων. ἐνταῦθα δὲ ἁπλῶς, ἀντὶ τοῦ ἀναλίσκεται, καὶ φθείρεται.

19 Πᾶ τὰς φρένας] ποῖ ἔχεις τὸν νοῦν ἐκτετοπισμένον· οὕτως βδελυρός, καὶ σοὶ γέλως γεγένημαι.

23 Δέλφις ἔμ' ἀνίασεν] ἠνίασεν, ἐλύπησε. καὶ ἐγὼ κατὰ τοῦ Δέλφιδος δάφνην καίω· καὶ ὡς λακεῖ μεγάλως πυρακτωθεῖσα, καὶ ἐξαίφνης ἀναφθήσεται, καὶ οὐδὲ τέφραν εἴδομεν αὐτῆς, οὕτω καὶ ὁ Δέλφις ἐν τῇ φλογὶ τοῦ ἔρωτος τήκοιτο.

27 Σάρκ' ἀμαθύνοι] ἄμαθον ποιήσας, ἀφανίσοι. ἄμαθος γὰρ ἡ κονις.

28 Ὡς τοῦτον τὸν καρὸν ἐγὼ σὺν δαίμονι τάκω] καθὰ σὺν ἀγαθῇ τύχῃ ἐγὼ τοῦτον τὸν κηρὸν ἀναλίσκω, οὕτως εἴθε διαρρέοιτο εὐθὺς καὶ οὐκ εἰς ἀναβολὰς ὑπὸ τοῦ ἔρωτος ὁ Μύνδιος Δέλφις. σὺν δαίμονι δὲ, τῇ σελήνῃ ἢ τῷ ἔρωτι, ἢ τῷ ἑαυτοῦ δαίμονι, ὡς Μένανδρός φησι· Δαίμων ἀνδρὶ παρίσταται εὐθὺς γινομένῳ. περιβόητον δὲ τὸ Σωκράτους δαιμόνιον. τὸ δὲ Μύνδιος, ἀπὸ τόπου. Μύνδος γὰρ Ἀρκαδίας, ἔνθα ἦν ὁ νεανίας. οἱ δὲ, Καρίας φασὶ τὴν Μύνδον.

30 Χ' ὡς δινεῖθ' ὅδε ῥόμβος] καὶ καθὰ στρέφεται οὗτος ὁ χάλκεος τροχὸς ἐξ Ἀφροδίτης, οὕτως ἐκεῖνος στρέφοιτο παρὰ ταῖς ἐμαῖς θύραις.

33 Νῦν θυσῶ τὰ πίτυρα, τὺ δ' Ἄρτεμι] θυσῶ, πυρὶ καύσω. ἣν δὲ περὶ τούτου Ἑκάτην ἐκάλεσε, ταύτην νῦν Ἄρτεμιν λέγει, διὰ

τὸ ὑπο-

© Centre d'Études Supérieures de la Renaissance - Tours

τὸ ὑπομεῖναι τινὰ κοινωνίαν τῆς θεᾶς.

34 Κινήσαις ῥ' ἀδάμαντα] τινὲς ἀδάμαντα τὸν λίθον, ἢ τὸν ἀδάμαντα σίδηρον. βέλτιον δὲ τὸν Ῥαδάμανθυν, ἤγουν τὸν Πλούτωνα λέγειν, καθὸ σκληρὸς καὶ ἀδάμαστος· τοῦτο δὲ ἀναφέρει ἐπὶ τὸν Δέλφιδα, καὶ φησὶ τὴν ψυχὴν αὐτοῦ δύναται, εἴ τι περ στέρεμνον ἔχει τοῦ σώματος. Ἄλλως. καὶ εἴ τι περ ἀσφαλὲς ἄλλο] εἴ τίς ἐστιν ἐν τῷ ᾅδη ἀδάμας, σκληρότερος ὢν δηλονότι τοῦ παρ' ἡμῖν ἀδάμαντος· καὶ κατὰ μηδεμίαν μηχανὴν μαλάττεσθαι δυνάμενος, καὶ τοῦτον κινήσαις ἄν, ἀντὶ τοῦ μαλάξαις· καὶ εἴ τι περ ἀσφαλὲς ἄλλο, ἤγουν σκληρὸν καὶ μὴ δυνάμενον μαλάττεσθαι. Ἄρτεμις δέ, ἡ αὐτὴ τῇ σελήνῃ.

35 Θέστυλι ταὶ κύνες ἄμμιν] πρὸς τὴν παιδίσκην φησὶ τεκμηραμένη, ὡς ἐκ τῶν ὀρυγμῶν τῆς θεοῦ κατὰ τὰς τριόδους πεφηνυίας. διὸ προστάσσει καθόσον τάχος τὸ χάλκωμα ἠχεῖν, ὅτι οὐκ ἔλαθεν αὐτὴν φανεῖσα.

36 Ἁ θεὸς ἐν τριόδοισιν] ἱδρύοντο δὲ τὴν Ἑκάτην ἐν ταῖς τριόδοις, ὅτι ἐπὶ τῶν καθαρμάτων καὶ μιασμάτων ἡ θεός. ἔνιοι δέ φασι Φεραίας τῆς Αἰόλου, καὶ Διὸς παῖδα αὐτὴν γεγονέναι, καὶ ὑπὸ τῆς μητρὸς εἰς τρίοδον αὐτὴν ἐρρίφθαι· τῶν δὲ Φέρητος βουκόλων ἀνελκομένων καὶ ἀναλαμβανομένων, ἐκθρέψαι. διόπερ τὰς τριόδους ἱερὰς τῆς θεοῦ νομισθῆναι. ἱδρύοντο δὲ αὐτὴν καὶ πρὸ τῶν θυρῶν, ὥς φησιν Αἰσχύλος· Δέσποιν' Ἑκάτη, τῶν βασιλείων πρόδρομος μελάθρων. ¶ τὸ χαλκίον ὡς τάχος ἄχει] τὸν γὰρ χαλκὸν ἐπῇδον, ἐν ταῖς ἐκλείψεσι τῆς σελήνης, καὶ ἐν τοῖς κατοιχομένοις, ἐπειδὴ ἐνομίζετο καθαρὸς εἶναι καὶ ἀπελαστικὸς τῶν μιασμάτων. διόπερ πρὸς πᾶσαν ἀφοσίωσιν καὶ ἀποκάθαρσιν αὐτῷ ἐχρῶντο, ὥς φησι καὶ Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν. τὸ ἄχει, ἀντὶ τοῦ ψόφει, κρότει, ἐπεὶ ὁ τοῦ χαλκοῦ ἦχος οἰκεῖος τοῖς κατοιχομένοις. φησὶν Ἀπολλόδωρος Ἀθήνησι τὸν ἱεροφάντην τῆς Κόρης ἐπικαλουμένης, ἐπικρούειν τὸ καλούμενον ἠχεῖον. καὶ παρὰ Λάκωσι βασιλέως ἀποθανόντος, εἰώθασι κρούειν λέβητα.

40 Ὅς με τάλαιναν] ὅς με τὴν ἀθλίαν ἀντὶ τοῦ κατάστασιν ἔχειν γυναικὸς, ἐποίησεν εἶναι ἀγεννῆ καὶ ἄσεμνον. τὸ δὲ ἦμεν, ἀντὶ τοῦ εἶναι, ἐκ τοῦ ἔμμεναι γίνεται, ἐκβολῇ τοῦ πρώτου μ, καὶ τροπῇ τοῦ ε εἰς η, καὶ ἀποκοπῇ τῆς αι διφθόγγου, ἦμεν.

45 Ὅσσον πόκα Θασέα φαντὶ Ἐν Δίᾳ] Θησεὺς γὰρ ἁρπάσας Ἀριάδνην τὴν Μίνωος, καὶ ἀπάρας εἰς Δίαν, τὴν νῦν καλουμένην Νάξον, κατὰ Διονύσου βούλησιν λήθῃ τινὶ χρησάμενος, ἀπέλιπεν αὐτὴν καθεύδουσαν. πολλαὶ δὲ καὶ ἕτεραί εἰσι νῆσοι Δίαι καλούμεναι· ἥ τε περὶ τῆς Κρήτης, ἐν ᾗ οὐκ εἰκὸς μόνην συμβῆναι τὰ περὶ τὴν Ἀριάδνην, ἡ μετονομασθεῖσα Νάξος· καὶ ἡ περὶ Μῆλον, καὶ ἡ περὶ Ἀμοργὸν, καὶ ἡ τῆς.

© Centre d'Études Supérieures de la Renaissance - Tours

Κέω χερρόνησος, καὶ ἡ Πελοποννήσου.

48 Ἱππομανὲς φυτὸν ἐστὶ] Ὁ μὲν Θεόκριτος φησὶ φυτὸν εἶναι τὸ ἱππομανές· οἱ δὲ περιττοὶ καὶ πολυπράγμονες, οὔ φασι φυτὸν εἶναι, ἀλλὰ τοὺς ἀποτικτομένους πώλους ἔχειν τι σαρκίον φυόμενον ἐπὶ τοῦ μετώπου γλοιῶδες. ἔλαττον ἰσχάδος, ὃ καλεῖται ἱππομανές. ἀποτρώγουσι δὲ αὐτὸ ἢ ἀπολείχουσιν εὐθὺς αἱ ἵπποι. καὶ εἰ τοῦτο ποιήσουσι, φιλοστοργοῦσι τὰ ἔκγονα· εἰ δὲ μὴ, ἀπεχθαίρουσι, καὶ οὐ προσίενται. διὰ τὸ φυσικῶς οὖν συμβάλλεσθαι πρὸς φιλοστοργίαν, οἱ ἱπποφορβοὶ ἀφαιροῦσιν αὐτὸ, καὶ αἱ φαρμακίδες χρῶνται αὐτῷ πρὸς τὰ φίλτρα. φασὶ δὲ ὅτι εἰ αἴσθοιντο τῆς ὀσμῆς αἱ ἵπποι, ἐκμαίνονται πρὸς τὸν ἔχοντα αὐτό· διὸ καὶ οὗτος μέμνηται τοῦ ἱππομανοῦς, ὅπερ συντελεῖ πρὸς τὰ φίλτρα, ὥς φησιν Ἀριστοτέλης καὶ Θεόφραστος. Ἄλλως. Κρατεύας φησὶ τὸ φυτὸν ἔχειν καρπὸν ὡς σικυοῦ ἀγρίου, μελάντερον δὲ τὸ φύλλον ὥσπερ μήκωνος ἀκανθῶδες. οὐ μέντοι προστίθησιν, εἰ πρὸς φίλτρα συμβάλλεται, ἢ συμμίγεται. ἴσως φυτὸν αὐτὸ ἔφη ὁ Θεόκριτος, οἱονεὶ φῦμα ἀπὸ τοῦ φύεσθαι ἐν τοῖς πώλοις, ὥς φησιν Ἀριστοτέλης. λέγει γὰρ καὶ Ἀρχίλοχος τὸ φῦμα φυτόν· Ἐθάλλω γὰρ ἄλλην οἶδα τοιούτου φυτοῦ ἐκῆσιν. ἀντὶ τοῦ, φύματος. ὁ νοῦς· Φυτόν ἐστι παρὰ τοῖς Ἀρκάσιν ἱππομανές. ἐπὶ τούτῳ πᾶσαι αἱ πῶλοι μαίνονται κατὰ τὰ ὄρη, καὶ αἱ ταχεῖαι ἵπποι. τοῦτο ὥσπερ ἑρμηνευτικὸν ἐπάγει τοῦ ἱππομανές. οὐ δείκνυσι δὲ ἵνα μανίαν λέγει μαίνεσθαι ἐπ' αὐτῷ τὰς ἵππους καὶ τὰς πώλους. ἴσως ἕλκει αὐτὸ ταύτας ἐφ' ἑαυτὸ, καὶ ἐνθουσιᾶν ποιεῖ, ἐπὶ τὴν αὐτοῦ ζήτησιν ὀσφρώμενον.

50 Ὡς καὶ Δέλφιν] οὕτω καὶ τὸν Δέλφιν ἴδοιμι μαινόμενον δηλονότι, καὶ εἰς τόδε τὸ οἴκημα εἰσέλθοι ἐκ τῆς λιπαρᾶς παλαίστρας. λιπαρὰν δὲ λέγει παλαίστραν, ἐπεὶ οἱ παλαίοντες, ἐλαίῳ πρότερον ἤλειφον, εἶτα ἐπάλαιον.

53 Τοῦτ' ἀπὸ τᾶς χλαίνας τὸ κράσπεδον] τοῦτο τὸ μέρος τοῦ ἄκρου τῆς ἑαυτοῦ χλαίνης δηλονότι ἀπέβαλεν, ὃ ἐγὼ νῦν ξαίνουσα καταβάλλω ἐν τῷ πυρὶ τῷ ἀγρίῳ, ἤγουν τῷ δραστηρίῳ. ὅπερ καὶ ἄκοντα ἐλθεῖν αὐτὸν ἀναγκάσει. κράσπεδον, τὸ ἄκρον τοῦ κάτω μέρους τοῦ ἐνδύματος. ἐνταῦθα δὲ κράσπεδον λέγει, ἀντὶ τοῦ μέρους τοῦ κρασπέδου.

55 Αἲ, αἲ, ἔρως ἀνιηρὲ] φεῦ φεῦ, ὦ ἔρως ἀλγεινέ. διὰ τί μου τὸ μέλαν αἷμα πᾶν ἐκπέπωκας, ἐμφύς με, ἤγουν κατασχών μοι ὡς βδέλλα λιμνῆτις.

56 Βδέλλα] αἱ βδέλλαι ἐν λίμναις γίγνονται καὶ ἐν ποταμοῖς, προσαγόμεναι δὲ, τὸ αἷμα ἐκθηλάζουσι. εἴρηται δὲ βδέλλα, παρὰ τὸ βδάλλειν, ὅ ἐστιν ἐξαμέλγειν τὸ αἷμα. τὸ γὰρ ἀμέλγειν, Ἀττικοὶ βδάλλειν λέγουσι. Νίκανδρος·

Καὶ

© Centre d'Études Supérieures de la Renaissance - Tours

Καὶ συνέδελμαι ἐὸν γλάγος.

58 Σαῦραν τοι τρίψασα] τὴν κοινῶς λεγομένην χλωροσαῦραν· διαλγοῦσα γὰρ καὶ ἐνθυμουμένη, τὸ διὰ τῆς σαύρας πότον ὑπισχνεῖται αὐτῷ αὔριον δώσειν. ἔστι δὲ αὕτη δυσχερὲς, ἥ τις ἀποκτανθεῖσα καὶ ξηρανθεῖσα καὶ συντριβεῖσα, σὺν ἀλφίτῳ δίδοται. μεμύθευται γοῦν, ὡς καὶ τοῦτο τῶν φίλτρων ἐστὶν ἕν.

59 Τὰ θρόνα] θρόνα Θεσσαλοὶ μὲν, τὰ πεποικιλμένα ζῶα· Κύπριοι δὲ, τὰ ἀνθινὰ ἱμάτια· Αἰτωλοὶ δὲ φάρμακα, ὥς φησι Κλείταρχος. Ὅμηρος δὲ τὰ ῥόδα, παρὰ τὸ ἄνω θορεῖν ἐκ τῆς γῆς.

60 Φλιᾶς] γράφεται καὶ φιλίας, τουτέστι πρὸς φιλίαν. ¶ Ἃς ἔτι καὶ νῦν Ἐκ θυμῶ δέδεμαι] ἤγουν, ἐκδέδεμαι. ἐκκρεμής εἰμι, τουτέστι τῇ ψυχῇ· αὐτὸς δὲ, οὐδεμίαν φροντίδα ποιεῖταί μου.

62 Ἐπιφθύζοισα] ἐπιψιθυρίζουσα, ἡσύχως ἐπᾴδουσα.

65 Τίς μοι κακὸν ἄγαγε τοῦτο] ἤγουν, προυξένησεν.

66 Ἦνθ' ἁ τῶ 'ὑβούλοιο κανηφόρος] ἄρχεται διηγεῖσθαι ὅπως ἐνέπεσεν εἰς τὸν ἔρωτα. φησὶ δὲ οὕτως· ἦλθεν ἡ τοῦ Εὐβούλου θυγάτηρ Ἀναξὼ κανηφοροῦσα τῇ Ἀρτέμιδι, καὶ πομπὴν ἀγομένη τῇ θεᾷ. εἰώθασι γὰρ τῇ Ἀρτέμιδι κανηφορεῖν αἱ μέλλουσαι γαμεῖσθαι, ἐπὶ ἀφοσιώσει τῆς παρθενίας, ἵνα μὴ νεμεσηθῶσιν ὑπ' αὐτῆς. τὰ δὲ μυστήρια ταῦτα, Ἀθήνησι πολιτεύονται. ἐκανηφόρουν δὲ τῇ Ἀρτέμιδι αἱ ὥραν ἔχουσαι γάμου, ὥσπερ ἀπολογούμεναι περὶ τῆς παρθενίας τῇ θεᾷ, ἵνα μὴ ὀργισθῇ αὐταῖς μελλούσαις τὸ λοιπὸν φθείρεσθαι. καὶ παρὰ Μενάνδρῳ· Αἱ κυισκοῦσαι ἐπικαλεῖσθε τὴν Ἄρτεμιν, ἀξιοῦσθαι συγγνώμης, ὅτι διεκορήθητε. Ἄλλως ὁ νοῦς· Ἦνθ' ἁ τῶ 'ὑβούλοιο] ἦλθεν ἡ Ἀναξὼ ἡ τοῦ Εὐβούλου ἡμῖν θυγάτηρ δηλονότι ἡ κανηφόρος, εἰς τὸ ἄλσος τῆς Ἀρτέμιδος· ἤγουν εἰς τὸ τέμενος τῆς Ἀρτέμιδος, εἰς τὸν ἀνατεθειμένον αὐτῇ τόπον. ἄλσος δὲ λέγει αὐτὸν, ὡς δενδρώδη ὄντα.

67 Τᾷ δὴ πόκα] Ταύτῃ δὴ τῇ Ἀναξοῖ δηλονότι, πολλὰ μὲν καὶ ἄλλα θηρία συνεπόμπευε. περισταδόν· ἤγουν, κατὰ κυκλικὴν στάσιν, κυκλόθεν. ἐζωγραφημένα δὲ ταῦτα ὡς ἔοικεν ἐπόμπευεν. ἐν αὐτοῖς δὲ καὶ λέαινα, ἐπόμπευε.

70 Καί μ' ἁ Θευχαρίλα] καί με ἡ τροφὸς τοῦ Θευχαρίλα ἡ ἀπὸ τῆς Θρᾴκης ἡ μακαρῖτις· ἐτελεύτησε γὰρ τὸν βίον δηλονότι.

71 Ἀγχίθυρος] ἐπιρρηματικῶς ἀντὶ τοῦ πλησίον ναίουσα καὶ οἰκοῦσα. ¶ Κατεύξατο] τουτέστιν, ὅρκους μοι ἐπέθηκε, πρὸς θεῶν λέγουσα, καὶ τοιαῦτά τινα, καὶ ἱκέτευσεν ὥστε ἀπελθεῖν με θεάσασθαι τὴν πομπήν.

73 ἐγὼ δέ οἱ ἁ μεγάλοιτος] ἐγὼ δὲ αὐτῇ, ἡ μεγάλως δυστυχής, ἠκολούθουν. οἶτος γὰρ ὁ μόρος ὁ ὄλεθρος καὶ θάνατος, ἀλλὰ

© Centre d'Études Supérieures de la Renaissance - Tours

καὶ πᾶν δεινόν. τοῦτο δὲ λέγει ὅτι ἐπείσθη προσελθεῖν ἐπὶ τὴν θύραν.

74 ξυστίδα] Ξυστὶς, γυναικεῖόν τι ἔνδυμα πεποικιλμένον. Ἄλλως. περιβόλαιον λεπτὸν ᾧ χρῶνται καὶ οἱ ἁρματηλάται. εἴρηται δὲ, ἀπὸ τοῦ τὸν χοῦν ξύεσθαι, ἢ ὡς ἕτεροι, ἀπὸ τοῦ ξύειν τὸν χρῶτα.

76 Ἤδη δ' εὖσαι] ἤγουν, οὖσαι. τὸ γὰρ εὖσαι ἀπὸ τοῦ ἐοῦσα γίνεται. κατὰ τὸ μέσον τῆς ὁδοῦ τῆς πλατείας, ἐκεῖ ὅπου εἰσὶ τὰ οἰκήματα τοῦ Λύκωνος, εἶδον τὸν Δέλφιν, καὶ τὸν Εὐδάμιππον ὁμοῦ πορευομένους. τούτοις δὲ ἦν γένειας μὲν ξανθοτέρα ἑλιχρύσου, στήθη δὲ λάμποντα κατὰ πολὺ πλέον ἢ τὸ στῆθος τῆς σελήνης δηλονότι, ἢ τὸ φῶς.

80 Ὡς ἀπὸ γυμνασίοιο] καθὰ ἀπὸ τῆς παλαίστρας ἐξελθοῦσιν αὐτίκα τότε καλὸν πόνον λιποῦσι· τουτέστι, τοὺς γυναικὸς ἀγῶνας τῆς πάλης λιποῦσιν. Καὶ οὐκ ἔτι πομπᾶς] καὶ οὐδαμῶς οὔτε τῆς πομπῆς ἐκείνης αἴσθησιν ἔχον, οὐδὲ ὅπως εἰς τὸν οἶκον ἐπανέστρεψα. τοῦτο γὰρ ὁμοῦ, τὸ πάλιν ἀπῆλθον ἔγνων.

85 Ἀλλά μέ τις] ἀλλὰ πυρώδης τίς με νόσος, τουτέστι πυρετὸς, ἐδαπάνησεν, ἢ ἐξαλάπαξε, διέφθειρεν, ἐκτὸς φροντίδος καὶ γνώμης ἐποίησε. γράφεται καὶ ἐξάλαξεν· ἵν' ᾖ, ἐξήλασε. Ἄλλως. Ἀλλάπαθα παρ' Ἀττικοῖς τὰ κενώματα. καὶ λάπαθος βοτάνη τις κενωτική.

86 Κείμαν δ' ἐν κλιντῆρι] καὶ ἐκείμην ἐν τῇ κλίνῃ ἐπὶ δέκα ἡμέρας καὶ νύκτας· καὶ τὸ σῶμά μου ὅμοιον ἐγένετο καὶ πάνυ θαψῷ, τῷ κοινῶς λεγομένῳ χρυσοξύλῳ.

88 Πολλάκι θαψῷ] χλωρὸς, ἢ ξανθός. θάψος γάρ ἐστι ξύλον τι ὃ καλεῖται σκυθάριον, ἤγουν σκυθικὸν ξύλον, ὥς φησι καὶ Σαπφώ. τούτῳ δὲ τὰ ἔρια βάπτουσι, καὶ ποιοῦσι μήλινα, καὶ τὰς τρίχας ξανθίζουσιν. ἔστι δὲ τὸ παρ' ἡμῖν λεγόμενον χρυσόξυλον. Ἀσκληπιάδης δὲ, φυτόν τι χλωρὸν, ὅθεν καὶ τὴν θαψίαν πρὸς τὰ ἐπώπια· βάπτεσθαι δὲ ἐκ ταύτης, τὰ κροκώδη.

90 Ὀστέ' ἔτ' ἦς καὶ δέρμα] Ὀστᾶ μόνα εἰσὶν ὑπόλοιπα καὶ εἰς τίνος γραίας δόμον οὐκ ἀπῆλθον, ἢ τις ἐπῳδαῖς ἠπίστατο χρῆσθαι. ἀλλ' οὐδεμία ἦν ἀνάπνευσις, οὐδ' ἐκουφιζόμην τοῦ ἔρωτος, καὶ ὁ χρόνος διήρχετο ῥέων.

94 Χ' οὕτω τᾷ δούλᾳ] Καὶ τοῦτον τὸν τρόπον τοῦ πράγματος ἔχοντος δηλονότι, ἔλεξα τὴν ἀλήθειαν τῇ ἐμῇ δούλῃ, οὑτωσὶ εἰποῦσα· εἶα ἄγε ὦ Θεστυλί μοι ἐπινόησον, ἵνα μηχανὴν ἐξεύρῃς, ἕνεκα τῆς χαλεπῆς μου καὶ βαρείας νόσου, ὅτι με ὁ ἔρως τοῦ Μυνδίου πολλὰ βαρύνει. ἀλλὰ ἀπελθοῦσα πρὸς τὴν παλαίστραν τοῦ Τιμαγήτου, σκόπησον. ἐκεῖ γὰρ ἀναστρέφεται καὶ ἐκεῖ αὐτῷ ἡδὺ καθέζεσθαι.

99 Φράζεό μοι] Συνεχῶς ἐπικαλεῖται τὴν σελήνην· ἢ ὡς συνεργὸν πρὸς τὰς μαγείας, ἢ ὡς καὶ αὐτὴν ἐρασθεῖσαν Ἐνδυμίωνος.



© Centre d'Études Supérieures de la Renaissance - Tours

100 Κἠπεί κέ νιν] καὶ ἐπειδὰν αὐτὸν μόνον ὄντα εἴδῃς κεχωρισμένον δηλονότι τῶν ἄλλων, ἥσυχα, ἤγουν ἡσύχως νεῦσον, καὶ εἰπὲ ὅτι ἡ Σιμαίθα σε καλεῖ, καὶ ὁδήγησον αὐτὸν ὧδε. τὸ ἥσυχα, Μοσχόπουλος παρώξυνεν, ἵνα ᾖ ἀντὶ τοῦ ἡσύχως. ἀγνοεῖ δὲ ὅτι τὰ εἰς α οὐδέτερα πληθυντικὰ ἀντὶ ἐπιρρημάτων πολλάκις λαμβάνεται. οἷον φίλα ἀντὶ τοῦ φίλως. καὶ ὅσια, ἀντὶ ἀντὶ τοῦ ὁσίως.

102 Ὣς ἐφάμαν] Οὕτως ἔφην, αὐτῇ δηλονότι τῇ δούλῃ. ἁ δ' ἦνθεν] αὐτὴ δὲ ἀπῆλθε καὶ ἤγαγε τὸν εὔτραφῆ Δέλφιν δηλονότι εἰς τὸν ἐμὸν οἶκον.

103 ἐγὼ δέ μιν ὡς ἐνόησα] ἐγὼ δὲ ὡς εἶδον αὐτὸν ἤδη τὴν φλιὰν τῆς θύρας ὑπεραμειβόμενον, ἤγουν ὑπερβαίνοντα ποδὶ ἐλαφρῷ, πλέον χιόνος ἅπασα ἐψυχράνθην.

107 Ἱδρὼς δὲ κοχύεσκε] κατέτρεχε, κατεφέρετο καὶ δαψιλῶς ἔρρει, ὁμοίως καὶ κατ' ἴσον ταῖς καθύγροις δρόσοις. κόχος γὰρ ὁ δαψιλὴς ῥοῦς. ὀνοματοπεποίηται δέ.

108 Οὐδέ τι φωνᾶσαι] οὐδὲ φωνῆσαί τι ἐδυνάμην, οὐδ' ὅσον ἐν ὕπνῳ κνυζῶνται τὰ τέκνα φωνοῦντα πρὸς τὴν φίλην αὐτῶν μητέρα. τὸ κνυζᾶσθαι, ἐπὶ τῶν κυνῶν λέγεται κυρίως, ὅτε προσερχόμενοί τινι, φωνὴν τινὰ ἀπὸ χαρᾶς ἀφιᾶσιν. ἐνταῦθα δὲ ἐπὶ τῶν βρεφῶν τοῦτο τίθησι μεταφορικῶς. ὁμοίως τὸ φωνεῦνται ἀντὶ τοῦ φωνοῦνται, κυρίως ἐπὶ τῶν ὀρνέων λέγεται, καταχρηστικῶς δὲ ἐπὶ τοῦ ἡσύχου καὶ ἀσήμου ὑλακῆς τῶν κυνῶν.

110 Ἀλλ' ἐπάγην δαγῦδι καλὸν χρόα] ἀντὶ τοῦ ἄφωνος γέγονα ὁμοία δαγῦδι, ᾧ αἱ παρθένοι κοσμοῦνται. δαγὺς δέ ἐστι κοροκόσμιόν τι. καλοῦσι δὲ αὐτὸ καὶ νύμφην. οἱ δὲ πλάγγονα, ὡς Ἀττικοὶ ἀπὸ τοῦ πεπλάσθαι ἐκ κηροῦ.

Ἄλλως. Δαγὺς, κόσμος ἐγκάρδιός ἐστι γυναικῶν, καὶ στέφανος περισφίγγων τὴν κεφαλὴν, καὶ πεπηγὼς ἐπ' αὐτήν.

112 Καί μ' ἐσιδὼν ὥστοργος] καὶ εἰσιδών με ὁ σκληρὸς καὶ ἐπὶ φιλίᾳ ἀβέβαιος, τὰς ἀκτῖνας τῶν ὀφθαλμῶν ἐρείσας, ἐκάθισεν ἐπὶ τῇ στρωμνῇ καὶ καθεζόμενος ἔφη·

114 Ἦ ῥά με Σιμαίθα] ὄντως ὦ Σιμαίθα τοσοῦτον προέλαβες εἰς τὸ σὸν τοῦτο οἴκημα καλέσασα, ὅπου με παρεῖναι ἐκάλεσας· δηλονότι ἀπὸ κείνου, ὅσον ἐγὼ πρώην ποτὲ τρέχων προέλαβον τὸν Φιλῖνον τὸν χαρίεντα.

118 Ἦνθον γὰρ κἠγών. ἦλθον γὰρ αὖ ἐγὼ νὴ τὸν γλυκὺν ἔρωτα, ἦλθον φίλος ὢν, ἢ μετὰ δύο ἄλλους, ἢ μετὰ τρεῖς, αὐτίκα ἐπὶ τῆς νυκτὸς, ἤγουν κατὰ τὴν παροῦσαν νύκτα. Μᾶλα μὲν ἐν κόλποισιν] μῆλα ἔχων ἐν κόλποις τὰ ἐράσμια καὶ ἔρωτος ποιητικά. λέγει δ' αὖ τοῦτο καθ' ὑπὸ Ἀφροδίτης διδόμενα τῷ Ἱππομένῃ μῆλα ἐκ Διονύσου, οἷς στεφανοῦνται ταῦτα δὲ εἰς ἔρωτα τὴν Ἀταλάντην ἐκίνησεν, ὥς φησι Φιλητᾶς, - τά οἱ ποτὲ Κύπρις ἑλοῖσα Μῆλα Διονύσου

© Centre d'Études Supérieures de la Renaissance - Tours

δῶκεν ἀπὸ κρεμάφων. Ἄλλως. Μᾶλα μὲν ἐν κόλποισιν. ἐν τῷ κόλπῳ μὲν φυλάσσων μῆλα τοῦ Διονύσου. ἴσως ἀπὸ τόπου τινὸς ἀφιερωμένα τῷ Διονύσῳ.

121 Κρατὶ δ' ἔχων λεύκαν Ἡρακλέος] Ὀλυμπιόνικος φησὶ τὸν Ἡρακλέα κατελθόντα εἰς ᾅδου, εὑρεῖν παρὰ τῷ Ἀχέροντι φυομένην τὴν λεύκην, καὶ εἰς ἀνθρώπους κομίσαι, ἣν Ὅμηρος ἀχερωΐδα καλεῖ, ὡς ἐν τῇ κεφαλῇ δὲ ἔχων τὸν στέφανον ἀπὸ τῆς λεύκης τοῦ φυτοῦ τοῦ Ἡρακλέος, πανταχόθεν περιειλημμένον περιζώσταις πορφυραῖς. ἐστεφανωμένος δέ φησι, λεύκῃ ἐληλύθει ὁ Δέλφις, ὅτι ἀθλητικός ἐστιν, ὡς καὶ Ἡρακλῆς· οἱ γὰρ ἀθλητικοὶ τούτῳ ἐστεφανοῦντο ὡς ἱερῷ. ἱερὸν δὲ ἦν τοῦτο Ἡρακλέος τοῦ πολλοὺς ἄθλους διενεγκόντος. ἐπεὶ αὐτὸν ἔλεγον ἀπὸ τοῦ Ἀχέροντος τοῦτο εἰς ἀνθρώπους κομίσαι. Ἀνδρός ἐστι τεχνικοῦ καὶ συνετοῦ τὰ ἐρωτικά, ἐρασθεῖσαν γυναῖκα μὴ παντελῶς ἀποστρέφεσθαι. ἡ γὰρ ἀμφὶ τούτων ἄγνοια, μῖσος ἀπεργάζεται. μεταδιδόναι δὲ καὶ λόγου μᾶλλον ἐνίοτε χρή, καί πως ὑποφαίνειν αὐτὸν ἐρῶντα. ἐκ μὲν γὰρ τοῦ παντελῶς ἀποστρέφεσθαι, κατάλυσίς ἐστι τοῦ ἔρωτος. ἐκ δὲ τοῦ δοκεῖν πως ἀντιφιλεῖν καὶ παρέχειν ἐλπίδα μίξεως καὶ ἔρωτος, αὔξησις μᾶλλον τοῦ πόθου. τοιοῦτον δή τινα καὶ τὸν Δέλφιν δεικνῦσιν ὁ ποιητικὸς ἡμῖν λόγος.

124 Καί μ' εἰ μέν] καὶ ἐὰν μὲ ἐνδέχεσθε μέ, ἦν αὖ τοῦτο προσφιλές. καὶ γὰρ εὔστροφος καὶ εὐειδὴς παρὰ πᾶσι τοῖς νέοις καλοῦμαι. ἀνεπαυόμην ἐὰν καὶ μόνον τὸ καλὸν σου στόμα ἐφίλησα. εἰ δὲ ἀλλαχόσε ἀπωθεῖσθε, καὶ ἡ θύρα ἠσφαλισμένη ἦν τῷ μοχλῷ, τῷ κοινῶς λεγομένῳ κλειδοπηγίῳ, ἐκ παντὸς καὶ πελέκεις καθ' ὑμῶν, καὶ λαμπάδες ἦλθον ἤγουν κατὰ τοῦ οἴκου ὑμῶν.

133 Ἔρως δ' ἄρα καὶ Λιπαραίω] ὁ ἔρως γὰρ φλόγα ἀνάπτει, καὶ τὸ πολὺ καυστικωτέραν τοῦ πυρὸς τοῦ Λιπαραίου ἤγουν, τοῦ ἐν τῇ Λιπάρᾳ τῇ νήσῳ.

136 καὶ παρθένον ἐκ θαλάμοιο] καὶ παρθένον δ' ἐν τοῦ δωματίου ἐφόβησεν αὐτὴ τοῦ φυγεῖν ἐποίησε. ὑπὸ κακῆς μανίας, ἤγουν κακῶς μαινομένην, καὶ νύμφην, ἤγουν γυναῖκα ἄνδρα ἔχουσαν, ἐκ τοῦ θαλάμου φυγεῖν ἐποίησεν, ἔτι θερμὴν λιποῦσαν τὴν τοῦ ἀνδρὸς αὐτῆς κοίτην.

138 ὡς ὁ μέν] οὕτως ἐκεῖνος εἶπεν. ἐγὼ δὲ ἡ ταχεῖα εἰς τὸ πείθεσθαι, τῆς χειρὸς αὐτοῦ ἁψαμένη (τὸ γὰρ οἱ, ἀντὶ τοῦ αὐτοῦ λαμβάνεται) ἔκλινα αὐτὸν ἐπὶ τῆς μαλακῆς στρωμνῆς· καὶ ταχέως ἐμαλακίζετο, καὶ ἡσύχως διελεγόμεθα μετὰ ἡδονῆς.

142 Χ' ὡς καί τοι] καὶ ὡς ἄν σοι μὴ ἐπὶ πολὺ παρατεινομένους λόγους λέγουσα ἐνοχλοίην ὦ φίλη Σελήνη, ἐπράχθη τὰ μέγιστα ἤγουν τὰ τῆς μίξεως. καὶ εἰς πόθον, ἀλλήλαιν δηλονότι, ἤλθομεν

μεν

© Centre d'Études Supérieures de la Renaissance - Tours

μὲν ἀμφότεροι· καὶ οὐδὲν οὔτε ἐκεῖνος ἐμοὶ ἐμέμψατο, ἤγουν ἐνεκάλεσε μέχρι ἐχθές· τὸ πλησίον δέ, διὰ τοῦ ἐχθὲς θέλει δηλοῦν. οὔτε ἐγὼ ἐκείνῳ ἐνεκάλεσα. ἀλλ' ἦλθεν εἰς ἐμὲ σήμερον, ἥ τε τῆς Φιλίστας μήτηρ τῆς ἐμῆς γείτονος, καὶ ἡ τῆς Μελιξοῦς· ἐπὶ τοῦ αὐτοῦ ὀνόματος τὰ δύο ἄρθρα, καὶ ἐν ἄλλοις τοῦτο γίνεται πολλοῖς.

147 Σάμερον ἁνίκα πέρ τε] σήμερον, ἡνίκα πρὸς τὸν οὐρανὸν ἔτρεχον οἱ ἵπποι τοῦ ἅρματος· δηλονότι τοῦ ἡλίου· φέρουσαι ἀπὸ τοῦ ὠκεανοῦ τὴν ἡμέραν τὴν ῥοδόπηχυν· ἤγουν, τὴν λαμπρὰν, τὴν τερπνὴν, τουτέστι, κατὰ τὸν ὄρθρον· καὶ εἶπέ μοι ἄλλα τε πολλὰ, καὶ ὅτι ἐρᾷ ὁ Δέλφις ἐρᾶται. ἀντὶ τοῦ ἐρᾷ· ἤγουν ἔρωτί τινος κατέχεται. καὶ εἴτε γυναικὸς πόθος ἔχει αὐτὸν, εἴτε καὶ ἀνδρὸς, οὐκ ἔφη, ὥστε εἰδέναι ἐμὲ ἀτρεκὲς, ἀντὶ τοῦ ἀτρεκῶς, ἤγουν φανερῶς. Τοσοῦτον δὲ ἔφη, ὅτι ἀεὶ ἀντὶ τοῦ συνεχῶς ἀκράτω ἔρωτος ἐπεχεῖτο· ἤγουν συνεχῶς ἔπινεν οἶνον ἔρωτος. οἶνος δὲ ἔρωτος, ὃν πίνει τις μεμνημένος τῆς ἐρωμένης, ἢ τοῦ ἐρᾶσθαι. εἰώθασι γὰρ οἱ ἐρῶντες ὑπὲρ τῶν ἀγαπωμένων πλείονας κυάθους ἐπιλείβεσθαι. Καλλίμαχος· Ἔγχει, καὶ πάλιν εἰπὲ Διοκλέος, οὐδ' Ἀχελῶος τῶν ἱερῶν αἰσθάνεται κυάθων.

152 καὶ ἐς τέλος] ἐπιρρηματικῶς ἀντὶ τοῦ τελευταῖον, ᾤχετο φεύγων. ἀντὶ τοῦ τρέχων ὅτι ἦλθε, καὶ ἔφη στεφάνοις κοσμεῖν αὐτοῦ τῆς ἐρωμένης δηλονότι, ἤγουν χαίρειν αὐτοῦ, ἐκεῖνα τὰ δώματα. ταῦτά μοι ἡ φίλη εἶπε, καὶ ἔστιν ἀληθὴς κατὰ ταῦτα. οὕτως γὰρ πρὸς ἐμὲ καὶ τρεῖς καὶ τετράκις τῆς ἡμέρας ἤρχετο καὶ εἰς τὸν οἶκόν μου πολλάκις ἐτίθει τὴν Δωρίδα ὄλπην ἴσως τὴν λήκυθον, τὴν ἔχουσαν τὸ ἔλαιον, ᾧ ἐχρῶντο ἐν ταῖς παλαίστραις.

156 Ἄλλως. Ὄλπη κυρίως, ἡ δερματίνη λήκυθος, δι' ἧς ἐπιν ὀπίνησαν τὸ ἔλαιον. νῦν δὲ ἴσως τὴν χαλκῆν φησὶ λήκυθον, διὰ τὸ Δωρίδα φάναι· ἀντὶ Κορινθίας. τὰ γὰρ Κορίνθια χαλκώματα διαβεβόηται.

158 Ἦ ῥ' οὐκ ὁ κόλος] ἠθικῶς ἐπαπορήσασα φησί. ἆρα οὐκ ἔχει τι ἄλλο τερπνὸν, καὶ ἡμῶν ἐπιλέλησται.

159 Νῦν μὲν τοῖς φίλτροις καταθύσομαι] τοῖς φαρμάκοις τοῖς εἰς φιλίαν κινοῦσι, καὶ [illegible], πεύσω· ἐὰν δέ με ἔτι λυπήσῃ, νὴ τὰς μοίρας τὴν τοῦ ᾅδου κρούσει πύλην· τουτέστιν ἀποθανεῖται.

161 Τοῖά οἱ ἐν κίστᾳ] τοιαῦτα κακὰ φάρμακα φημὶ [illegible] αὐτῷ φυλάσσειν ἐν κίστῃ, ἤγουν ἐν κιβωτίῳ ὦ δέσποινα πρὸς τὴν σελήνην ὅτι λέγει παρὰ τοῦ ἐμοῦ φίλου τοῦ Ἀσσυρίου ταῦτα μαθοῦσα. Ἀσσύριοι δὲ, ἔθνος Περσικὸν ἀκριβεῖς εἰς μαγείαν, μεταξὺ ὂν Τίγριδος καὶ Εὐφράτου. μέχρι δὲ τούτων τῶν περάτων, Σαρδανάπαλος ἐξέτεινε τὰ ὅρια.

163 Ἀλλὰ τὺ μὲν] ἀλλὰ σὺ μὲν ὦ πότνια σελήνη χαίρουσα

© Centre d'Études Supérieures de la Renaissance - Tours

πρὸς ὠκεανὸν τρέπε τὸ ἅρμα· ἤγουν πρὸς δύσιν. δοκεῖ γὰρ ἐπέχειν τὴν σελήνην διὰ τὰς μαγείας. ἐγὼ δὲ ὑπομενῶ τὸν ἐμὸν πόνον, ὥσπερ αὐτὸν δεξαμένη αὐτόν. Χαῖρε σελήνη λαμπρά· χαίρετε ἄλλοι ἀστέρες εὐκήλοιο. τὸ ἑξῆς. χαίρετε δὲ ἄλλοι ἀστέρες ἀκόλουθοι τῆς νυκτὸς τοῦ εὐκήλου, ἤγουν, τῆς ἡσύχου κατὰ τὴν ἄντυγα, ἀντὶ τοῦ κατὰ τὸ ἅρμα αὐτῆς ἀπὸ τοῦ ἕκηλος κατὰ πλεονασμὸν τοῦ υ, εὔκηλος· ὁ χωρὶς μὲν τοῦ υ, δασύνεται· ὅτε δὲ προσλάβῃ αὐτό, ψιλοῦται.

166 Νυκτὸς ὀπαδοί] Ὅτι δὲ ἐπὶ ἅρματος ὀχεῖται ἡ νύξ. Εὐριπίδης· Ὦ νὺξ ἱερά, ὡς μακρὸν ἵππευμα διώκεις ἀστροειδέα νῶτα, διφρεύουσα. ἀστέρες δὲ, ὅτι ἐπιγινομένης τῆς νυκτὸς, φαίνονται οἱ ἀστέρες. ποιητικὸν δὲ τὸ τὴν νύκτα ἐπὶ ἅρματος ὀχεῖσθαι, καὶ παράγειν ἡνιοχοῦσαν.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ γ'.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Ἀμαρυλλὶς ἢ Αἰπόλος, ἢ Κωμαστής. Δωρίδι.

Κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα] τὸ πρόσωπον οὐκ ἔστι φανερὸν τὸ προλογίζον. οἱ μὲν φασὶν αὐτὸν Θεόκριτον εἶναι, διὰ τὸ σιμὸν αὐτὸν καταφαίνεσθαι· οἱ δὲ Βάττον, αἰπόλον τινὰ ὃν ἐν ἑτέρῳ εἰσάγει τῆς Ἀμαρυλλίδος ἐρῶντα. ἀπρεπὲς γὰρ τὸν Θεόκριτον τῆς ἀγροίκου ἐρᾶν, ὥστε καὶ ἐν ἀγρῷ διάγειν. Καὶ ὁ Τίτυρος· τοὺς τράγους, τιτύρους λέγουσι, νῦν δὲ ὄνομά ἐστιν αἰπόλου, κατ' ἐμφέρειαν τοῦ χαρακτῆρος. Ἄλλως. ὄνομα κύριον ὁ Τίτυρος. τινὲς δέ φασιν ὅτι Σειληνός τις, οὐ Σικελιώτης. ἄλλοι δὲ τοὺς τράγους, ἕτεροι τοὺς σατύρους· ἔνιοι ὄνομα πόλεως Κρήτης· ἄλλοι δὲ τοὺς προπόλους τῶν θεῶν, τινὲς δὲ καὶ κάλαμον. οὐκ ἔστι δὲ ἄλλο ἢ ὄνομα αἰπόλου τινός. Ἄλλως. Κωμάσδω] τὸ κωμάζειν λέγεται ἐπὶ τῶν κατὰ νύκτα εἰς τὰς ἐρωμένας ἀπερχομένων. ὡς Ἀριστοφάνης ἐν Πλούτῳ· Ἔοικε δ' ἐπὶ κῶμον βαδίζειν. Ἀπέρχομαι πρὸς τὴν Ἀμαρυλλίδα, ἀποπειρασόμενος αὐτῆς, δι' ᾠδῶν καὶ λόγων τῶν ἐπὶ τοῦτο συντεινόντων. Τίτυρος δὲ, ὁ πίθηκος ὁ μικρὰν ἔχων οὐράν. ἐνταῦθα δὲ ὄνομα κύριον.

3 ἐμὶν τὸ καλὸν πεφιλαμένε] ἤγουν διὰ τὸ κάλλος ἐμοὶ πεφιλημένε. ἢ τὸ καλὸν, ἀντὶ τοῦ καλῶς, ἢ διὰ τὸ καλόν. ἤγουν διὰ τὸ καλὸς εἶναι ἢ διὰ τὸ καλόν σε εἶναι πεφιλαμένε. ἢ καλῶς ἀγαπώμενε, ὅ ἐστιν, ἄξιε ἀγαπᾶσθαι ἢ τὸ καλὸν, ἀντὶ τοῦ λίαν· ἢ κατὰ τὴν ἀδιάβλητον φιλίαν.

4 Καὶ ποτὶ τὰν κράναν] οὐκ ἔλαττον τῆς τροφῆς ὀνίνησι τὰ θρέμματα τὸ πιεῖν. Ὅμηρος· πιόμεν ἐκ βοτανῶν, καὶ τὸν ἐνόρχαν] τὸν ὄρχεις μεγάλους ἔχοντα, τὸν τέλειον, ἢ ἡμιτομίαν. καὶ Ὅμηρος· Πεντάετη δ' ἐνόρχα παρ' αὐτόθι. Κνάκωνα. τὸν κνηκὸν χροιὰν ἔχοντα. ἔκφυγε ἵνα μή σε κερατίσῃ. Ἄλλως Κνάκωνα, τὸν λευκὸν τράγον· ἀπὸ τῆς κνήκης τοῦ σπέρματος λευκοῦ ὄντος, ἢ

τος, ἢ

© Centre d'Études Supérieures de la Renaissance - Tours

τος, ἢ λέγγνον. μή τυ κορύψῃ. μή σε κεφαλίσῃ· τὸ γὰρ κεφαλίζειν κορύπτειν οἱ Ἀττικοὶ λέγουσιν, ὡς συντρεχόντων ἀλλήλοις τῶν κριῶν, καὶ τὰς κορυφὰς πληττόντων καὶ ῥηγνυμένων. τὸ δὲ κορύψῃ, οὐ περισπᾶται. τὰ γὰρ ὑποτακτικὰ, ὁμοίως ἡμῖν οἱ Δωριεῖς προφέρουσι. ¶ τὸν ἐρωτύλον] τὸν ἐραστὴν, τὸν ἐρωτικὸν, ὑποκοριστικῶς, οὐχ ὥς τινες κύριον. παροξύνονται δὲ τὰ τοιαῦτα πλὴν τῶ ὀξύνως. καὶ τοῦ παιδὸς ὀλοφυρομένην ἴτυλον· οἷον ἐρωτύλος, Αἰσχύλος, Ἑρμύλος, Σιμύλος.

8 Ἦ ῥά γέ τοι σιμός] τινὲς διὰ τοῦ σιμοῦ, τὸν Θεόκριτον φασίν. ἐπεὶ καὶ ἐν τοῖς Θαλυσίοις σιμιχίδας ὠνόμασται· πλὴν οὐκ αἰπόλος ὁ Θεόκριτος. οὐδὲ σιμιχίδας ἀπὸ τοῦ σιμοῦ, ἀλλ' ἀπὸ Σιμίχου πατρωνυμικόν.

10 ὡϊ, ἀντὶ τοῦ ἰδού. δασύνεται δὲ, καὶ ὀξύνεται τὸ ὡϊ, καὶ παρ' Ἀττικοῖς οὕτω προφέρεται. ¶ τηνῶθε καθεῖλον] ἐξ ἐκείνου τοῦ τόπου, ἐκεῖνος γὰρ τῆνος. οἱ δὲ Δωριεῖς τὸ ἐκεῖνος τῆνος φασίν.

11 Ἐκέλευ] ἐκέλευσάς με. καὶ κατὰ ἀποκοπὴν Δωρικῶς, ἐκέλευ. ἢ κέλω λέγεται τὸ προστάττω· ὁ παρατατικὸς, ἐκελόμην ἐκέλου, καὶ Αἰολικῶς, ἐκέλευ. οἱ γὰρ Αἰολεῖς τὴν ου, εἰς ευ, τρέπουσιν. Ἄλλως, Ἦ ῥά τοι] ἆρά σοι ὦ νύμφη σιμὸς φαίνομαι εἶναι ἀπὸ τοῦ πλησίον; ἤγουν συνεζηκυῖαν ἔχων τὴν ῥῖνα καὶ προγένειος; ἤγουν, προμήκης τὴν γενειάδα. νύμφην δὲ λέγει αὐτὴν, ὡς περικαλλῆ, καὶ νύμφαις ἐοικυῖαν. νύμφαι δέ εἰσι, τὰ ἐν γυναικείῳ σχήματι ἐν τοῖς ὄρεσι φαινόμενα δαιμόνια. ¶ Ὦ μ' ἐκέλευ. ἤγουν ἐφ' οὗ τί που ἐκέλευες. κέλομαι γὰρ ποιητικῶς τὸ κελεύω καὶ προστάττω. ἀφ' οὗ, τὸ ἐκέλου, καὶ ἐκέλευ.

12 Θᾶσαι μάν] θέασαι δὴ τὴν λύπην, ἥτις τὴν ψυχήν μου ἀλγεῖν ποιεῖ. ἡ μεταφορὰ ἀπὸ τῶν ὁρατῶν ἐπὶ τὰ νοούμενα. Ὅμηρος· Ὀσσόμενος πατέρ' ἐσθλόν.

13 Ἁ βομβεῦσα μέλισσα] εὔχεται γενέσθαι μέλισσα, ἢ ἵνα κεντήσασα αὐτὴν ὀδυνήσῃ, ἢ ὑπὲρ τοῦ λαθεῖν, εἰσέλθῃ. μέλισσα δὲ, παρόσον ἐπὶ τῶν μήλων ἵζανει. μῆλα δὲ πάντα τὰ ἄκρα τῶν δένδρων. Ὅμηρος· Αὐτῇσιν ῥίζῃσι, καὶ αὐτοῖς ἄνθεσι μήλων. Ἄλλως. Ἱστορία· Ῥοῖκός τις Κνίδιος τὸ γένος, ἐν Νίνῳ τῇ Ἀσσυρίων, ἰδὼν εὐφυές τι δένδρον κεκλιμένον, καὶ ἀπὸ τοῦ χρόνου καταπίπτειν μέλλον, κάμαξιν ἐνστηρίξας, ἐπὶ πλέον μένειν ἐποίησεν. ἡ δὲ νύμφη θεασαμένη, χάριν αὐτῷ ὡμολόγησεν· ἡλικιῶτις γὰρ ἔφη εἶναι τοῦ φυτοῦ, καὶ ἐκέλευσεν αὐτὸν εἴ τι ἂν ἐθέλῃ, αἰτεῖσθαι. ὁ δὲ τὴν συνουσίαν αὐτῆς ᾐτήσατο. ἡ δὲ ἔφη αὐτῷ ὅτι τὸν καιρὸν τῆς μίξεως ἀφικνουμένη σοι μέλισσα ἐρεῖ. μήποτε οὖν τῆς ἱστορίας ταύτης μέμνηται Θεόκριτος, διὰ τὸ τὴν μέλισσαν διακονῆσαι πρὸς τοὺς ἔρωτας. πτέρις δὲ, εἶδος βοτάνης ὁμοίας πτερῷ ἐρυθροκαμήλου, ἀφ' ἧς καὶ στιβάδες ἐπὶ κλίνης ἐγένοντο τῶν ἀγροίκων, διὰ τὴν μαλα-



© Centre d'Études Supérieures de la Renaissance - Tours

κόπτεσθαι, καὶ διὰ τὸ ἀποδιώκειν τῇ ὀσμῇ τοὺς ὄφεις. καλεῖται δὲ καὶ βλήχρον.

15 ἢ ῥα λεαίνας] οὐκ ἀφ' ἱστορίας, ἀλλὰ διὰ τὸ ἄγριον· καὶ γὰρ Ἀχιλλεὺς, Θέτιδος καὶ Πηλέως· ἀλλὰ διὰ τὸ ἄγριον φησὶν Ὅμηρος· Γλαυκὴ δέ σε τίκτε θάλασσα. Ἄλλως. Ὄντως λεαίνης μαζὸν ἐθήλαζε, καὶ ἐν τῷ δρυμῷ ἀνέτρεφεν αὐτὸν ἡ μήτηρ αὐτοῦ. τὸ ἄγριον αὐτοῦ καὶ δραστήριον, διὰ τούτων θέλει δηλοῦν. ἄγριος δὲ λέγεται ὁ ἔρως καὶ ἀνήμερος, ἐπεὶ τοὺς αὐτὸν κεκτημένους ἀγρίους ποιεῖ καὶ ἀνημέρους.

17 Κατασμύχων] σμύχω τὸ καίω ἢ ψιλόν· σμήχω δὲ τὸ καθαίρω, ἐξ οὗ καὶ σμῆγμα τὸ σαπώνιον.

18 Τὸ καλὸν ποθορεῦσα] ἤγουν ὦ ἡ τὸ καλὸν ὁρῶσα, τουτέστιν ὦ ἡ καλοὺς ἔχουσα ὀφθαλμούς. τὸ πᾶν λίθος ἤγουν σκληρὰ καὶ ἀτεγκτὴς, ἢ μονονουχὶ τοὺς ὁρῶντας ἀπολιθοῦσα τῷ κάλλει, οἷον περὶ Γοργόνος λέγουσιν. ἢ λευκὴ ὁλικῶς, οἷον ἄγαλμα μαρμάρινον. ἐὰν δὲ γράφηται λίπος διὰ τοῦ π, ἔσται οὕτως· εἰς ἣν ὀλισθαίνουσι πολλοὶ διὰ τὸν ἔρωτα· ὀλισθηρὰ γὰρ τὰ λιπαρά. ἢ ἡ βλέπουσα λιπαρόν τι καὶ λευκόν. ὡς Ὅμηρος λευκοὶ, ἀποστίλβοντες ἀλοιφῇ. ἢ σκληρὰ καὶ ἀδαμαντίνη, διὰ τὸ ἀνηλεὲς καὶ ἀνένδοτον. Ἄλλως. τὸ πᾶν λίθος] ἐπιρρηματικῶς, ἀντὶ τοῦ διόλου. τουτέστι, σκληρὰ σφόδρα καὶ ἀμείλικτος.

21 Τὸν στέφανον τίλαι με] τὸ ἑξῆς. ἤτοι κατατίλαι, καὶ κατακόψαι με ποιήσας εἰς λεπτὰ τὸν στέφανον. στεφάνοις ἐχρῶντο ἐν τοῖς συμποσίοις ὡς φησιν Ἀριστοτέλης, εὐτέλειαν καὶ ἀφθονίαν αἰνιττόμενοι τροφῶν. στέψαι γὰρ τὸ πληρῶσαι παρ' Ὁμήρῳ· Κοῦροι δὲ κρατῆρας ἐπεστέψαντο ποτοῖο. Ἄλλως. ὁ νοῦς· ποιήσεις με αὐτίκα τίλαι εἰς λεπτὰ, ἤγουν διασπαράξαι, καὶ τεμεῖν τὸν στέφανον, ὃν χάριν σοῦ ὦ Ἀμαρυλλὶ φίλη φυλάσσω, ἐμπλέξας αὐτὸν κάλυξι κισσοῦ, ἀντὶ τοῦ κορύμβοις, καὶ εὐώδεσι σελίνοις.

24 τί ὁ δύσσοος] ὁ δυσκόλως σωζόμενος, ἢ ὁ δυσχερῶς διωκόμενος. λασσόος γὰρ ἡ Ἀθηνᾶ, ἡ λαὸν διώκουσα, ἢ σώζουσα. δύσσοον γὰρ οἱ μὲν τὸν κακοδαίμονα, οἱ δὲ τὸν δυσχερῶς σωζόμενον, παρὰ τὸ σόος. καὶ Ὅμηρος· Ὅπως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντ' Ἀχαιοί.

25 Τὰν βαίταν] τὴν μηλωτὴν, ἢ τὴν διφθέραν φησὶν ἀποῤῥίψας, καὶ ἐκδυσάμενος, εἰς τὴν θάλασσαν ἁλοῦμαι, ὅ ἐστι, πηδήσω, ἢ ἐμαυτὸν ῥίψω, ὅθεν ὁ Ὄλπις ὁ ἁλιεὺς σκοπιάζεται, ἤγουν ἀπὸ μετεώρου τόπου σκοπεύει, ἢ ἀγρεύει τοὺς θύννους, τοὺς ἰχθύας. τὸ δὲ ὄλπις, ἀπὸ τοῦ λέπω, λοπὶς, καὶ ἐν ὑπερθέσει τοῦ ο, ὄλπις, ὁ τοὺς λεπιδωτοὺς ἰχθύας ἀγρεύων, ἢ τοὺς ἔλλοπας. ἔστι δὲ πεποιημένον ὄνομα, ἢ κύριον τοῦ ἁλιέως. Ἄλλως. Ὄλπις, τὸ ὄνομα τοῦ ἁλιέως, παρὰ τὴν λεπίδα τῶν ἰχθύων.

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἰχθύων· ἢ παρὰ τὴν τοῦ σώματος χρεσιν· ὄλπιν γὰρ φασὶ τὴν λήκυθον· ὡς εἶναι παρὰ τὴν σμικρότητα τὸ ὄνομα. ἡ ὄλπις ὁ τοὺς ἔλλοπας ἀγρεύων, κατὰ διαφορὰν τῶν ἄλλων ἁλιέων. εἰσὶ γὰρ καὶ ἕτεροι, οἱ περὶ τὰ ὄστρεα ἀσχολούμενοι.

27 Κἤκα μὲν ποθάνω] καὶ ἐὰν μὴ ἀποθάνω φησὶν, ὅμως εὐφρανθήσῃ ὅτι ἔρριψα ἐμαυτόν. ἢ πτεως τὸ πρᾶγμα, ὃ σε τέρπει γεγένηται.

28 Ἔγνων πρὶν] ὁ νοῦς· πρὸ ὀλίγου. ὅτε σημεῖον θέλοντός μου λαβεῖν εἰ φιλεῖς, τὸ φύλλον δι' οὗ ἡ φιλία δηλοῦται, ὑπὸ τῶν χειρῶν πληττόμενον, οὐκ ἀφῆκε τὸν ψόφον.

29 Οὐδὲ τὸ τηλέφιλον ποτεμάξατο τὸ πλατάγημα] ἐν ἄλλοις γράφεται καὶ οὕτω· Οὐδὲ τὸ τηλέφιλον ποτιμαξάμενον πλατάγησεν. τηλέφιλον δέ ἐστι τὸ φύλλον τῆς μήκωνος· ἄλλοι δὲ βοτάνην ἑτέραν λέγουσιν εἶναι αὐτό. εἴτε δὲ τοῦτο εἴτε ἐκεῖνό ἐστιν, ἀναλαμβάνεται παρὰ τῶν ἐρώντων τὸ τηλέφιλον, καὶ πληττόμενον εἰ ψόφον ἀποτελεῖ, ἐδόκουν αὐτοῖς σημειοῦσθαι, ὅτι ἀντερῶνται ὑπὸ τῶν ἐρωμένων· εἰ δὲ οὐκ ἀποτελεῖ, ὅτι μισοῦνται. εἴρηται δὲ τηλέφιλον, κατὰ κοινωνίαν τοῦ τ, πρὸς τὸ δ. οἱονεὶ δηλέφιλόν τι ὄν, τὸ δηλοῦν τὸν φίλον. Ἄλλως· τὸ τηλέφιλον, ῥίζιόν τι θαμνῶδες, κάτωθεν δὲ ἀναβαίνει τετράκλωνον· τοὺς δὲ κλῶνας ἔχει δραχμῆς μείζονας ἀντιθαμιαίας. τὰ δὲ φύλλα ἔοικε τῷ σπειρομένῳ λωτῷ· λοβὸν δὲ ἀφίησιν ἑλικοειδῆ ἐν ᾧ τὸ σπέρμα, οὗ ἐπιχειρουμένου, ὁ χρὼς ἐξαιματίζεται, καὶ τύπους τινὰς λαμβάνει, οὐ μόνον δὲ ἐπὶ τὰς χεῖρας τὸ τηλέφιλον, ἀλλὰ καὶ ἐπὶ τὸν ὦμον τιθέντες, ἔσθ' ὅτε καὶ ἐπὶ τὸν πῆχυν, ἐπειρῶντο τοῦ ψόφου. Ἄλλως· τινὲς τῶν ἐρωτικῶν τὸ τηλέφιλον ἐπὶ τὸν ὦμον τιθέντες, ἢ τὸν καρπὸν, ἐπικρούουσι· καὶ ἐὰν μὲν ἐρυθρὸν γένηται καλοῦντες αὐτὸ ῥόδιον, νομίζουσιν ἀγαπᾶσθαι ὑπὸ τῶν ἐρωμένων. τοῦ χρώματος δὲ ἐμπρησθέντος, ἢ ἑλκωθέντος, μισεῖσθαι. πλατάγημα δὲ τὸ πλαταγώνιον. ποτεμάξατο δὲ, ἤγουν προσήκατο ἐξ αὐτοῦ τυπτόμενον ψόφον.

30 Ἀλλ' αὔτως ἁπαλῷ ποτὶ πήχεος] τοὺς δακτύλους καλεῖ μεταφορικῶς ἀπὸ τοῦ ἀγκῶνος. καὶ φησί· πρὸς τὸν πῆχυν ἐξεμαράνθη ψόφον μὴ ποιῆσαν. ἢ τὸ αὔτως οὕτως μηδὲν ἀνύσαν παρὰ τοῦ ἁπαλοῦ πήχεος· ἀντὶ τοῖς ἁπαλοῖς δακτύλοις.

31 Ἀγροιὼ τὠλαθέα] Ἀγροιὼ ὄνομα κύριον, οὐδέπω γὰρ τὴν γραῖαν οὕτω φασίν ἢ τὴν ἀγροικίνην, τὴν ἐπὶ τῶν ἀγρῶν τρεφομένην. ¶ κοσκινόμαντις] ἤγουν ἡ διὰ κοσκίνου μαντευομένη.

32 Ἃ πρὰν ποιολογεῦσα] ἡ πρώην σταχυολογοῦσα, ἤγουν τοὺς στάχυας ἀναλεγομένη. ποίαν δὲ ἴσως τὸν πυρὸν, κατ' ἐξοχήν, ἀφ' οὗ καὶ τὸν ἐνιαυτὸν ποίαν ἐκάλεσαν· ποιὸς γὰρ κυρίως ὁ πυρός. ἢ



© Centre d'Études Supérieures de la Renaissance - Tours

ἀπὸ τοῦ ποία ἡ βοτάνη ἢ ἡ περὶ καλάμην συλλέγουσα, καὶ σταχυολογοῦσα. ¶ Παραιβάτις] ἢ ὄνομα κύριον, ἢ ἡ ἑπομένη καὶ παρακολουθοῦσα τοῖς θερισταῖς ὁ ἀκόλουθος.

35 Ἐριθακίς] ἤγουν, μισθώτρια, ἀπὸ τοῦ ἔριθος ὑποκοριστικῶς· ἢ ὄνομα κύριον. ἔστι δὲ καὶ ὄρνεον, ἀφ' οὗ τὸ ὄνομα.

36 ἐνδιαθρύπτῃ] ἀπονοῇ, καὶ ἐμβλακεύῃ, ἀπαλῶς, τρυφᾷς.

37 Ἄλλεται ὀφθαλμός μευ] δοκοῦσιν οἱ ὀφθαλμοί μου ὄψεσθαί τινα τῶν οἰκείων ἂν ἄλλωνται. ὁ δεξιός μου ὀφθαλμὸς ἄλλεται ἤτοι πηδᾷ, ἆρά γε θεάσομαι αὐτήν.

38 ἀσεῦμαι ποτὶ τὰν πίτυν] ἐκνεύσας, τρέπεις ὧδε πρὸς τὴν πίτυν, ἀσεῦμαι, Δωρικῶς, ἤγουν ᾄσομαι. τὸ κοινῶς, τραγῳδήσω. Καί μ' ἴσως ποτίδῃ] καί με ἴσως ἂν προσίδῃ. ἐπεὶ οὐκ ἔστιν ἀδαμαντίνη. ἤγουν, ἀπὸ λίθου ἀδάμαντος κατεσκευασμένη· ἀλλ' ἄνθρωπός ἐστι δηλονότι, συμπάθειαν δέξασθαι δυναμένη.

40 Ἱππομένης ὅκα δή] ἱστορία. ὁ Ἄρειος Ἱππομένης τῆς Σχοινέως Ἀταλάντης τῆς δρομαίας ἐρασθεὶς, Ἀφροδίτης συνεργούσης ἔδραμεν ἐπὶ τὸν ἀγῶνα. ἡ γὰρ ἔδει τὸν ἀγωνιζόμενον τῷ δρόμῳ ἡττηθέντα θνήσκειν, ἢ προλαβόμενον δρόμῳ, λαμβάνειν τὴν κόρην. ἔχων οὖν παρὰ τῆς θεᾶς μῆλα χρυσᾶ τοῦ τῶν Ἑσπερίδων κήπου, τῷ δρόμῳ ἔρριπτεν ἕκαστον αὐτῶν. οὕτω δὲ ἀσχολουμένης τῆς κόρης ἐπὶ τῇ τῶν μήλων συλλογῇ, ἐλείφθη. λαβὼν δὲ αὐτὴν γυναῖκα μετεμορφώθη εἰς λέοντα, ἐν ἱερῷ τόπῳ συνελθὼν αὐτῇ. Ἄλλως· Ἀδ' Ἀταλάντα] δύο Ἀταλάνται εἰσίν· ἡ μὲν ἐν Ἀρκαδίᾳ, ἡ δὲ ἐν Βοιωτίᾳ, ἡ Σχοινέως θυγάτηρ. ἡ μὲν οὖν Ἀρκαδικὴ Ἀταλάντη, τοξότις ἦν δεινή· ἡ δὲ Βοιωτικὴ δρομαία οὖσα, προετίθετο τὸν γάμον αὐτῆς, εἴ τις νικήσει αὐτὴν δρόμῳ λαβεῖν αὐτήν, καὶ πολλοὺς θελήσαντας νικῆσαι, ἀνεῖλεν. Ἱππομένης οὖν συνεργὸν ἔχων τὴν Ἀφροδίτην, καὶ λαβὼν παρ' αὐτῆς μῆλα χρυσᾶ, καὶ παραγινόμενος τῷ δρόμῳ, ἔρριπτεν ἕκαστον αὐτῶν εἰς τοὐπίσω. ἡ δὲ ῥᾳδίως πρὸς τὸν ἵμερον τῶν μήλων ἐχώρει, καὶ ἐλείφθη. ὁ δὲ δι' αὐτῶν ἐνίκησε, καὶ γυναῖκα αὐτὴν ἔλαβε.

42 Ὡς ἴδεν ὡς ἐμάνη] τὸ ὡς, ἀντὶ τοῦ εὐθέως. καὶ Ὅμηρος· Ὡς ἴδεν, ὥς μιν μᾶλλον ἔδυ χόλος. οἱ δὲ οὕτως· ὄντως ὡς εἶδε τὰ μῆλα, λίαν ἐμάνη· ἐπίτασιν γὰρ ἔχει τὸ ὡς ἐπ' αὐτοῖς. ¶ ὡς ἐς βαθὺν ἔρωτα αὐτῶν, δηλονότι τῶν μήλων, ἄλλετο, ἀντὶ τοῦ ἥλατο, τουτέστιν, ἐνέπεσε. βαθὺν δὲ λέγει τὸν ἔρωτα, ἀπὸ μεταφορᾶς τῆς βαθείας ὕλης, ἤτοι δασείας.

43 τὰν ἀγέλαν χ' ὁ μάντις ἆγε Μελάμπους] ἱστορία. Νηλεὺς ὁ Τυροῦς ἔχων θυγατέρα, οὐκ ἐδίδου αὐτὴν τινὶ γυναῖκα, εἰ μὴ τῷ συνθεμένῳ ἀγαγεῖν αὐτῷ τὰς Ἰφίκλου βοῦς ἐκ Φυλάκης. Βίας δὲ ὁ Μελάμποδος ἀδελφὸς, ἤρα αὐτῆς σφόδρα Μελάμ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

λάμπους δὲ θέλων τῷ οἰκείῳ ἀδελφῷ Βίαντι τὴν κόρην δοῦναι, τὸν κίνδυνον ὑπέστη· συλληφθεὶς δὲ ὑπὸ τῶν βουκόλων τοῦ Ἰφίκλου, ἐδεσμεύθη ἤτοι ἐν φυλακῇ ἐβλήθη. μέλλοντος δὲ τοῦ δώματος ἐν ᾧ ἦν πίπτειν, μάντις ὢν προεμήνυσεν· ἐν ᾧ καταπλαγεὶς ὁ Ἴφικλος ἔλυσε, καὶ ἤρετο αὐτὸν ὡς μάντιν, πῶς ἂν παῖδας ποιήσῃ. ἄτεκνος γὰρ ἦν, ἐκ τοιαύτης αἰτίας. ἐκτέμνοντί ποτε τῷ πατρὶ Φυλάκῳ δένδρον, ἀφ' οὗ καὶ ἡ χώρα Φυλάκη ἐκαλεῖτο, ὁ Ἴφικλος παῖς ὢν παρειστήκει· ὃν ἐκπλῆξαι θέλων ὁ πατήρ, ἣν εἶχε μάχαιραν εἰς τὸ πλησίον δένδρον ἐμπῆξαι ὥρμησε, καὶ συνέβη ἐπενεχθεῖν αὐτὴν τοῖς μορίοις τοῦ παιδός. ἐπεὶ δὲ ἄγονος ἐκ τοιαύτης αἰτίας ἦν ὁ Ἴφικλος, ὁ Μελάμπους ἀνερευνήσας εὗρε τὴν μάχαιραν· καὶ ἐκέλευσε τὸν Ἴφικλον, ἀποξέσαντα τὸν ἰὸν αὐτῆς πίνειν, καὶ οὕτως αὐτὸν πατέρα παίδων ποιήσας, ἔλαβε τὰς βόας, καὶ τῷ Νηλεῖ ταύτας δίδωσι, καὶ διὰ τούτων τῷ ἀδελφῷ Βίαντι τὸν τῆς Πειροῦς γάμον περιεποιήσατο. Μελάμπους δὲ ἐκλήθη, ὅτι γεννηθεὶς ἐξετέθη παρὰ τῆς μητρὸς Ῥοδόπης ἐν ὑψηλῷ τόπῳ· παντὸς δὲ τοῦ σώματος σκεπομένου, μόνους ἦν γυμνὸς τοὺς πόδας, καὶ ἐξεκαύθη ὑπὸ τοῦ ἡλίου· ὅθεν καὶ Μελάμπους ἐκλήθη.

45 Ἀλφεσιβοίης, Αἰόλου, τοῦ Ἕλληνος, Σαλμωνεύς, ἐξ οὗ Τυρώ· ἐξ ἧς καὶ Κρηθέως, Νηλεύς· ἐξ οὗ Πειρώ· ἐξ ἧς Ἀλφεσίβοια.

Ἄλλως. Τὰν ἀγέλαν χ' ὡ μάντις] ὁ νοῦς. καὶ ὁ μάντις ὁ Μελάμπους, τὴν ἀγέλην τῶν βοῶν τοῦ Ἰφίκλου ἤγουν αὐτὴν τοῦ ἤγαγεν ἀπὸ τοῦ Ὄθρυος εἰς τὴν Πύλον. ἔστι δὲ ὁ Ὄθρυς ὄρος Θεσσαλίας, ἐν ᾧ πόλις ἡ Φυλάκη, ἧς ἦρχεν ὁ Ἴφικλος, οὗ ἦσαν οἱ βόες. ἡ δὲ Πειρὼ ἡ χαρίτων πλήρης, ἡ μήτηρ τῆς περιττῆς τὴν φρόνησιν Ἀλφεσιβοίας ἐκλίθη, ἤγουν, ἀνεπαύσατο, ἐν ταῖς ἀγκάλαις τοῦ Βίαντος τοῦ ἀδελφοῦ τοῦ Μελάμποδος.

46 Ταὶ δὲ καλὰν Κυθέρειαν] ὁ νοῦς· τὴν δὲ περικαλλῆ Ἀφροδίτην ὁ Ἄδωνις πρόβατα βόσκων ἐν τοῖς ὄρεσιν, οὐχ οὕτως ἐπὶ πολὺ ἤγαγε μανίας ἐρωτικῆς, ὥστε οὐδὲ ἀποθανόντα αὐτὸν, χωρὶς τοῦ μαζοῦ αὐτῆς τίθησιν.

48 Ὥς τ' οὐδὲ φθίμενόν μιν] ὡς οὐδὲ τελευτήσαντα τὸν Ἄδωνιν, τοῦ ἰδίου ἑαυτῆς μαστοῦ χωρίζει, ἀλλ' ἀεὶ αὐτῷ καὶ τελευτήσαντι συμπάρεστι. δοκεῖ δὲ ὁ Ἄδωνις μῆνας ἓξ παρὰ Περσεφόνῃ ποιεῖν, ὡς καὶ παρ' Ἀφροδίτῃ αὐτοῦ συγκαθεύδειν καὶ προσστερνίζεσθαι. λέγουσι δὲ περὶ τοῦ Ἀδώνιδος ὅτι καὶ ἀποθανὼν, ἓξ μῆνας ἐποίησεν ἐν ταῖς ἀγκάλαις τῆς Ἀφροδίτης, ὥσπερ καὶ ἐν ταῖς ἀγκάλαις τῆς Περσεφόνης. τοῦτο δὲ τὸ λεγόμενον, τοιοῦτόν ἐστιν ἀληθῶς ὅτι ὁ Ἄδωνις, ἤγουν ὁ σῖτος ὁ σπειρόμενος, ἓξ μῆνας ἐν τῇ γῇ ποιεῖ ὑπὸ τῆς σπορᾶς, καὶ ἓξ μῆνας ἔχει αὐτὸν ἡ Ἀφροδίτη, τουτέστιν, ἡ εὐκρασία τοῦ ἀέρος καὶ ἔκτοτε λαμ-



© Centre d'Études Supérieures de la Renaissance - Tours

βαύουσιν αὐτὸν οἱ ἄνθρωποι.

49 ὁ τὸν ἄτροπον ὕπνον ἰαύων Ἐνδυμίων] ἄτροπον, ἀμετακίνητον, αἰώνιον καθεύδων ὕπνον. Ἱστορία. φασὶ γὰρ ὡς τοῦ Ἐνδυμίωνος ἠράσθη ἡ σελήνη· καὶ κατὰ τὸ ὄρος τὸ Λάτμιον τῆς Καρίας κυνηγετοῦντι ἐμίγη. καὶ ἀλληγορεῦσιν ὡς φιλοκυνήγης ὢν, τῇ σελήνῃ συνεθήρα νυκτὸς, ἡμέρας δὲ ὕπνωττεν. Ἄλλως. Τοῦ Ἐνδυμίωνος ἠράσθη ἡ σελήνη, ἦν δὲ οὗτος κατὰ τὸ Λάτμιον ὄρος τῆς Καρίας. φιλοκυνήγης δὲ ὢν, ἡμέρας ὕπνωττε, κατὰ δὲ τὰς νύκτας λαμπούσης τῆς σελήνης, ἐξῄει πρὸς θήρας, ἤγουν ἐθήρευε. διὰ τὸ τὰ θηρία κατὰ τοῦτον τὸν καιρὸν ἐξιέναι. μακαρίζω φησὶ, διὰ τὸ ἐκεῖνον μὲν φιλεῖσθαι ὑπὸ σελήνης, ἐμὲ δὲ μισεῖσθαι. Ἄλλως. Ἐνδυμίων φασὶ παρὰ τοῖς θεοῖς διατρίβων, ἠράσθη Ἥρας. ἐφ' ᾧ χαλεπήνας ὁ Ζεὺς, ἐποίησε καθεύδειν διὰ παντὸς ἀθάνατον. τὸ δὲ ἄντρον ἐν ᾧ ἐκάθευδεν, ἐν Λάτμῳ τῆς Καρίας ἦν. ¶ Ζαλῶ δὲ φίλα γύναι Ἰασίωνα] ἱστορία. Ἰασίων ὁ Κρὴς, Κρήτης βασιλεὺς, υἱὸς ἦν Μίνωος, καὶ Φρονίας νύμφης. τούτῳ ἐν λειμῶνι κοιμωμένῳ, ἡ Δημήτηρ συνῆλθε, καὶ ἔτεκε τὸν Πλοῦτωνα.

51 Βέβαλοι] τουτέστιν ἀνάξιοι τῶν μυστηρίων τοῦ ἔρωτος, δηλονότι ἀμύητοι. ἀμυστηρίαστοι, μυστήρια μὴ ἔχοντες. παρεμφαίνει δὲ μυστικὸν τὸν ἔρωτα Ἰασίωνος, καὶ Δημήτερος.

52 Τίν δ' οὐ μέλει] σοὶ δέ οὐ φροντίς ἐστι τούτου δηλονότι. μέλει μοι τοῦδε, καὶ μέλει μοι τόδε ποιητικῶς. ἀφ' οὗ σημαινομένου, καὶ πρῶτον ἔχει πρόσωπον, καὶ δεύτερον ὡς ἐν τούτοις· οὐ γὰρ περιδέδοικα τόσον μέλω, ὅσον ἔρωτι. ἐπὶ δὲ τοῦ προτέρου σημαινομένου, οὔτε πρῶτον ἔχει πρόσωπον, οὔτε δεύτερον. ὡς τὸ δεῖ, τὸ σημαῖνον τὸ πρέπει. τὸ γὰρ σημαῖνον τὸ, λείπεται, ἔχει πρῶτον πρόσωπον, τὸ δέω. 54 Ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόγχοιο γένοιτο. βρόγχος λέγεται, τὸ ἐπίλαιμον μέλος, τὸ κατὰ τὸν τράχηλον ποιὸν ἦχον ἀποτελοῦν. ἤγουν, ὅπως τοῦτο σοι γλυκὺ, ὡς κατὰ βρόγχου μέλι γένηται, τουτέστι τοῦ φάρυγγος.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ δ'.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον, βουκολιασταὶ, ἢ νομεῖς, Βάττος καὶ Κορύδων. ἡ δὲ ὑπόθεσις, ἐν τῇ προσηκούσῃ προετυπώθη τόπῳ.

Εἰπέ μοι ὦ Κορύδων, τίνος αἱ βόες, ἦ ῥα Φιλώνδα; Κ. Οὐκ, ἀλλ' Αἴγωνος. βόσκεν δέ μοι αὐτὰς ἔδωκε. Β. Ἦ πά ψε κρυβδὰν τὰ ποθέσπερα] Ἦ που ὄντως αὐτὰς λάθρα κατὰ τὰ πρὸς ἑσπέραν ἀμέλγεις; τοῦ γὰρ ψε οἱ Δωριεῖς, ἀντὶ τοῦ σφὲ χρῶνται. εἰώθασι γὰρ οἱ νομεῖς κατὰ τὸ τὰς δεσπότας ἀμέλξαι τὸ γάλα, ὕστερον καὶ αὐτοὶ λάθρα ἀμέλγειν.

4 Ἀλλ' ὁ γέρων ὑφίησι τὰ μοσχία] οὐδαμῶς δηλονότι. ὅτι ὁ γέρων ὑποβάλλει τὰ μοσχία. οὗτος δὲ τάχα ἂν εἴη πατὴρ τοῦ Αἴγωνος. πῶς φησὶ δύναμαι λάθρα ἀμέλγειν.

© Centre d'Études Supérieures de la Renaissance - Tours

γεν, ὅπου γε ὁ πατὴρ τοῦ Αἴγωνος, ὑποβάλλεται αἶγας.

5 Αὐτὸς δὲ] ὁ δὲ βουκόλος, φησὶν, Αἴγων εἰς ποίαν χώραν ᾤχετο, ἀφανὴς γενόμενος ἤδη.

6 Οὐκ ἄκουσας; ἄγων νιν ἐπ' Ἀλφεὸν] ἀντὶ τοῦ ἐπὶ τὴν Ὀλυμπίαν. παραρρεῖ γὰρ ἐκεῖσε ὁ Ἀλφειός. οὐκ ἀναγέγραπται δὲ ὁ Αἴγων νενικηκὼς Ὀλύμπια. ¶ Μίλων] τὸν Κροτωνιάτην Μίλωνα φησὶν, ὃν καὶ Ἀριστοτέλης πολυφάγον φησί. λέγεται δὲ αὐτὸν εἶναι καὶ ἀνδρεῖον. κατεβρώθη δὲ οὗτος ἀπὸ θηρίων, ἢ κυνῶν. ἐλθὼν γὰρ εἰς ὄρος καὶ ὁρῶν τινας δένδρον σχίζοντας, σφῆνα δὲ βάλλοντας ἐν μέσῳ τοῦ ξύλου, θέλων αὐτὸς ἐκβαλεῖν τὴν σφῆνα, ἐκρατήθη ἐκεῖ, καὶ οὕτως ἐτελεύτησε.

7 Καὶ πόκα τῆνος ἔλαιον ἐν ὀφθαλμοῖσιν ὄπωπε] καὶ πότε ἐκεῖνος ἔλαιον ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ εἶδεν. ἀπὸ τοῦ ἐλαίου τὸν ἀγῶνα θέλει δηλοῦν. ἢ ἔλαιον, ᾧ οἱ ἀγωνιζόμενοι ἀλείφονται. ἢ ἔλαιον τὸ ἀγριέλαιον, ὅ ἐστι κότινον, ᾧ οἱ νικήσαντες στεφανοῦνται. Ἄλλως καὶ πότε ἐκεῖνος ἐλαίῳ ἐχρίσατο, ᾧ κατὰ τὰ γυμνάσια ἀλείφονται. ἥκιστα γὰρ οἱ ἀγροῖκοι ἐλαίῳ χρῶνται. οὐχ ὥς τινες ἀναγινώσκουσιν ἔλαιον, ὡς δέον ἵνα σημαίνῃ τὸ ἀγριέλαιον, ἐξ οὗ ὀλυμπιακὸς στέφανος σύγκειται. ἀγνοοῦσι δὲ ὅτι οὗτος ἐκ τῆς καλλιστεφάνου ἐλαίας γενόμενος δίδοται, ἥτις ἀπέχει σταδίων ὀκτὼ, ὥς φησιν Ἀριστοτέλης.

8 Βίαν καὶ κάρτος] κατὰ τὴν βίαν καὶ τὸ κράτος ἤγουν τὴν ἰσχύν, ἐκ παραλλήλου ἐξέθετο καὶ ἰσοδυναμεῖ. Ἄλλως Βίαν καὶ κάρτος, τὸ καὶ κάλλιον· ἵνα μὴ ταυτολογήσῃ, βίαν καὶ κράτος λέγων.

9 Κἠμ' ἔφαθ' ἁ μάτηρ] καὶ ἐμὲ ἔφη ἡ μήτηρ μου, τοῦ Πολυδεύκεος εἶναι ἀμείνονα κατὰ τὴν ἰσχύν. Ἄλλως· τοῦτο ἀμφίβολον, ἢ τὸν Αἴγωνα ἔφη κρείττονα τοῦ Πολυδεύκεος, ἢ ἐμέ. τὸ γὰρ, κἠμ' ἔφαθ'· δύναται εἶναι καὶ ἐμοὶ ἔφη.

10 Σκαπάναν τε] σκαπάνη ἐστὶ δίκελλα, σκαφίον. τὸ κοινῶς λεγόμενον τζαπίον, ὃ οἱ Ἀττικοὶ ἄμην. χρῶνται δὲ αὐτῇ πάντες μὲν οἱ ἀθληταί, μάλιστα δὲ οἱ πύκται. Ἄλλως· Σκαπάναν, ἤγουν, δίκελλαν, ἢ λισγάριον, ἢ σκαφίον, ὃ οἱ Ἀττικοὶ ἄμην λέγουσιν. οἱ γὰρ γυμνασταὶ τούτοις ἐχρῶντο ὑπὲρ γυμνασίας, τῇ σκαπάνῃ σκάπτοντες καὶ τὰ αὐτῶν μέρη ἀναρρωννῦντες. ¶ καὶ εἴκατι τουτῷ ἅμα μῆλα. τὰ πρόβατα, τὰ θρέμματα ἐκ τοῦ αὐτοῦ, τὰ κρέατα τούτων φησὶν, ἵνα ἔχῃ κρεοφαγεῖν. ἢ μᾶλλον ἐνταῦθα τὸν καρπὸν τῶν μήλων λέγει καθὰ καὶ Μίλων, ῥοιὰν ἔχων ἠγωνίζετο. μῆλα δὲ τὰ θρέμματα (ὡς λέγουσι), καὶ τὰ τούτων κρέατα. οἱ γὰρ ἀρχαῖοι, βοείοις ἐχρῶντο κρέασιν. ὅτι δὲ μῆλα οὐ μόνον τὰ πρόβατα, ἀλλὰ καὶ πάντα τὰ θρέμματα, λέγει Ὅμηρος· Ἀνθρώπους δὲ ἔπαυσεν ἐπὶ χθονὶ μῆλα δὲ κήδει. τὸ δὲ τουτέστιν ἀντὶ τοῦ ἐντυχεῖν.

11 Πείσει τι Μίλων καὶ τὼς λύκος αὐτίκα λυσσῆν] διεγεῖραι αὖ ὁ Μίλων καὶ τοὺς λύκους τάχιστα μαίνεσθαι. τὸ λυσσᾶν ἴδιον τῶν κυνῶν· ἀλλ᾽ ἴσως λέγει, ὅτι πείσειεν αὖ καὶ τοὺς λύκους τὸ παρὰ τὴν συνήθειαν ὑπομένειν. ἢ ὅτι καὶ τοὺς λύκους ἐκκλίνῃ αὖ ὁ Μίλων, ὅπου ἐστὶ τὸν Αἴγωνα, τὸν ἀγροῖκον ἐπὶ τὸν ἀγῶνα ἀποδίδοσθαι ἠνάγκασε.

12 Ταὶ δαμάλαι] αἱ δαμάλαι δὲ αὐτὸν ἐνταῦθα βοῶσαι ζητοῦσι. δαμάλαι, αἱ νέαι βόες, αἱ εἰς τὸ δαμασθῆναι ἐπιτήδειαι.

14 οὐκέτι λῶντι] οὐδαμῶς θέλουσι βόσκεσθαι, δηλονότι ζητοῦσαι τὸν Αἴγωνα.

15 τὰς πόρτιος] πόρτιας τὰς ἀκμαζούσας βοῦς, ἐφ᾽ αἷς οἷόν τε τοὺς ταύρους στείχεσθαι, ἤγουν πορεύεσθαι· ἢ τὰς ἐν τῷ πόρσω, τουτέστιν ἐν τῇ ὁδῷ οὔσας.

16 μὴ περσήκας σπίζει]. τὴν σταγόνα τῆς δρόσου πέρσηκα λέγουσιν, ἀπὸ τοῦ περὶ πέμπεσθαι. καὶ Καλλίμαχος· Ὠσκεν ἐκεῖναι περσήκες ἔραζε πεσοῦσαι, περθίκιον ἐνδυκέως εἶδαρ ἔδων.

17 Οὐδᾶν] κατὰ τὴν γῆν. ἄλλοτε μὲν αὐτὴν περὶ τὸν Αἴσαρον βόσκω. ¶ ἐπ᾽ Αἰσάροιο. Αἴσαρος, ποταμὸς διὰ μέσης τῆς πόλεως τῶν Κροτωνιατῶν ῥέων εἰς τὴν θάλασσαν. ἔστι δὲ καὶ ἄλλος ποταμὸς Σικελίας Αἴσαρος.

18 κώμυθα] κώμυς, ἡ δέσμη, ἤτοι τὸ δεμάτιον Κρατῖνος· Ὁ δὲ μετ᾽ εὐδήμου τρέχων κώμυθος τὴν λοιπὴν ἔχει τοῦ στεφάνου. ἢ κώμυς, δέσμη χόρτου ἱκανὴ εἰς τροφήν. κώμυς, κώμυθος, ὡς κόρυς, κόρυθος.

19 Σκαίρει] σκαίρειν κυρίως, τὸ σκιρτᾶν, ἀφ᾽ οὗ καὶ σκαίροισιν· νῦν δὲ τὸ νέμεσθαι. ἔνθα καὶ σκαρθμὸς παρὰ Ἀράτῳ. ¶ Λάτυμνον· ὄρος Κρότωνος. βαθύσκιον δὲ, τὸ ἄγαν σύνδενδρον. Ἄλλως. Σκαίρει. σκιρτᾷ, ἀναστρέφεται· ἀπὸ τῆς ἀναστροφῆς δὲ τὴν νομὴν θέλει δηλοῦν. περὶ τὸ Λάτυμνον τὸ ὑπὸ συνεχῶν δένδρων συσκιαζόμενον· τοῦτο γὰρ τὸ βαθύσκιον. τὸ δὲ Λάτυμνον, τινὲς ὄρος τῆς Λακωνικῆς φασί.

20 Πύρριχος] ἀπὸ τοῦ πυρὸς, πύρριχος κατὰ παραγωγήν. τινὲς παροξυτόνως λέγουσι πυρρίχος. ἔστιν οὖν ὑποκοριστικὸν αἰολικῶς. τὸ γὰρ καθ᾽ ἡμᾶς πύρριχος, ὁσπάριος. τινὲς δὲ τὸν πύρριχον, ἠπειρωτικὸν ἤκουσαν ἀπὸ Πύρρου τοῦ ἐκεῖ βασιλεύσαντος. δοκοῦσι δὲ οἱ βόες ἐκεῖνοι, λείψανον εἶναι τῶν Γηρυονείων. ἦν δὲ καὶ Πύρρος ποιητὴς Ἐρυθραῖος, ὥς φησι Λυγκεύς. ἢ πύρριχος κατά τινας, ὁ εὐκίνητος. ἀπὸ τοῦ πυρὸς εὐκινήτου ὄντος· ἢ τὸν πυρρὸν, κατὰ τὴν χροιάν.

21 Τοὶ τῶ Λαμπριάδα] οἱ τοῦ Λαμπριαδῶν δῆμος ἀπό τινος Λαμπρίου. ὡς δυσμενῶς ἔχων ὁ Βάττος πρὸς τοὺς φυλέτας τοῦ Λαμπριάδου φησὶν, εἴθε ὅταν θύωσι τῇ Ἥρᾳ καὶ κρέα νέμωνται οἱ δημόται τοῦ Λαμπριάδου. τοιοῦτον λαχόντες θύσαιεν, ἵνα μὴ προσδεχθῇ αὐτῶν ἡ θυσία ὑπὸ τῆς

θεῶ

© Centre d'Études Supérieures de la Renaissance - Tours

θεοῦ δηλονότι, καὶ ζημιωθῇ ὁ δῆμος.

22 Κακοχρεάσμων γὰρ ὁ δᾶμος] ἢ ὁ ταῦρος. ὁ τοῦ Λαμπριάδου δηλονότι· ὡς κακοῦ ὄντος τούτου τοῦ δήμου· ἢ ὁ Λαμπρεῖος ἐξ οὗ ὠνομάσθη ὁ δῆμος. Ἄλλως. Κακοχρεάσμων γὰρ ὁ ταῦρος] ἢ ὁ δῆμος. ἀντὶ τοῦ κακὸς εἰς τὸ χρῆσαι αὐτὸν ἰνά. ἦν γὰρ τάχα κεράστης. ἢ διὰ τὸ εἶναι αὐτὸν λεπτὸν, δηλονότι τὸν ταῦρον· ἢ λεπτόσαρκος καὶ ὁ ταῦρος ὁ πυῤῥός εἴθε τοιόνδε λάχοιεν οἱ δημόται τοῦ Λαμπριάδου. ἤγουν, οἱ ἀπὸ τοῦ Λαμπριάδου καλούμενοι, ὅτε θύουσι τῇ Ἥρᾳ· ἵνα δηλονότι μὴ προσδεχθῇ αὐτῶν ἡ θυσία ὑπὸ τῶν φυλετῶν, καὶ ζημιωθῶσιν.

23 ἐς τὰ Μάλιμνον] τὰς εἰς θάλασσαν ἐστομωμένας λίμνας οὕτω φασί. τοῦτο δὲ ἦν στόμα λίμνης περὶ τὴν Κρότωνα. καὶ τὸ ἐν Τροίᾳ δὲ στόμα λίμνης πιθανῶς δὲ τοῦτο ὠνόμασται. ¶ ἐς τε τὰ Φύσκω] μέρη δηλονότι. ὄνομα δὲ ὄρους ὁ Φύσκος. τοῦτο δὲ λέγει, ὡς τοῦ Φυσκοῦ ὄρους νομὰς ἐπιτηδείας τοῖς βουσὶν ἔχοντος.

24 τὸν Νήαιθον. Νήαιθος ποταμὸς Κρότωνος· ὠνόμασται δὲ, παρόσον ἐν αὐτῷ νῆας ποτὲ κατακαῦσαι Ἑλληνικάς.

25 Αἰγίπυρος] ἐστὶν ἀκανθῶδες φυτὸν, ἢ εἶδος βοτάνης. τὸ δὲ φύλλον ἔχει πλατὺ ὥσπερ φακός. ἔστι δὲ γλαυκίζουσα, εἰς ἕλκη φλεγμαίνοντα ἀγαθή. ¶ καὶ κνύζα] κνύζα φυτὸν χορτῶδες, ὃ αἱ θεσμοφοριάζουσαι διὰ τὴν ἁγνείαν στιβαδοποιοῦνται. δοκεῖ γὰρ ἡ βοτάνη ψυχρὰ οὖσα ἐπέχειν τὰς πρὸς συνουσίαν ὀρέξεις. νόμος γὰρ ἦν Ἀθηναίοις κατ' ἔτος τελεῖν τὰ θεσμοφόρια ταῦτα, παρθένοι γυναῖκες, καὶ τὸν βίον σεμναί. καὶ κατὰ τὴν ἡμέραν τῆς τελετῆς, τὰς νομίμους βίβλους καὶ ἱερὰς ὑπὲρ τῶν κορυφῶν αὐτῶν ἀνετίθεσαν, καὶ ὡσανεὶ λιτανεύουσαι, ἐπήρχοντο εἰς Ἐλευσῖνα. ἡ δὲ Ἐλευσὶς, ἐστὶ λιμὴν τῆς Ἀττικῆς. ¶ μελίτεια] εἶδος καὶ αὕτη βοτάνης, τὸ κοινῶς λεγόμενον μελισσοβότανον. τὸ δὲ φύλλον ἔχει πλατύ.

26 Φεῦ, φεῦ] προείρηται ὅτι κωμικὴ ἡ διασκευή. σύνκοινου ἀληθῶς εἴρηται, καὶ κωμικοῖς ἁρμόζουσα, καὶ τραγικοῖς.

28 εὐρῶτι παλύνεται] εὐρὼς κυρίως ἡ πρασινώδης ὀμίχλη. παλύνεται δὲ, λεπτύνεται ὑπὸ εὐρῶτος. πάλην γὰρ ἔλεγον, τὸ λεπτότατον τοῦ ἀλεύρου, παρὸ καὶ φάλιον λέγεται τὸ λευκόν. Ἡδὺ αὖ φάλιον ἀλεύρους ἐν τῷ ἐσθίεσθαι. ¶ αἴ ποτ' ἐπάξα] τὸ δεύτερον πρόσωπον τοῦ πρώτου μέσου ἀορίστου, οἱ Συρακούσιοι διὰ τοῦ α προφέρονται. ἐνόησω, ἐνόησα. ἐγράψω, ἔγραψα. οὕτω καὶ τὸ ἐπάξα, ἀντὶ τοῦ ἐπήξω. ὁ νοῦς· φεῦ, ὦ Αἴγων, προδώσονται καὶ αἱ βόες εἰς ὄλεθρον, ἐπεὶ ἐπεθύμησας νίκης εἰς κακὸν ἀποβαινούσης· καὶ ἡ σύριγξ ἣν ποτε ἐπήξω καὶ κατεσκεύασας, καλάμοις δηλονότι, ὑπὸ εὐρῶτος παλύνεται, ἤγουν λεπτύνεται καὶ φθείρεται.

29 Οὐ τήναγ' οὔ, νύμφας]

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἐκείνη, φησὶν, ἡ σύριγξ οὐκ ἐφθάρη, οὐδὲ μεμέληται μετὰ τὰς νύμφας· ἐπεὶ ὁ Αἴγων ἀπιὼν εἰς τὴν Ὀλυμπιάδα, ἐμοὶ δῶρον αὐτὴν κατέλιπεν. ἐγὼ γὰρ δυνατός εἰμι μελῳδεῖν. ¶ ποτὶ Πίσαν· ἡ νῦν Ὀλυμπιάς. ἢ ἀπὸ Πίσου τοῦ Ἀφαρέως, ἢ ἀπὸ Πίσης τῆς Ἐνδυμίωνος θυγατρός. ἔνθα καὶ Πισαίου Διὸς ἱερὸν ἦν. μελικτὰς δὲ, ὁ μέλη εἰδὼς ἐργάζεσθαι. τραγῳδητής· μελίζειν γὰρ τὸ τραγῳδεῖν.

31 Κῆν μὲν τὰ Γλαύκας] ἡ Γλαύκα, Χία τὸ γένος, κρουματοποιὸς, γέγονεν ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου· ἣν φησιν ὁ Θεόφραστος ἐρασθῆναι κριοῦ. ὁ δὲ Πύρρος Ἐρυθραῖος, ἢ Λέσβιος, μελῶν ποιητής.

32 Τάν τε Κρότωνα] Ἀλκίμος, καὶ Κρότων Αἰακοῦ υἱοί. ὧν ὁ μὲν ἐβασίλευσε τῶν Κερκυραίων, ὁ δὲ ἐν Σικελίᾳ ἔκτισε Κρότωνα.

33 Καὶ τὸ ποτ' ἀῶον] τὸ πρὸς ἀνατολὰς τῆς Κροτωνιάδος. τὸ δὲ Λακίνιον, ἀκρώρειά τίς ἐστιν, ἔχουσα ἱερὸν Ἥρας. Ἄλλως, τὸ Λακίνιον, ἀκρωτήριόν ἐστι τοῦτο, ἀπὸ Λακίνου Κερκυραίου τοῦ ὑποδεξαμένου Κρότωνα φεύγοντα. Ἄλλως, τὸ πᾶν. καὶ εὖ μὲν τὰ τῆς Γλαύκης ἀνακρούομαι, εὖ δὲ τὰ τοῦ Πύρρου. ἐπὶ τῶν κρουστῶν ὀργάνων λέγεται τὸ ἀνακρούεσθαι· ἐνταῦθα δὲ ἀνακρούομαι, ἀντὶ τοῦ μέλπω καὶ αὐλῶ. Κρότων καὶ Ζάκυνθος, ἡ αὐτή. τὸ δὲ ἑξῆς οὕτως· ἐπαινῶ τήν τε Κρότωνα, καὶ τὸ ποτ' ἀῶον τὸ Λακίνιον. τὸ δὲ καλὴ πόλις ἡ Ζάκυνθος, διὰ μέσου λέγεται μετὰ ἐπικρίσεως. τὸ ποτ' ἀῶον, ποιητικῶς οὕτω λέγεται· δεῖ γὰρ ἢ τὸ πρὸς ἕω λέγεσθαι, ἵν' ᾖ τὸ πρὸς ἀνατολὰς τετραμμένον, ἢ τὸ ἑῷον χωρὶς τῆς προθέσεως. τὸ δὲ Λακίνιον, ἀκρωτήριόν ἐστιν, ἀπό τινος Λακίνου ὠνομασμένον. διέφερε δὲ ἡ Κρότων τῶν ἐπὶ Ἰταλίᾳ πόλεων ἐπ' ἀνδρίᾳ, καὶ τῇ λοιπῇ εὐδαιμονίᾳ. ὅθεν καὶ εἰς παροιμίαν ἐλθεῖν, Μάταια τἄλλα παρὰ Κρότωνα τἄστεα. ¶ ἄπερ ὁ πύκτας Αἴγων ὀγδώκοντα μόνος] ταῦτα οὐκ ἐπὶ Αἴγωνι ἱστόρηται, ἀλλ' ἐπὶ Ἀστυάνακτι τῷ Μιλησίῳ. ὁ δὲ Θεόκριτος τὰ περὶ τοῦ Μιλησίου αὐτοῦ Ἀστυάνακτος ἱστορούμενα, εἰς Αἴγωνα μετήνεγκε. φασὶ γὰρ τοῦτον Ἴσθμια νικήσαντα, καὶ οἴκοι παραγινόμενον, ἐκ τῆς ἰδίας ἀγέλης τοῦ μεγίστου λαβέσθαι βοὸς, καὶ μὴ ἀνεῖναι, ἕως ὁ ταῦρος ἐλευθερῶν τὸ σῶμα, τῇ βίᾳ κατέλιπε τὴν ὁπλὴν ἐν τῇ χειρὶ αὐτοῦ. ὁπλὴν δὲ λέγει, τὴν χηλήν. καὶ Ἡσίοδος· Οὔθ' ὑπερβαίνει βοὸς ὁπλὴν οὐδ' ἀπολείπει. Τὸ δὲ κατεδαίσατο, ἀντὶ τοῦ κατέφαγεν. ὡς ἔοικε, διὰ τὴν ἀδδηφαγίαν ὁ Μίλων τὸν Αἴγωνα ἐπὶ ἄθλησιν προτέτραπται. μάζα δὲ τὸ νεομάλακτον, ἢ νεοφύρατον ψώμιον.

35 Τήνει καὶ τὸν ταῦρον] ἐκεῖ φησὶν ὁ Αἴγων ἐπὶ τοῦ Λακινίου, καὶ τὸν ταῦρον ἔδωκε τῇ Ἀμαρυλλίδι, ἐνεγκὼν ἀπό τινος ὄρους, καὶ πιάσας τῆς ὁπλῆς. καὶ

εἰ

© Centre d'Études Supérieures de la Renaissance - Tours

αἱ παρθένοι γυναῖκες μεγάλως ἐθρήνησαν, καὶ ὁ βουκόλος ἐγέλασεν.

38 Ὦ χαρίεσσ' Ἀμαρυλλί] ἐπεὶ ὁ Κορύδων ἐμνήσθη τῆς Ἀμαρυλλίδος, ἀνεμνήσθη καὶ ὁ Βάττος αὐτῆς. ἦν γὰρ ἐρωμένη αὐτοῦ, πρὸ τεθνεῖν. ¶ μόνας σέθεν] ἐλλειπτικῶς. ἔδει εἰπεῖν, ὅτι ἐπὶ σοὶ ἀποθανούσῃ, διετέλεσα ἂν ἐν λύπῃ εἶναι, ἢ εἰ παντὸς μου τοῦ ποιμνίου ἀπολωλότος.

39 ὅσον αἶγες ἐμὶν φίλαι, ὅσσον ἀπέσβας] ἐντεῦθεν σαφῶς αἰπόλος ἦν ὁ Βάττος, ὃν εἰκὸς ἦν ἐρᾶν τῆς Ἀμαρυλλίδος, καὶ οὐ Θεόκριτον. φησὶ δὲ ὑπερβολικῶς ὅσον αἱ αἶγες φίλαι μοι, τοσοῦτον ἡμᾶς ἐλύπησας ὦ Ἀμαρυλλὶ τελευτήσασα ἢ τοσοῦτον ἡμῖν οὖσα προσφιλὴς ἀπέσβας, ἤγουν, ἀπέθανες. οὕτως ἂν νοηθείη καὶ ὁ κωμάζων πρὸς αὐτήν· ὅτι φησὶν ὁ Θεόκριτος, κωμάζω ποτὶ τὰν Ἀμαρυλλίδα. Ἄλλως. Ὅσσον ἀπέσβας] τὸ ὅσσον, ἀντὶ τοῦ τόσσον, ἤγουν, τοσοῦτον. τὸ δὲ πᾶν οὕτως. ὅσον αἱ αἶγες ἐμοὶ προσφιλεῖς, τοσοῦτον σὺ, φίλη οὖσα δηλονότι, ἀπέσβας· ἤγουν, ἐξέλιπες, ἀπέθανες.

41 Θαρσεῖν χρή] τοῦτο ὁ Κορύδων φησὶ παραμυθούμενος τὸν Βάττον, ἵνα μὴ ἀθυμῇ ἐπὶ τῇ τελευτῇ τῆς Ἀμαρυλλίδος.

42 ἀνέλπιστοι δὲ θανόντες] ἀνέλπιστον, ὃ οὐκ ἐλπίζει τις λαβεῖν, ἢ καταθέσθαι, ἢ τοιοῦτό τι. ἀνέλπιστον, καὶ τὸ ἐλπίδος ἐστερημένον· καθὸ λέγεται ἐντεῦθεν τὸ ἀνέλπιστοι.

43 Χ' ὡ Ζεὺς ἄλλοκα] τὸν Δία λέγει τὸν αἴτιον τῶν ὑετῶν, ἀντὶ τοῦ ἀέρος, ἐν ᾧ συνάγονται αἱ νεφέλαι.

45 Τὸν θαλλὸν τρώγοντι] θαλλὸς ἁπλῶς λέγεται, πᾶν τὸ τεθηλός. κυρίως δὲ ὁ τῆς ἐλαίας βλαστός. Τὰ δύσσοα] τὰ δυσδίωκτα· ἀπὸ τοῦ δυσκόλως σεύεσθαι καὶ ὁρμᾶν, διὰ τὸ εἶναι πλαγκτά. Σίτθ' ὁ λέπαργος] ἐπίφθεγμα βουκολικὸν, ὅπερ λέγουσιν οἱ βουκόλοι· ὁμοίως καὶ τὸ ψίττα. λέπαργος δὲ ὁ λευκὸς, ἢ ὁ λευκοποίκιλος, ἢ ὁ λευκόπλευρος· ἀλλ' ὁ μὲν ἀπὸ τοῦ λέπας ἔχειν καὶ τοῦ ἀργὸν, ὅ ἐστι λευκὸν ἔχειν τὸ δέρμα· ὁ δὲ ἀπὸ τοῦ λευκὸν εἶναι κατὰ τὴν λαπάραν· ἢ λέπαργος, ὁ λευκὸς, παρὰ τὸ ἔχειν λέπας ἀργὸν, ἤγουν δέρμα λευκὸν, ἢ λευκὸν κατὰ τὴν λαπάραν. ¶ Κυμαίθα, ὄνομα βοὸς, καὶ αἰγὸς, παρὰ τὴν κώμυθα· ἢ παρὰ τὸ αἴθη, ἢ τὸ κόμη, ἢ τὰς κόμας αἴθας ἔχουσα, τουτέστι, ξανθάς· ἢ ἐγκύμων.

48 Ἴδ' αὖ πάλιν] ἰδοὺ πάλιν πρόσεστι τοῖς φυτοῖς.

49 Εἴθ' ἦν μοι ῥοικὸν τὸ καμπύλον] Ἀρχίλοχος· Ἀλλά μοι ῥαικὸς τις εἴη καὶ περὶ κνήμας ἰδεῖν. Λαγωβόλον δὲ, ξύλον, ᾧ διαφεύγοντες οἱ λαγωοὶ βάλλονται. ἢ ὅτι ῥάβδον οὖσαν ὀρθὴν, ἐπεύχεσθαι γενέσθαι καμπύλην, ἵνα μὴ ἔγκυον οὖσαν βλάψῃ τὴν βοῦν.

50 Θᾶσαί μ' ὦ Κορύδων] ἀποστροφὴ τὸ σχῆμα. κατὰ γὰρ τὸ σιωπώμενον προσεχόμενος ὁ Βάττος

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἀπελάσαι τὴν δάμαλιν, ὑπὸ ἀκάνθης ἐτύπη, καὶ δεῖται τοῦ Κορύδωνος ἐξελεῖν αὐτήν· διὸ καὶ πρὸς αὐτὸν ἀπέστρεψε τὸν λόγον, καὶ φησί· θάσαι με πρὸς τοῦ Διός· ἄρτι γάρ με ἄκανθα ἐπάταξε παρὰ τὸ σφυρόν.

51 Ἀρμοῖ μ' ὧδ' ἐπάταξεν] εἰ μὲν ψιλοῦται, τὸ ἀρτίως καὶ νεωστὶ σημαίνει, εἰ δὲ δασύνεται, τὸ ἡρμοσμένως. τὸ δὲ βαθεῖαι, αὐτὶ τοῦ ὑπερμεγέθεις, καὶ μετέωροι.

52 Ταὶ ἀτρακτυλίδες ἐντί] ἀτρακτυλὶς, εἶδος βοτάνης, ἢ ἀκάνθης· εἴρηται δὲ ἀπὸ τοῦ τὰς ἀγροίκων γυναῖκας, ἀτράκτους ποιεῖν ἐξ αὐτῶν. ἔνιοι δὲ ἀτρακτυλίδας, τὰ ἀγριολάχανα φασίν.

54 ἔχω τί μιν· ἄδε καὶ αὐτά] κρατῶ αὐτὴν, τὴν ἄκανθαν δηλονότι. τὸ δὲ ἄδε, ταυτὸ δύναται τὸ ἰδέ. ὁ καὶ [illegible], ὥσπερ καὶ παρ' Ὁμήρῳ· Τῶν, ἁμόθεν γε θεὰ θύγατερ Διὸς εἰπὲ καὶ ἡμῖν. ἐκβαλὼν γὰρ τὴν ἄκανθαν, δείκνυσι τῷ Βάττῳ, καὶ φησὶν ἄδε καὶ αὐτή.

55 Ὀσσίχον ἐστὶ τὸ τύμμα, καὶ ἁλίκον ἄνδρα] βαβαὶ, ὅσον ἐστὶ τὸ τὴν πληγὴν ποιοῦν· δεικτικῶς ἐμφαίνει τό τε μέγεθος τοῦ ἀνδρὸς, καὶ τὴν σμικρότητα τῆς ἀκάνθης. τὸ ἁλίκον πρὸς τὸν ἄνδρα, ἵν' ᾖ μικρὸν ὂν τὸ τύμμα ἁλίκον ἄνδρα, τουτέστι μέγα ἢ ἀνδρεῖον δαμάζει. ἢ τὸ ἡλίκον ἐπιρρηματικῶς, αὐτὶ τοῦ ὁποίως δαμάζει τὸν ἄνδρα.

56 μὴ ἀνάλιπος] ἤγουν μὴ ἀνυπόδητος. ἐξ οὗ καὶ πέδιλον, τὸ ὑπόδημα. ἦλιψ γὰρ τὸ ὑπόδημα, παρὰ τὸ ἐλίσσειν τὸν πόδα· ἀνήλιπος δὲ οἱονεὶ, ὁ μὴ ἐλίσσων τὸν πόδα.

57 καὶ ἀσπάλαθοι κομόωντι] κομόωντι αὐτὶ τοῦ κομῶσιν, ἀκάνθας ἔχουσι. κόμαι γὰρ [illegible] καὶ ἀσπαλάθου αἱ ἄκανθαι. ἀσπάλαθος δὲ εἶδος ἀκάνθης, ἣ πληγέντες οἱ ἔλαφοι, ἀποθνήσκουσιν. ἀσπάλαθος εἴρηται, διὰ τὸ μὴ ῥᾳδίως ὑπὸ τῶν πληγέντων ἀποσπᾶσθαι, ἤτοι ἀφαιρεῖσθαι.

58 Εἰπ' ἄγε μοι Κορύδων, τὸ γερόντιον ἦρ' ἔτι μύλλει] ἄγε εἰπέ μοι ὦ Κορύδων, τὸ γερόντιον (τὸν πατέρα λέγει τοῦ Αἴγωνος) ἆρα ἔτι ἐλαύνει, ἤγουν φιλεῖ ἐκείνην τὴν ἐρωμένην αὐτοῦ τὴν μέλανας ὀφρῦς ἔχουσαν, ἧς ἕνεκά ποτε ἐρωτικὸν πάθος ἐδέξατο; μύλλει δὲ, ἐλαύνει, ὠθεῖ, περαίνει. ἀπὸ τῶν ἀλοιώντων, καὶ τῇ κώπῃ τοὺς μύλους ὠθούντων.

60 Ἀκμὰν ὦ δείλαιε] οὐχ ὡς λοιδορῶν, ἀλλ' ὑποκοριζόμενος, καὶ ὑποκρινόμενος τοῦτο λέγει. πρὸ ὀλίγου γὰρ αὐτὸν ἐπελθὼν, καὶ πρὸς τὴν μάνδραν, ἢ μάκτραν, ἢ βάκτραν (τριχῶς γὰρ φέρεται ἐν τοῖς ἀντιγράφοις) κατελάμβανον ὁπηνίκα ἐνήργει, τὴν μετ' αὐτῆς δηλονότι μίξιν.

61 Καὶ ποτὶ τὰν μάνδραν] τὴν τῶν προβάτων ὀρκάνην, ἢ μάκτραν, ἢ βάκτραν, ἥ ἐστι σκεῦος ξύλινον ἀβακοειδὲς, οὗ φυρᾶν εἰώθασιν. ὠνόμασται δὲ, ἀπὸ τοῦ μάττειν καὶ φυρᾶν ἐν αὐτῇ τὰς μάζας.

62 Φιλοίφα] ἤγουν ὁ φιλῶν τὸ συνουσιάζειν, φιλοσυνουσιαστής. οἴφειν γὰρ τὸ συνουσιάζειν. οὕτω καὶ

παρὰ

© Centre d'Études Supérieures de la Renaissance - Tours

παρὰ Ἀλεξανδρεῦσι κόριφος λέγεται, ὁ κόρην οἰφώμενος. ἢ οἰφεῖν τὸ συνουσιάζειν, ἀπὸ τοῦ ἐπιπεύειν, ἔνθα καὶ οἰφόλης γυνή. ὅθεν καὶ παροιμία· ἄριστα χωλὸς οἰφεῖ. ἣν φασὶ διαδοθῆναι, ἐπεὶ οἱ χωλοὶ ἐν οἴκῳ καθεζόμενοι, συνεχῶς ἀφροδισιάζουσιν. οἱ δὲ φασὶ τὴν παροιμίαν ἐντεῦθεν ῥυῆναι, ἤτοι διαδοθῆναι· αἱ Ἀμαζόνες ἐπὰν ἄρρεν γεννήσωσι, χωλὸν αὐτὸ ποιοῦσιν, ἵνα μὴ ἀνδρειότερον αὐτῶν γένηται, καὶ τούτοις ἀνθρώποισι συνίασι. Σκυθῶν οὖν λεγόντων καλὸν συνεῖναι αὐταῖς ἑαυτοῖς, ἐκεῖναι ἔφασαν, ἄριστα χωλοὶ οἰφοῦσιν.

62 ἢ Σατυρίσκοις] τοὺς Σατύρους οἱ πλείονες φασὶν ὡς καὶ τοὺς Σιληνούς, καὶ Πᾶνας, ὡς Αἰσχύλος μὲν ἐν Γλαύκῳ. Σοφοκλῆς δὲ ἐν Ἀνδρομέδᾳ. οἱ Σάτυροι καὶ οἱ Πᾶνες δυσεπίφοροι πρὸς τὰς συνουσίας. ὅτι δὲ οἱ Σάτυροι τοιοῦτοι, δῆλον ἀπὸ τοῦ ὀνόματος· ἀπὸ γὰρ τῆς σάθης πεποίηται ὁ Σάτυρος. σάθη δὲ ἡ εἰς τὴν ἐπιθυμίαν ἐκπύρωσις. Ἄλλως. ἢ Σατυρίσκοις] ἀκρατεῖς οἱ Σάτυροι ἐρώτων. λέγεται δὲ παρὰ τὸ σάθη· σάθη δὲ τὸ μόριον τοῦ ἀνδρός, ὅπερ καὶ πέος λέγεται.

63 κακοκνάμοισιν ἐρίσδεν] ἐπειδὴ αἱ αἶγες ἔχουσι λασίους πόδας· ἢ ἀπὸ τῶν ὀρῶν τῶν κρημνῶν, κακοδέρμοις.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ε'.

Ἐπιγράφεται μὲν τὸ παρὸν εἰδύλλιον, αἰπολικὸν καὶ ποιμενικόν. οἱ δὲ διαλεγόμενοι ἀλλήλοις εἰσὶ Κομάτας, καὶ Λάκων, Δωρίδι.

1 Αἶγες ἐμαὶ τῆνον τὸν ποιμένα τὸν Συβαρίταν] Ἰστέον ὅτι τοῦ μὲν αἰπόλου τὸ ὄνομά ἐστι Κομάτας, ὃς καὶ Εὐμάρου τοῦ Συβαρίτου νέμει αἶγας. τοῦ δὲ ποιμένος, Λάκων, ὃς Θουρίου Συβαρίτου νέμει θρέμματα. ¶ τὸν Συβαρίταν] Σύβαρις, πόλις Ἰταλίας. ἢ ἀπὸ οἰκιστοῦ τινος, ἢ ἀπὸ Συβάριος ποταμοῦ. νῦν δὲ καλεῖται Θούριον, ταυτὸν οὖν Θούριον καὶ Σύβαρις λέγουσι γὰρ ὅτι ὑπὸ τῶν Κροτωνιατῶν καθῃρέθη ἡ Σύβαρις. ἐλθόντες δὲ οἱ Ἀθηναῖοι, αὐτὴν ᾤκησαν, καὶ τῇ πόλει μετήμειψαν τὸ ὄνομα, καλέσαντες αὐτὴν Θούριον, ἀπὸ Θουρίου ποταμοῦ ἐκεῖσε ῥέοντος. καὶ Θούριος, ὄνομα κύριον, καὶ ὁ ὁρμητικός.

2 τὸν Λάκωνα] Λάκων ὄνομα κύριον· ἐκτείνει δὲ τὸ α διὰ τὸ μέτρον. εἰώθασι δὲ οἱ παλαιοὶ τοῖς δούλοις ὀνόματα τιθέναι ἀπὸ τῶν ἐθνῶν, Σύρον Καρίωνα· οὕτω καὶ τὸν Λάκωνα. Δωριεὺς γὰρ ἦν. ¶ τό μευ νάκος] ὅς μου τὸ νάκος. Ζηνόδοτος τὸ κώδιον, τὸ μαρσύπιον. καὶ νάκος τὸ τῆς αἰγὸς δέρμα. Ὅμηρος· Νάκος ἑλετ' αἰγὸς ὀρειτρόφου. καὶ Θεόκριτος ἐν τοῖς ἑξῆς, αἰγὸς φησίν.

3 Οὐκ ἀπὸ τᾶς κράνας σίττ' ἀμνίδες] προδίκα, ἀγχίπται, σίττα. ψίττα, ποιμενικά, αἰπολικά, καὶ βουκολικὰ ἐπιφθέγματα. εἰσὶ δὲ ἐπιρρήματα. ἔλεγον δὲ ταῦτα διώκοντες, ἀποστῆσαι ὠφε-

© Centre d'Études Supérieures de la Renaissance - Tours

λεν εἰπεῖν, ἢ φθέγξασθαι ἤτι τοιοῦτον. ὁ δὲ ταῦτα ἀφεὶς, τῇ συνήθει φωνῇ τοῖς ἀμνοῖς τὰ σῖτα, χρῆται. ἔστι δὲ τοῦτο παρακέλευσις. ἀμνίδες τὰ μικρὰ προβάτια οἱονεὶ ἀμνάδια.

4 Τόν μευ τὰν σύριγγα] τὴν σύριγγά μου πρὸ ὀλίγου κλέψαντα Κομάταν.

5 δῶλε Συβάρτα] Δωρικῶς κατὰ τὴν γενικὴν, ἀντὶ τοῦ Συβάρτου. δῶλε δὲ ἀντὶ τοῦ δοῦλε. δοῦλος δὲ καὶ οἰκέτης διαφέρει, ὥς φησι Χρύσιππος· οἰκέτης μὲν ὁ ἔτι ὑπὸ κτῆσιν ὤν· δοῦλος δὲ, ὁ ἀπελεύθερος. Συβάρτας δὲ, ὡς προείρηκας, ἀγροίκας. ἔστι δὲ κατὰ μὲν τὸ ἀνάλογον, Συβαρίτης· κατὰ δὲ Δωριεῖς, Συβάρτης

6 Τίδ' οὐκ ἔτι σὺν Κορύδωνι ἀρκεῖ τοι καλάμας αὐλόν] ὁ Κορύδων βουκόλος, οὗ πρόσθεν μέμνηται. ὁ δὲ νοῦς· οὐκ ἀρκεῖ σοι φησὶ σὺν Κορύδωνι ἐν τῷ καλάμῳ φυσᾶν καὶ συναυλεῖν αὐτῷ. τοῦτο δὲ χλευαστικὸν, ὅτι οὐδὲ αὐλεῖν οἶδεν, εἰ μὴ ποππύσδειν καὶ μόνον. καλάμη δέ ἐστι, τὸ καταλειπόμενον ἢ περιλειπόμενον ἐκ τοῦ θεριζομένου σίτου καλαμῶδες καὶ τῆς κριθῆς. ταύτην δὲ νεαρὰν οὖσαν, ὑποτεμνόμενοι φυσῶσιν ἐν αὐτῇ καὶ αὐλίζουσι. ποππύζειν δὲ, τὸ λεπτοτάτως φωνεῖν τινὰ φυσῶντα τὸν ἐκ τῆς καλάμης αὐλόν. Ἄλλως. τί δὲ, οὐδαμῶς ἀρκεῖ σοι, ἤγουν ἱκανόν ἐστι σοι αὐλὸν ἔχοντα ἀπὸ καλάμης, ἤτοι ἀπὸ καλαμαίας, ἐμπνεῖν αὐτῷ. τοῦτο γὰρ τὸ ποππύζειν σὺν Κορύδωνι, τουτέστιν ὁμοίως τῷ Κορύδωνι.

8 Τάν μοι ἔδωκε Λύκων] πρὸς τὸ ποίαν ἀποτείνει ἡ ἀπάντησις. τὸ δὲ ὦ λεύθερε κατ' εἰρωνείαν εἴρηται.

10 Οὐδὲ γὰρ Εὐμάρα τῷ δεσπότῃ] πρὸς ὑπερβολὴν τοῦτο ἔφη. λέγει δὲ μὴ δὲ αὐτὸν τὸν δεσπότην Εὐμάρα ἐπικεκτῆσθαι, ἤγουν δέρματα. Ἄλλως. τὸ εὐμάρα δέρμα τι φασὶν εἶναι, καὶ οὐ κύριον ὄνομα, ὥς τινες, ἵν' ᾖ, οὐδὲ γὰρ οὐδὲ τῷ δεσπότῃ τῷ σῷ εὐμάραν καὶ δέρμα τι ἦν, ὥστε ἐνδύειν.

13 Βασκαίνων] ἀντὶ τοῦ φθονῶν λυπούμενος. Κυρίως δὲ βάσκανος, ὁ τοῖς ὀφθαλμοῖς καίνων καὶ φθείρων τὸ ὁραθὲν ὑπ' αὐτοῦ, ἢ ὑπ' αὐτῶν

14 Οὔ μ' αὐτὸν τὸν Πᾶνα τὸν ἄκτιον] ἀντὶ τοῦ, τὸν κυνηγόν. ἐπακτῆρες γὰρ οἱ κυνηγοί, ὥς φησιν Ὀππιανός. ἢ ὥς φησι Φιλοστέφανος, ἔστι Πανὸς ἱερὸν πλησίον Κράθιδος ποταμοῦ. τινὲς δὲ τὸν Ἀπόλλωνα φασὶ τὸν ἐπὶ τῆς ἀκτῆς ἱδρυμένον. φησὶ δὲ καὶ Πίνδαρος τῶν ἁλιέων αὐτὸν φροντίζειν. ἢ τὸν περὶ τοὺς πετρώδεις αἰγιαλοὺς διάγοντα, ἤγουν, τὸν κυνηγόν. ἢ ἄκτιον κατά τινας, τὸν Ἀττικόν.

15 Τὰν βαίταν] τὴν διφθέραν, τὴν σισύραν. βαίταν γὰρ λέγουσι τὰ ἐκ κωδίων συνερραμμένα περιβόλαια. Ἀττικοὶ δὲ ταύτην καὶ σισύραν φασί. καὶ Ἀριστοφάνης· Ἐν πέντε σισύραις ἐγκεκορδυλημένος. ἡμεῖς δ' αὐτά,

πυν-

σισυρίνια φαμέν. Τὰν βαίταν ἀπέδυσ' ὁ Καλαίθιδος] οἰκέτης δηλονότι, ἢ υἱός. πότερον γὰρ οἰκέτης, ἢ υἱός, οὐ λέγει· διὸ οἱ μὲν δοῦλον, οἱ δὲ υἱὸν φασίν. ¶ ἢ κατὰ τήνας] ἢ εἰ τοῦτο ἐποίησα, ἢ εἰ ἐπιορκήσω, ἀναβὰς ἀπὸ τῆς πέτρας ἐκείνης ὦ ἄνθρωπε εἰς μανίαν ἐμπεσών, εἰς Κρᾶθιν τὸν ποταμὸν πηδήσαιμι, ἢ φθαρείην. (γράφεται καὶ ἀλοίμην, καὶ ὀλοίμην) εἰώθασι γὰρ ἐκ πενίας τινὲς ἢ μανίας, κατακρημνίζειν ἑαυτούς. Κρᾶθις δὲ ποταμὸς περὶ Σύβαριν τῆς Σικελίας ἡ δὲ κατά, ἀντὶ τῆς ἀπό. Νυμφόδωρος δὲ καὶ Θεόφραστός φασι, τὸ τοῦ Κράθιδος τὸ ὕδωρ ξανθίζειν. Ἄλλως. τὸ, Ἦ κατὰ τήνας. τὴν κατὰ τῷ ἀλοίμην δεῖ συνάπτειν. ποιητικῶς γὰρ διαιρεῖται τοῦ ῥήματος, ἐν ταύτῃ τῇ σημασίᾳ, ὡς παρ' Ὁμήρῳ Βῆ δὲ κατ' οὐλύμποιο καρήνων χωόμενος κῆρ· παρὰ δὲ τοῖς πεζολόγοις, συνημμένη ἐστὶν ἀεὶ ἐν τοῖς τοιούτοις τῷ ῥήματι, ὡς παρὰ Φιλοστράτῳ· Ὁ δ' ὑπεκδὺς τῶν σπαργάνων ἤδη βαδίζει καὶ τοῦ Ὀλύμπου κάτεισιν.

17 Οὐ μὰν οὐτ' αὐτὰς τὰς λιμνάδας] οὐδαμῶς μὰ τὰς λιμνάδας αὐτὰς νύμφας· ἤγουν, τὰς ἀνάσσας φορμίας ἐν ταῖς λίμναις, αἵτινες ἐμοὶ προσφιλεῖς εἶεν, οὐκ ἔκλεψεν ὁ Κομάτας τὴν σύριγγά σου λαθών.

21 Ἀλλ' οὐκ αἶκα λῦσ' ἔριφον θέμεν] ἀντὶ τοῦ θεῖναι, ἤγουν, κατάθου. τὸ αἶκα Δωρικοὶ ἀεὶ ἀντὶ τοῦ ἐὰν κεῖνται, διὸ καὶ ὑποτάσσει.

21 Ἐντὶ μὲν οὐδὲν ἱερόν] παροιμία ἐστὶν ἐπὶ τῶν μηδενὸς ἀξίων. φησὶ δὲ Κλέανδρος ἐν δευτέρῳ τῶν παροιμιῶν, ὅτι Ἡρακλῆς ἰδὼν ἱδρυμένον τὸν Ἄδωνιν, ἔφη οὐδὲν ἱερόν. οὐ γὰρ αὐτὸν ἄξιον τιμῆς καὶ ἱδρύσεως ἔκρινεν. Διονυσόδωρος δὲ μεταφορὰν εἶναί φησιν, ἀπὸ τῶν ἱερῶν τῶν πιεωμένων, μηδὲν ἐχόντων ἱεροῦ καὶ σεβασμοῦ ἄξιον. ἢ οὐδὲν ἱερόν, οὐκ ἔστιν ἄξιος ἱδρύσεως καὶ τιμῆς ὁ τοιοῦτος. Ἄλλως. Ἡρακλῆς ἐλθὼν εἰς Δῖον πόλιν τῆς Μακεδονίας, εἶδεν ἔκ τινος ἱεροῦ πολλοὺς ἐξιόντας. θέλων δὲ καὶ αὐτὸς εἰσελθεῖν καὶ προσκυνῆσαι, ἀνέκρινεν, ἤγουν ἠρώτησε τίνος εἴη τὸ ἱερόν. μαθὼν δὲ Ἀδώνιδος εἶναι, ἔφη, οὐδὲν ἱερόν· ἀντὶ τοῦ οὐδενὸς ἄξιον. οὐδεὶς γὰρ θεῶν ὑπάρχει.

22 ἀλλά γέ τοι διαείσομαι] ἀλλά σοι ᾄδων ἐρίσω, διακριθῶ, ἕως ἂν ἀπαγορεύσῃς, τὴν ἧτταν ὁμολογήσῃς.

23 Ὗς ποκ' Ἀθαναίαν ἔριν ἤρισεν] παροιμία ἐστὶν ἐπὶ τῶν τοῖς κρείττοσιν ἀντερίζοντων. ἐρίζω ἐπὶ λόγων, ἐρείδω δὲ ἐπὶ πράγματος.

24 τὸν εὔβοτον ἀμνὸν ἔρεξε] τὸν εὐτραφῆ. βόσις γὰρ ἡ τροφή, ὅθεν καὶ τὸ αἰγίβοτον, καὶ ἱππόβοτον. ἔρεξε, ἤγουν φέρων κατέθου.

25 Καὶ πῶς, ὦ κίναδ', ἔσσῃ] καὶ πῶς, ὦ πανοῦργε, καλῶς ταῦτα ἔσται ἐξ ἴσου μέτρου ὑμῖν. οἱ Σικελιῶται γὰρ τὴν ἀλώπεκα, κίναδον προσαγορεύουσι. τοιοῦτον

© Centre d'Études Supérieures de la Renaissance - Tours

γὰρ τὸ ζῶον πανοῦργον. κίναδος δὲ, παρὰ τὸ κινεῖσθαι ἐν αἰδοῖ, ἢ ἀναιδῶς· ἢ παρὰ τὸ κινεῖσθαι ἐν δόλῳ.

26 Τίς τρίχας ἀντ᾽ ἐρίων ἐποκίξατο] ἀντὶ τοῦ ἔκειρε, πόκους ἐποιήσατο. τίς γάρ ποτε ἔκειρε ἀντὶ ἐρίων τρίχας; τρίχες γὰρ αἱ παχεῖαι, καὶ τεταμέναι, ὡς αἱ τῆς αἰγός. ἔρια δὲ τὰ λεπτὰ καὶ οὖλα ὡς τὰ τῶν προβάτων. ἢ τοῦτο φησὶν, ὅτι αὐτὸς μὲν ἄρνα κατατίθεται, ἐκεῖνος δὲ ἔριφον, ὅς τις οὐ ποκίζεται. ¶ τίς δὲ παρούσας Αἰγὸς πρωτοτόκοιο, κακὰν κυνὰ βούλετ᾽ ἀμέλγειν] ἢ θέλει ἀμέλγειν. γράφεται γὰρ καὶ οὕτω Δωρικῶς ἀντὶ τοῦ βούλεται, καθά τινας.

28 Ὅς τις νικασεῖ τὸν πλασίον] ἤγουν, ἐκεῖνος ταῦτα ποιεῖ, ὅστις πέποιθε νικῆσαι τὸν πλησίον, καθὰ σὺ πέποιθας. ἀπὸ τοῦ πέποιθα, πεποίθω ἐνεστὼς, ὡς ἀπὸ τοῦ δέδοικα δεδοίκω. Ἄλλως. ὅστις νικῆσαι τὸν πλησίον διαφερόντως ἐπαγγέλλεται. ἢ ὅς τις θελήσει ποιεῖν ἢ εἰπεῖν τοῦτο, ὃς ἀντ᾽ αἰγὸς κυνὰ ἀμέλγει, οἷον καὶ σὺ νικῆσαι φῂς, τὸν τοσοῦτον ἐν ἡδυφωνίᾳ σοῦ διαφέροντα, ὅσον τέττιγες σφηκῶν.

29 Σφὰξ βομβέων] Ὁ σφὴξ φησὶ σὺ, ἐμοῦ κατ᾽ ἐναντίον τοῦ τέττιγος τολμᾷς βομβεῖν. ¶ ἀλλὰ γὰρ οὔτι ἔριφος ἰσοπαλής] ἀλλὰ οὐδαμῶς ὦ ἔριφος, ὁ ἔριφος οὗτος, ἐν ἴσῃ μοίρᾳ σοι ἀξιοῦται τῷ ἀμνῷ. ἀλλὰ ἰδοὺ τίθημι τράγον. τὸ γὰρ ἰσοπαλὴς, ἴσος ἐν κλήρῳ· πάλος γὰρ ὁ κλῆρος. ἢ ἐκ τοῦ πάλη.

31 Μὴ σπεῦδ᾽· οὐ γάρ τοι πυρὶ θάλπεαι] παροιμία ἐστὶν ἐπὶ τῶν διά τι σπευδομένων. μὴ σπούδαζε, οὐ γὰρ ἐπὶ πυρὸς βέβηκας. σπουδῶ ἐγὼ ἀμεταβάτως, ἐπισπουδῶ δὲ ἕτερον. Ἅδιον ᾀσῇ] ἤγουν ἡδέως μᾶλλον ᾄσῃ.

32 Τᾷδ᾽ ὑπὸ τὰν κότινον. ὧδε ἐλθὼν καὶ καθίσας ὑπὸ τὴν ἀγριελαίαν, καὶ τὰ δένδρα ταῦτα. τὸ τᾷδε, ἐν ἄλλοις ἀντιγράφοις γράφεται τεῖδε, ἀντὶ τοῦ ἐνταῦθα Δωρικῶς.

33 Ψυχρὸν ὕδωρ τηνεὶ] ἀντὶ τοῦ αὐτοῦ καταρρεῖ ψυχρὸν ὕδωρ. ἐνταῦθα ἐκπεφυκυῖα ἐστὶ βοτάνη, καὶ ἤδη ἡ στιβὰς ἥ ἐστιν εἶδος βοτάνης. τὸ τηνεὶ, ἐν ἄλλοις γράφεται ἐπιρρηματικῶς ἀντὶ τοῦ ἐνταῦθα. Καὶ ἀκρίδες] καὶ ἀκρίδες ἐνταῦθα λαλοῦσιν.

35 Ἀλλ᾽ ἔτι σπεύδω] οὐδαμῶς σπουδάζω. μεγάλως δὲ ἀλγῶ εἰ σύ με τολμᾷς ἀτρέπτοις τοῖς ὄμμασι προσβλέπειν, ὅν τινά ποτε ἐδίδασκον ἐγὼ, ᾄδειν δηλονότι, ἔτι παῖδα ὄντα.

36 ὃν ποκ᾽ ἐόντα παῖδ᾽ ἔτ᾽] ταῦτα φησὶν, ἐπὶ τῷ τὴν χάριν εἰς ἅμιλλαν αὐτῷ συνεληλυθέναι παρ᾽ αὐτοῦ διδαχθέντα, ὡς καὶ προσκαλεῖσθαι αὐτὸν εἰς ἅμιλλαν.

37 ἴδ᾽ ἁ χάρις εἰς τί ποθέρπει] θέασαι εἰς τί προσέρπει καὶ τελευτᾷ ἡ χάρις· ἡ ὀφειλομένη μοι δηλονότι.

38 Θρέψαι καὶ λυκιδεῖς] ἐκθρέψειεν ἄν τις καὶ λύκων ἐκγόνους, καὶ κύνας, ἐπὶ τῇ λύμῃ τοῦ αὐτοῦ, ὡς κἀγὼ τοῦτον ἐδίδαξα ἐπὶ

ἀχαρι-

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἀχαριστία. ἔστι δὲ ἴσον Σωκράτους· κακοὺς ποιῶν εὖ, θρέψαι κύνας. παροιμία ἀπὸ τῶν κατ' αὐτῶν ποιούντων τι· ἀπὸ Ἀκταίωνος, τοῦ ὑπὸ ἰδίων κυνῶν βρωθέντος τάσσεται δὲ ἐπὶ τῶν ἀχαρίστων τοῖς εὐεργέταις, ἤτοι, τῶν μὴ ὁμολογούντων χάριν τοῖς εὐεργέταις.

40 Ἀνδρίον] ἀνδράριον ὑποκοριστικῶς, ἀνθρωπάριον, ἢ δυστηνὲς καὶ ταλαίπωρον. αὕτως δὲ οὕτως· ἐν οὐδεμίᾳ χρείᾳ, μάτην.

41 ἐπύγιζον] πυγμαῖς ἔτυπτον, ἔκρουον. ἄτοπον γὰρ τοῦτο φανερῶς εἰπεῖν· ἢ ἐπέραινον, ἐβάτευον. σὺ δὲ ἤλγεις, αἱ δὲ αἶγες ἐβληχῶντο, ἤγουν ἐμυκῶντο βιαζόμεναι ὑπὸ τῶν τράγων. τὸ βληχᾶσθαι γὰρ ἐπὶ προβάτων λέγεται. καὶ ὁ τράγος αὐτὰς ὤχευεν.

43 Μὴ βάθιον τήνω πυγίσματος] μὴ βαθυτέρου τύχῃς τάφου τοῦ πυγίσματος, οὗ φῂς με εἰργάσθαι. τὸ δὲ ταφείης, ὡς ἐγὼ πεπύγισμαι. Ἄλλως. Ταφείης, ἀντὶ τοῦ γαμηθείης βαθύτερον σὺ τοῦ πρὸς ἐμὲ ἐκ σοῦ πυγίσματος, ὡς σὺ λέγεις. ἀρνεῖται δὲ διὰ τούτου. καὶ Ἀριστοφάνης δὲ ἐν Βατράχοις φησὶ περὶ τοῦ Κλέωνος· περὶ τὸ κρυπτόμενον, καὶ ἔνδον νοούμενον, ἐν ταῖς ταφαῖς τίλλεσθαι· ἤγουν, ἐν καιροῖς συνουσιασμοῦ, τὰς τρίχας ἐκτίλλειν τῆς πυγῆς. Ἄλλως. Εἴθε μὴ ἐν βαθυτέρῳ τάφῳ ταφείης ἐκείνου τοῦ πυγίσματος ὕβε, ἤγουν συγκεκαμμένε τὸν τράχηλον, κυρτέ. τὸ δὲ ὕβος, ἀπὸ τοῦ κυφὸς, ἀποβολῇ τοῦ κ, καὶ τροπῇ τοῦ φ εἰς β, ὕβωσις, καὶ λόρδωσις πάθη· λόρδωσις γὰρ ἐστὶ τὸ ἔμπροσθεν· ὕβωσις, τὸ μετὰ τὴν κεφαλὴν, περὶ τῆς ῥάχεως πάθος· κύρτωσις δὲ, τὸ μέσον τῆς ῥάχεως.

44 καὶ ὕστατα βουκολιαξεῖς. καὶ τελευταῖον τῇ βουκολικῇ ᾠδῇ χρήσῃ ἐρίζων. οὐχ ἑρψόμεναι τηνεῖ· οὐκ ἐλευσόμεναι εἰς αὐτὸ τὸ μέρος. Τηνεῖ δρύες. ἐνταῦθα δρύες.

45 ὧδε κύπειρος] ὧδε καλῶς βομβοῦσιν ἐν τοῖς σίμβλοις μέλισσαι. ἐνθάδε εἰσὶ δύο πηγαὶ ὕδωρ ψυχρὸν βλύζουσαι, αἱ δὲ ὄρνιθες ἐπὶ τοῦ δένδρου λιγυρὸν ᾄδουσι, καὶ ἡ σκιὰ οὐδαμῶς ὁμοία τῇ ὑπαρχούσῃ παρὰ σοὶ, καὶ ἡ πίτυς δὲ ἀπὸ τοῦ ὕψους, στροβίλους ἀφίησιν.

51 ὕπνω μαλακώτερα] μαλακὸν τὸ χαῦνον καὶ ὑπεῖκον, ᾧ ἐναντίον τὸ σκληρόν. λέγεται δὲ μαλακὰ, ἔρια, καὶ κηρὸς, καὶ τὰ τοιαῦτα· ὁ δὲ ὕπνος, οὐ κατὰ ταῦτα λέγεται μαλακὸς, ἀλλ' ὡς μαλακοποιός.

53 Στασῶ δὲ κρητῆρα] παρόσον ἔλαιον ἐκτίθησι ταῖς νύμφαις· αὗται γὰρ ἐκθρέψασαι τὸν Ἀρισταῖον, ἐδίδαξαν τὴν τοῦ ἐλαίου ἐργασίαν καὶ μέλιτος, ὥς φησιν Ἀριστοτέλης. ἵστημι, ὁ μέλλων στήσω, καὶ Δωρικῶς στασῶ· οἱ γὰρ Δωριεῖς τοὺς μέλλοντας περισπῶσιν. ἱστᾶν δὲ, τὸ ζυγοστατεῖν, καὶ τὸ ὀρθὸν τιθέναι· ἐνταῦθα τὸ δεύτερον.

56 Καὶ γλάχων' αὐτεῦσαν] Βλήχων, εἶδος βοτάνης, τὸ κοινῶς βληχώνιον.

58 Γαυλὸς τὺ Πανί] γαυλοὶ, ἀγγεῖα χυτροειδῆ γαλακτοδόχα, ἐν οἷς πήσουσι τὸ γάλα. παρὰ καὶ εἴρηται πλεονασμῷ τοῦ υ.



© Centre d'Études Supérieures de la Renaissance - Tours

ἄπινα καὶ ἀμολγέας καλοῦσιν, στῆσω τῷ Πανὶ, ὀκτὼ μὲν γαυλοὺς γάλακτος πεπληρωμένους δηλονότι.

59 Ὀκτὼ δὲ σκαφίδας, πλεία μελικηρία] σκαφίδες, ἀγγεῖα εἰς ἃ κατετίθεσαν τὰς μελικηρίδας. τὸ δὲ πλεία ἀντὶ τοῦ πλήρη, ἐν ᾧ εἰσι μελικηρίδες.

61 Τᾶν σαυτοῦ πατέων] γῆν δηλονότι, ἢ χώραν. τοῦτο ἐκ τῆς παροιμίας, Σπάρταν ἔλαχες, Σπάρταν κόσμει.

64 βωστρήσομες] ἀντὶ τοῦ καλέσομεν.

65 ξυλοχίσδεται] ξυλεύεται, ξύλα τέμνων συνάγει. ἔστι δὲ καὶ παροιμία, Δρυὸς πεσούσης, πᾶς ἀνὴρ ξυλεύεται.

66 Βωστρέομες] ὁριστικὸν ἀντὶ ὑποτακτικοῦ ἡ γραφὴ διὰ τοῦ ο μικροῦ. τοῦτο δὲ διὰ τὸ μέτρον.

67 ἄμμες γὰρ ἐρίσδομες] ἤγουν, ἡμῖν δὲ ἔρις γέγονεν, ὁπότερος ᾖν κρείττων τὴν ᾠδὴν τὴν βουκολικήν. ἢ ἐρίζοντες πειρώμεθα γνῶναι, ὅς τις ἐστὶ κρείττων βουκολικῶν μελῶν ἐργάτης.

68 τὺ δ' ὦ φίλε μήτ' ἐμὲ Μόρσων] σὺ δὲ ὦ φίλε Μόρσων, μήτε πρὸς χάριν ἐμὲ κρίνῃς ὁμιλήσας καὶ παρὰ τὸ δίκαιον τὴν νίκην χαρίσῃ· μήτ' αὖ σύ γε τούτῳ βοηθήσῃς κατὰ χάριν ἢ μήτε μὴν παρίδῃς ἀδικούμενον.

72 Ἁδέ τοι ἁ ποίμνα] περιττὸς ὁ τοί.

74 Μή τυ τίς ἠρώτη ποττῶ Διὸς] τοῦτο ὁ Λάκων φησὶν, ἀγανακτῶν τῷ προπετεῖ καὶ παρέργῳ τῆς γλώττης.

77 φιλοκέρτομος] λοιδορίας φίλος.

78 Εἴα λέγ', εἴ τι λέγεις] ἢ καὶ νῦν τοῖς δι' ὄχλου τινὸς γινομένοις εἰώθαμεν τοῦτο λέγειν, αὐτός ποτε τὸν ἄνθρωπον. λέγει δὲ τοῦτο τὸν ξένον τὸν παρακληθέντα κρῖναι. Ἄλλως. ἄγε λέγε εἴ τι λέγεις, καὶ τὸν ξένον ἄφες ζῶντα αὖθις ἀπελθεῖν· δηλονότι ὁμοῦ, ἀντὶ τοῦ ἐπαναστρέψαι εἰς τὴν ἑαυτοῦ πόλιν.

78 Καὶ τὸν ξένον ἐς πόλιν αὖθις ζῶντα ἄφες. τουτέστιν ἵνα μὴ ὑπὸ τοῦ μέλους, ὥσπερ ὑπὸ τῶν Σειρήνων κρατηθεὶς, ἀπόλυται. τοῦτο δὲ εἰρωνικῶς φησίν. Ἄλλως. τοῦτο φησὶ θέλων σκῶψαι αὐτὸν τὸν αἰπόλον ὡς ἀηδές τι μέλος ἔλεξεν. καὶ ἴσως αὖ ἐκ τῆς ἀηδίας καὶ ὁ Μόρσων ἡμιθνὴς γενήσεται, ἢ καὶ τέλος θάνῃ. ἢ ζῶντ' ἄφες, ἀντὶ τοῦ ταχὺν ἀπὸ τοῦ ζέω. τοὺς γὰρ ταχεῖς, ζέοντας καὶ θερμοὺς λέγουσι. ταῦτα δέ φησι ὁ Λάκων, ὡς διαλεγομένου τοῦ Αἰπόλου τῷ Μόρσωνι.

79 ὦ Παιάν] ἐπὶ ἀγανακτήσεως ἐν τοῦτῳ ἡ ἐπίκλησις.

80 Ταὶ Μῶσαί με φιλεῦντι] ἄρχεται τῆς ᾠδῆς ὁ Λάκων, καὶ φησὶν αὐτὸν μᾶλλον ἢ τὸν Δάφνιν ὑπὸ τῶν Μουσῶν φιλεῖσθαι. εἶπε ὁ Λάκων, καὶ γὰρ ἐμὲ ὁ Ἀπόλλων φιλεῖ μέγα, ἀντὶ τοῦ μεγάλως καὶ κατὰ πολύ.

83 τὰ δὲ Κάρνεα καὶ δὴ ἐφέρπει] ἐπέρχεται, παραγίνεται. Κάρνεια δὲ ἑορτὴ Ἀπόλλωνος Καρνείου, ἀπό τινος Κάρνου. οὗτος δὲ ὁ Κάρνος

μάντις

© Centre d'Études Supérieures de la Renaissance - Tours

μάντις ὤν, ἕπετο τοῖς Ἡρακλείδαις, ἄσημα τούτοις μαντευόμενος. ὅν τινα ἐκτραπεὶς εἷς τῶν Ἡρακλειδῶν, Ἱππότης τοὔνομα, λόγχῃ βαλὼν ἀπέκτεινε. δι' ὃν λοιμὸς ἐγένετο ἐν τῇ Πελοποννήσῳ. καὶ ἀπελθόντες, ἔλαβον χρησμὸν ἐξ Ἀπόλλωνος, Κάρνειον τιμῆσαι Ἀπόλλωνα· καὶ τοῦτο ποιήσαντες, ἐπαύσαντο τοῦ λοιμοῦ. ταύτην οὖν τὴν ἑορτὴν καὶ οὗτοι οἱ μετοικήσαντες ἐκ Πελοποννήσου εἰς ἑτέρας πόλεις, διὰ τὸν λοιμὸν ἐπιτελοῦσιν. Ἄλλως. Κάρνεια, ἑορτὴ Δωρική, τελουμένη Καρνείῳ Ἀπόλλωνι κατὰ τὴν Πελοπόννησον, ἀπὸ Κάρνου μάντεως, ὃς ἔχρησε τοῖς Ἡρακλείδαις. ἀπ' αὐτοῦ δὲ Κάρνειον Ἀπόλλωνα προσαγορεύουσιν. ἡ δὲ ἱστορία παρὰ Θεοπόμπῳ· ὅτι τὸν αὐτὸν, καὶ Δία καὶ Ἡγήτορα καλοῦσιν Ἀργεῖοι, διὰ τὸ Κάρνον ἡγήσασθαι τοῦ στρατοῦ, ὃν οἱ Ἡρακλεῖδαι ἀπέκτειναν ἀπερχόμενον εἰς Πελοπόννησον, ὑπολαβόντες κατάσκοπον εἶναι τοῦ στρατεύματος· ὃν ὕστερον ἐτίμησαν ὑπὸ λοιμοῦ φθειρόμενοι. Ἄλλως. Πραξίλας μὲν, ἀπὸ Καρνείου φησὶν ὀνομάσθαι τοῦ Διὸς καὶ Εὐρώπης υἱοῦ, ὃς ἦν ἐρώμενος τῷ Ἀπόλλωνι. Ἀλκμὰν δὲ ἀπὸ Καρνέου τινὸς Τρωϊκοῦ. Δημήτριος δὲ ἀπὸ τοῦ κραίνειν, ὅ ἐστι τελέσαι. φησὶ γὰρ ὡς ὁ Μενέλαος στρατεύσας εἰς Ἴλιον, ηὔξατο τιμῆσαι αὐτὸν, ἐὰν κραίνῃ. Ἄλλως. Κάρνεα, ἑορτή ἐστι Διὸς Καρνεῖα ὀνομαζομένη. παρ' Ἕλλησι δὲ τελεῖται διὰ τὸ τὸν Δούρειον ἵππον, ἐκ κρανείου εἶναι ξύλου.

84 Πλὰν δύο, τὰς λοιπὰς διδυματόκος] τὰ ἀπὸ τοῦ τίκτειν συγκείμενα, εἰ μὲν προπαροξύνεται, πάθος δηλοῖ· εἰ δὲ παροξύνεται, ἐνέργειαν· ὡς καὶ τὰ παρὰ τὸ τίκτειν καὶ τρέφειν. οἷον, πρωτότοκος, ὁ πρῶτος τεχθείς. διδυματόκος αἴξ, ἡ δίδυμα τετοκυῖα. δοκεῖ δὲ τὸ διδυματόκος, ἀπὸ τοῦ διδυμοτόκος γίνεσθαι, τροπῇ τοῦ ο, εἰς η, εἶτα τοῦ η εἰς α· διὸ καὶ μακρὸν ἔχει τὸ α.

85 Καί μ' ἁ παῖς ποθορεῦσα] καί με ἡ παῖς ὁρῶσα· τὴν ἐρωμένην αὐτοῦ Ἀλκίππην λέγει. τὸ δὲ ὀρεῦσα Αἰολικόν.

86 Φεῦ, φεῦ, Λάκων τοι] τὸ φεῦ, ἐπὶ θαύματος. τὸ δὲ τοί, περισσόν.

86 ταλάρως, τοὺς καλαθίσκους, ἐν οἷς τυροῦσι τὸ γάλα.

87 ἐν αὔθεσιν] ἐν τῷ αὔθει τῆς ἡλικίας χαίρει. τοῦτο δὲ εἶπεν, ὡς ὄντος αὐτοῦ παιδεραστοῦ. Ἄλλως. Τὸ μὲν ἔξω, τοῖς αὔθεσι τοῦ τυροῦ τὸν παῖδα τοῖς χείλεσι παραχρίει· τὸ δὲ ἔσω, ἐν τοῖς αὐθάδεσι τόποις, τὸν αἴνηβον, τὸν μικρὸν ἔτι καὶ ἀτελῆ παῖδα, τὸν Κρατίδαν δηλονότι, μολύνει, βινεῖ.

88 Βάλλει καὶ μάλοισι] προτρέπεταί με εἰς ἔρωτα ὑπαγαγέσθαι. τὸ γὰρ μήλοις βάλλειν ἐπὶ τούτοις ἔταττον. ¶ ἁ Κλεαρίστα] ἡ τοῦ Κλεαρίστου θυγάτηρ Ἀλκίππη, ἡ ἐρωμένη αὐτοῦ.

89 Τὰς αἶγας παρελῶντα] ἤγουν παρήλασε καὶ παρέδραμεν



© Centre d'Études Supérieures de la Renaissance - Tours

ἤγουν ἐνίκησεν ἐμὲ ἡ Ἀλκίππη. τὸ δὲ παρελῶντα ἐνταῦθα, ἐπὶ τοῦ παρακολουθεῖν καὶ ἐλαύνειν λέγει. ¶ καὶ ἁδύ τι ποππυλιάσδει] καὶ ἡδύ τινα συριγμὸν συρίζει.

90 Κἠμὲ γὰρ ὁ Κρατίδας τὸν ποιμένα λεῖος ὑπαντῶν Ἐκμαίνει] καὶ ἐμὲ δὴ ὁ Κρατίδας τὸν προσόδια νέμοντα, ἀργυροῦς ὑπαντῶν, εἰς μανίαν ἔρωτος ἐμβάλλει. 92 Ἀλλ' οὐ σύμβλητ' ἐστὶ κυνόσβατος, οὐδ' ἀνέμωνα] ἤγουν συγκρίνεσθαι δυνάμενά ἐστιν, ἢ συγκρίσεως ἄξια. λέγει δὲ τὴν διαφορὰν τῆς θηλείας ἀπὸ τοῦ ἄρρενος. φυτάριον δὲ ὁ κυνόσβατός ἐστιν, ὅμοιον ῥόδῳ ἔχον τὸν καρπόν· ἔστι δὲ μεταξὺ θάμνου καὶ δένδρων, παρόμοιον ταῖς ῥοιαῖς ἢ ταῖς ῥοδέαις, ἀκανθώδες, ὥς φησι Θεόφραστος· ἔστι δὲ ὁ κυνάκανθος.

92 οὐδ' ἀνεμώνα] ἀνεμώνη ἄνθος ἄοσμον, ὅ φασιν ἀναδοθῆναι ἐκ τοῦ αἵματος τοῦ Ἀδώνιδος. Ἄλλως. Τὴν ἀνεμώνην Νίκανδρος φησὶν ἐκ τοῦ Ἀδώνιδος αἵματος φῦναι. Κρατεύας δὲ ἢ Κρατίδης κατά τινας, δύο φησὶν εἶναι τὰς ἀνεμώνας· τὴν μὲν ἄνθος ἔχουσαν μέλαν, τὴν δὲ φοινικοῦν. Σωσίβιος δὲ τὰς ἀνεμώνας παρὰ Λάκωσι, φαινίδας καλεῖσθαί φησι· ῥόδων δὲ, παρὰ τὸ θᾶττον ἀπορρεῖν· ῥοώδες γάρ ἐστιν, ἤτοι φθειρόμενον.

93 τῶν αὔδηρα παρ' αἱμασιαῖσι] ὧν τινων, δηλονότι τῶν κυνοσβάτων, καὶ τῶν ἀνεμώνων, αὔδηρα, ἤγουν αὔθη, ἐν ταῖς αἱμασιαῖς εἰσίν. αὔδηρα νῦν τὰ αὔθη, ἢ τὰ ἄκρα· κυρίως δὲ αὔδηρα, τὰ ἐπάνω τῶν ὀχετῶν τῶν ὑδάτων ἤτοι τὰ χείλη τοῦ ποταμοῦ, παρὰ τὸ ἄνω διερῶν εἶναι· τῶν γὰρ ῥόδων τὰ ἄκρα, καὶ περιττεύοντα, φύονται ταῖς αἱμασιαῖς· ἢ κυρίως αὔδηρα τὸν ἔνυγρον τόπον, καὶ τὰ τῶν ποταμῶν ἀναχωρήματα γίνεσθαι.

94 Οὐδὲ γὰρ οὐδ' ἀκύλοις] ταῖς τοῦ πρίνου βαλάνοις· ἄκυλος γὰρ, ὁ τοῦ πρίνου καρπός. αἱ μὲν γὰρ ἄκυλοι, λεπτόσαρκοι φησὶ καὶ σκληραὶ ἢ ξηραί· αἱ δὲ ὀρομαλίδες δηλονότι, ἡδεῖαι. φησὶν οὖν ὅτι ὁ μὲν Κρατίδας, μελίχρους· ἡ δὲ Κλεαρίστη, ἀειδής. ὀρομαλίδες δὲ, τὰ ὄρεια μῆλα, ἢ τὰ ἐν ὄρει μῆλα. Ἀσκληπιάδης δὲ διὰ τοῦ ω μεγάλου γράφει. ἔστι δὲ τὰ σμικρὰ καὶ μείζονα τοῖς σύκοις μῆλα.

95 Αἱ δὲ μελιχραί] τινὲς οὕτως ἑρμηνεύουσιν. αἱ μὲν ἔχουσι λεπτὸν λέπυρον· αἱ δὲ μελιχραὶ, ἤγουν, γλυκεῖαι ἔχουσι μέλιτος, κισσηροειδεῖς. ὁ δὲ καρπὸς τοῦ πρίνου, κερατοειδής ἐστι. ποιεῖ οὖν ὁ Λάκων τὴν μὲν Κλεαρίστην, κισσηροειδῆ καὶ οἱονεὶ ἄμορφον· τὸν δὲ Κρατίδαν, κηροειδῆ, καὶ οἷον εὔμορφον.

96 Κἠγὼ μὲν δωσῶ τᾷ παρθένῳ αὐτίκα φάσσαν] καὶ ἐγώ φησι δώσω τῇ παρθένῳ Ἀλκίππῃ αὐτίκα φάσσαν. τὴν ταχυτῆτα θέλει δηλοῦν τὸ αὐτίκα. ἐπεὶ ἄλλως, πῶς αὐτίκα δώσει ἣν ἔτι ἀπὸ τῆς ἀρκεύθου καθεῖλεν. φάσσα δὲ ὄνομα ὀρνέου. Ἀλέξανδρος δέ φησιν ὁ Μύνδιος, ὅτι ἡ μὲν φάσσα,

ὑπο-

© Centre d'Études Supérieures de la Renaissance - Tours

ὑποκυανέον ἔχει τὴν κεφαλὴν, καὶ μᾶλλόν γε ἐμπόρφυρον, τῶν τε ὀφθαλμῶν λευκῶν ὄντων, τὸ ἐν αὐτοῖς μέλαν στρογγύλον ἔχει.

97 Ἐκ τᾶς ἀρκεύθω] ἄρκευθος ὄνομα δένδρου ἀκάρπου· φησὶ γὰρ ὁ Θεόφραστος, ὅτι τῶν ἀγρίων ἐστὶν, ἐλάτη, πεύκη, ἄρκευθος, μελία, οἴα, καὶ ἀχαρύκη, ἣν καλοῦσι φέλλοδρυν.

98 ὁππόκα πέξω] πέκειν κυρίως τὸ ξαίνειν. ἐνταῦθα δὲ τὸ κείρειν. ὡς καὶ παρ' Ἡσιόδῳ· Ἡ μὲν ὄϊς πέκειν, ἠδ' εὔφρονα καρπὸν ἀμᾶσθαι. τὸ δὲ ἐς χλαῖναν, ἀντὶ τοῦ εἰς τὸ ἐργάζεσθαι χλαῖναν.

99 Ταν ὄϊν τὰν πέλλαν] τὴν μέλαιναν. τὴν γὰρ τοῦ σώματος ἐπιφάνειαν ὅτε ὑφ' αἵματος μελανθῇ, πελίδνωμα καλοῦμεν. ἢ τὰν πέλλαν σκοτεινὴν, μέλαιναν, πορφυρᾶν. τὴν γοῦν τοῦ σώματος ἐπιφάνειαν ἣν (καὶ διὰ ὑποδρομὴν αἵματος μελαίνηται), πέλλωμα, ἢ πελίδνωμα καλοῦσιν, ὃ τῇ Ἀφροδίτῃ συμβεβηκέναι φησὶν Ὅμηρος· Μελαίνετο δὲ χρόα καλόν.

100 Σίττ' ἀπὸ τᾶς κοτίνω] τοῦτο μεταξὺ τῆς ᾠδῆς ἐπεφώνησε πρὸς τὰς αἶγας· ἀναχωρεῖτε τῆς ἀγριελαίας. ¶ ὧδε νέμεσθε] ἐνταῦθα ἐλθοῦσαι, βόσκεσθε, εἰς τὸν ἀνεστηκότα τοῦτον λόφον καὶ καταντη ἤγουν ὀξὺν, ἅτε καὶ ὅπου αἱ μυρσίναι.

102 Οὐκ ἀπὸ τᾶς δρυὸς] Ἀπόστητε, φησὶν, ἀπὸ τῆς δρυὸς, καὶ κατὰ τοῦτο τὸ μέρος βόσκεσθε τῆς Ἰταλίας, ἔνθα τὸ ὄρος ὁ Φάλαρος, πρὸς ἀνατολὰς κείμενον. καὶ Ἀσκληπιάδης χωρίον τοῦτό φησι, τὸ νῦν καλούμενον Φάλαρον. ἔστι δὲ ὄνομα ὄρους, εἰς ἀνατολὰς κείμενον. ἄλλοι δὲ Φάλαρον λέγουσι, τὸ λευκὸν κερίον· φαλὸν γὰρ τὸ λευκόν, καὶ Ὅμηρος κύματα φαληριόωντα λέγει τὰ λευκαινόμενα: τὸ δὲ τουτεὶ, ἐπιρρηματικῶς, ἀντὶ τοῦ ἐνταῦθα. ὁ κώναρος] κώναρος διὰ τὸ κέρατα περιφερῆ, καὶ τραχέα ἔχειν, ὡς κῶνος, ἤγουν στρογγύλους. ¶ Κιναίθα] ἡ πρὸς τὸ κινεῖσθαι διὰ πυρὸς, ἤγουν, ταχεῖα οἷς· παρὰ τὸ κινῶ, καὶ τὸ αἴθω, τὸ καίω. Ἄλλως. Κιναίθα] τοῦτο τῆς αἰγός ἐστιν ὄνομα. τινὲς δὲ τὴν εὐκίνητον ἀκούουσιν. αἴθον γὰρ τὸ πυρῶδες. δοκεῖ γὰρ ἐν κινήσει τὸ πῦρ· ὅθεν Ὅμηρος τοὺς λέοντας, αἴθωνας φησίν.

105 Ἔργον Πραξιτέλευς] ἀντὶ τοῦ εἰπεῖν θαυμάσιον, λέγει τὸ ὄνομα τοῦ τεχνίτου, ὡς ἐξάκουστον. δύο δέ φασι Πραξιτέλεις· τὸν μὲν ἀρχαιότερον ἀνδριαντοποιόν· τὸν δὲ νεώτερον, ἀγαλματοποιόν. οὗτος δὲ ἦν ἐπὶ Δημητρίου τοῦ βασιλέως, περὶ οὗ φησὶν ὁ Θεόκριτος.

106 κύων φιλοποίμνιος] ἐν τῇ ποίμνῃ φιλῶν ἀναστρέφεσθαι, ὃς λύκον πνίγει, ὃν δίδωμι τῷ παιδὶ, ὥστε ἐλαύνειν πάντα τὰ θηρία. λέγεται τὸ διώκειν, ἐπὶ τοῦ ἀγρεύειν καὶ αἱρεῖν.

109 ἀντὶ γὰρ ἄβαι] τετραχῶς καὶ τοῦτο γράφεται ἐν τοῖς παρ' ἡμῖν ἀντιγράφοις. οἷον ἄβαι ἀντὶ τοῦ ἡβῶσαι καὶ ἀκμάζουσαι καὶ αὖαι, ἤγουν, ξηραὶ καὶ ἄζαι ἐν



© Centre d'Études Supérieures de la Renaissance - Tours

τοῖς ἀγγείοις γὰρ ἐπειδάν τι καταλειφθῇ, ξηρανθὲν ἐξάλλεται. ἢ τὸ καταλειφθὲν ἐν τοῖς ἀγγείοις, ἅζα λέγεται. γράφεται καὶ, ἐν τι γὰρ αὕται καὶ λέγει ἀντὶ τοῦ, μόναι.

110 Τοὶ τέττιγες ὁρῆτε τὸν αἰπόλον] οὕτω φησὶν, ὡς ὁρᾶτε τὸν αἰπόλον παρεθίζοντά με εἰς ἅμιλλαν, οὕτω καὶ ὑμεῖς ἐρεθίζετε, ἤγουν διεγείρετε τοὺς καλαμευτὰς ἀντὶ τοῦ τοὺς θεριστὰς εἰς ἐργασίαν, ᾄδοντες δηλονότι. τὸ δὲ θὴν, ἀντὶ τοῦ ἐπιπολὺ, ἢ ἀντὶ τοῦ δή.

112 Μισέω τὰς δασυκέρκος ἀλώπεκας] τὰς ἐχούσας δασείας τὰς οὐράς. τὰς ἐχούσας οὐρὰς πολυτρίχους, πλήρεις τριχῶν. κέρκος γὰρ ἡ οὐρά. αἵ τινες παραγινόμεναι κατὰ τὰ πρὸς ἑσπέραν ῥαγίζοντι· ἀντὶ τοῦ, τὰς ῥάγας ἀναλέγουσι. ῥαγολογοῦσιν αὐτάς. δι' ἀλληγορίας ὁ Κομάτας φησὶν, ὅτι ὁ Λάκων ἐν ταῖς Μίκωνος, ἀμπέλοις δηλονότι, ἀεὶ παραγινόμενος κατὰ τὰ πρὸς ἑσπέραν, ἢ καὶ κατὰ πᾶσαν ἑσπέραν, ῥαγολογεῖ αὐτάς. ἀντὶ τοῦ πορνεύει, ἢ πορνεύεται. Ἄλλως. Τινὲς οὕτω κατὰ τὸ ἔσω νοούμενον λέγουσι. μισῶ τοὺς ἄνδρας τοὺς ἐνήλικας, καὶ δασυπύγους, οἱ φοιτῶντες διὰ τῆς νυκτὸς. τὰ τοῦ Μίκωνος ῥαγίζοντι· ἤγουν ῥαγολογοῦσιν, ἐσθίουσι δηλονότι, ὑπ' αὐτοῦ βινούμενοι. ἀλώπηξι δὲ εἴκασε τούτους, ὡς πανούργους καὶ δολερούς.

114 Καὶ γὰρ ἐγὼ μισῶ τοὺς κανθάρους] καὶ ὁ ἕτερος ἐπὶ τῆς αὐτῆς ἐννοίας ἀλληγορεῖ, ἐμφαίνων τοὺς περαίνοντας, καὶ πορνεύοντας τὸν Κομάταν αὐτὸν κατὰ τὴν συνήθη φύσιν.

116 Οὐ μέμνασ' ὅτ' ἐγώ κατήλασα] οὐ μέμνησαι ὅτε ἐγώ σε ἐπέραινον, καὶ σὺ γελῶν ἐκινοῦ προσερχόμενος καὶ σὲ ἀποφεύγων (τοῦτο γὰρ δύναται ἡ πρὸς) σὺ δὲ ἐλάμβανες, καὶ ἥπτου ἐκείνης τῆς δρυός. Ἄλλως. τὰς προειρημένας ἐμφάσεις διὰ τούτου βεβαιοῖ, λέγων· οὐ μέμνησαι ὅτε σε ἐπέραινον κατ' ἐκείνην τὴν δρῦν, σὺ δὲ σεσαρὼς καὶ γελῶν κατέκλινες καὶ ἐσαλεύου; γράφεται τὸ σεσαρὼς ἔκλασε, ἢ σιγηρῶς.

117 Εὖ ποτε κιγκλίζευ] κιγκλίζειν λέγεται τὸ σαλεύεσθαι, καὶ κινεῖσθαι. εἴρηται δὲ μεταφορικῶς, ἀπὸ τῆς ἐν τῇ θύρᾳ κιγκλίδος· ἔστι δὲ κόραξ σιδηροῦς, ἐμπίπτων εἰς τὸ μέσον καὶ ὑποκρατῶν τὴν θύραν. Ἄλλως. Εὖ ποτε κιγκλίζευ· προσεδινοῦ. ἀπὸ μεταφορᾶς τοῦ κίγκλου οὕτω καλουμένου. ἔνιοι σεισοπυγίδα καλοῦσιν, ἀφ' οὗ ἡ λέξις μετείληπται. κιγκλίζειν δὲ, τὸ τὴν ὀσφῦν κινεῖν φασιν. ὥσπερ δὲ παρὰ τὸ γνῶ γίγνω, οὕτω καὶ παρὰ τὸ κλῶ, κίκλω, καὶ κίγκλος.

118 Τοῦτο μὲν οὐ μέμναμ', ὅκκα μάν τῇ δέ τυ] γράφεται καὶ τεῖν δέ τυ. Τοῦτο μὲν, οὐ μέμνημαι· ὅτι δὲ ὁ Εὐμάρας, ὁ σὸς δεσπότης δεσμεύσας ἐμαστίγωσεν, ἀκριβῶς ἐπίσταμαι. ἢ περὶ οὗ μοι εἶπας, οὐ μέμνημαι· τοῦτο δὲ γινώσκω, ὅτι ὁ δεσπότης σου δήσας σε ἐπύγιζεν, ἐμάλασσεν· ὅπερ δηλοῖ τὸ ἐκάθηρεν,

θηρεν, ἀντὶ τοῦ ἔτυπτε καὶ ἐξέδαιρε. καὶ Ἀριστοφάνης· πέδει τοὺς πλούσιας, καὶ ἐκάθηρεν.

120 Ἤδη τις Μόρσων πικραίνεται] ὦ Μόρσων, ἀπὸ τοῦ νῦν τις δάκνεται· λυπεῖται, πικρίαν ἔχει, νικώμενος ὑφ' ἡμῶν. οὐχὶ παρήσθου] οὐκ ἐνόησας. οὐ κατά τι ᾔσθου αὐτῆς.

121 Σκίλλας ἰὼν γραίας] σκίλλα εἶδος βοτάνης πάντη ἀχρήστου. γραίας δὲ, τὰς γεγηρακυίας, καὶ ξηράς. ὁ λόγος πάλιν πρὸς τὸν Λάκωνα. ἄξιος εἶ φησὶ μᾶλλον ἀπελθεῖν εἰς τὰ μνημεῖα, καὶ τὰς γεγηρασμένας καὶ παλαιὰς καὶ ξηρὰς Σκίλλας τίλλειν, ἤπερ ἐμοὶ ἐρίζειν. αὗται γὰρ παντελῶς ἄχρηστοί εἰσι. καλοῦνται δὲ σκιλλοκρόμμυα. ἢ τοῦτό φησι κατὰ τὸ ἔσω νοούμενον. ἀπελθὼν, τίλλε φησὶ τὰς παλαιὰς τρίχας τοῦ τάφου σοῦ, ἤγουν τῆς πυγῆς σοῦ. τὸ τίλλοις, γράφεται καὶ τίλλειν, ἀντὶ τοῦ τίλλε, καὶ κόπτε.

123 Ἐλθὼν τὰν κυκλάμινον] ἡ κυκλάμινος, βοτάνη ἐστὶ ποιώδης, λεπτόρριζον, ὅπερ χλιανθὲν, ποιεῖ πρὸς χίμετλα. ¶ εἰς τὸν Ἀλέντα] ποταμὸς οὗτος ἐν Ἰταλίᾳ· ἐλέγετο οὕτω καὶ τόπος τις ἐν Κῷ.

124 Ἱμέρα αὖθ' ὕδατος] Ἱμέρα, πόλις ἐν Σικελίᾳ, καὶ πηγὴ ἀφ' ἧς ῥεῖ ποταμὸς, ὁμωνύμως τῇ πηγῇ καλούμενος. ἐνταῦθα δὲ, τὸν ποταμὸν λέγει. ¶ ὁ Κρᾶθι] ποταμὸς καὶ οὗτος περὶ Σύβαριν.

125 Οἴνῳ πορφύροις] βλύζοις, ἀπὸ οἴνου εἴθε πορφυροῦς εἴης τουτέστιν εἰς οἶνον μεταβληθείης. ¶ τὰ δέ τοι σία] βοτάνη τίς ἐστιν, ἢ αὐθύλλια ὅμοια σελίνῳ, ἐν τοῖς ποταμοῖς τρεφόμενα. κατὰ δέ τινας τὰ πρὸς τοῖς ποταμοῖς φυόμενα βρύδλα.

126 Χ' ἁ Συβαρῖτις ἐμὶν] πηγὴ ἐν Σικελίᾳ· τὸ δὲ ἐμὶν, ἀντὶ τοῦ χάριν ἐμοῦ. ¶ καὶ τὸ ποτ' ὄρθρον] καὶ κατὰ τὸ πρὸς ὄρθρον. μετὰ τῆς πρὸς προθέσεως λέγεται, διὰ τὴν τοῦ χρόνου κίνησιν.

127 Ταὶ κάλπιδα κηρία βάψαι] γράφεται καὶ, τᾷ κάλπιδι, ἤγουν, τὴν ὑδρίαν εἰς κηρόμελι καταδύσαι ἢ ἀντὶ τοῦ τὴν ξύλινον ὑδρίαν ἐν τοῖς κηρίοις βάψαι. ἢ ἡ ἐμή φησιν ἐρωμένη τῇ ὑδρίᾳ τὸ ῥέον ἀπὸ τῆς κρήνης μέλι, ἀντλήσοι.

128 Κύτισόν τε] κύτισος, αἴγιλος, καὶ σχῖνος, θάμνοι εἰσὶν, οὓς ἐπινέμονται αἱ αἶγες.

129 ἐν κομάροισι κέονται] Κόμαρος, εἶδος δένδρου. κέονται δὲ, ἀντὶ τοῦ κεῖνται, καθέζονται.

130 μελίτεια] εἶδος βοτάνης γλυκιζούσης.

131 καὶ ὡς ῥοδακιόεις ἐπανθεῖ] κιοσός ἐστιν εἶδος βοτάνης ἀκανθώδους ἐοικυίας ῥόδοις. ἐν ἑτέροις δὲ ῥοδάκιοσος γράφεται ἐν μέρος λόγου. ἔστι δὲ καὶ αὕτη τῶν θάμνων, γλυκῶδες ἄνθος προσέρμενη· περὶ τὰ γόνατα δὲ τῶν τράγων καὶ τὸν πώγωνα, πήσσεται.

134 Ἀλλ' ἐγὼ Εὐμήδευς] ἀντὶ

τοῦ Εὐμήδους· ἕτερος οὗτος ὡς ἔοικεν ἐρώμενος αὐτοῦ.

135 ὤρεξα] ὀρέγω τὸ ἐκτείνω· ἐπειδὴ γὰρ ὁ διδούς τις ὀρέγων τὴν χεῖρα δίδωσιν, ὤρεξα λέγει, ἀντὶ τοῦ ἔδωκα.

136 κίσσας ἐρίζειν] Κίσσα, εἶδος ὀρνέου ἀμούσου, ἐπιθυμητικοῦ, μιμηλοῦ. ὅθεν ἐπὶ γυναικῶν τὸ κισσᾶν παραλαμβάνει, παρ᾽ ὅσον μὴ δύνασθαι, ἀνήδιζον γὰρ πρὸς τὸ ποιεῖν. ὁ νοῦς, ὥσπερ ἀπρεπές ἐστι κίσσαν ἀηδόνος φιλονεικεῖν, οὐδ᾽ ἔποπας πρὸς κύκνους, οὕτω δὲ σὲ πρὸς ἐμέ. σὺ γὰρ ταλαίπωρε ἔοικας φιλόνεικός τις, καὶ δύσερις εἶναι.

137 ἐστὶ φιλεχθής] εἰς ἔχθος καὶ μῖσος τοὺς φίλους ἄγων, ἢ φιλόνεικος.

138 τὴν δὲ Κομάτᾳ Δωρεῖται Μόρσων] σοὶ δὲ Κομάτᾳ τῷ νικήσαντι δίδωμι τὸ ἔπαθλον, καὶ σὺ δὲ θύσας αὐτὴν, δηλονότι τὴν ἀμνίδα, ταῖς νύμφαις, καλὸν κρέας ἐμοὶ τῷ Μόρσωνι εὐθὺς πέμψον.

141 φριμάσσεο] τουτέστι μεθ᾽ ἡδονῆς σκίρτα, φυσῶντα τοῖς μυκτῆρσι, καὶ ἐπαίρου πᾶσα ἀγέλη τῶν τράγων. τὸ γὰρ φριμάσσεο, ἀπὸ τοῦ ἤχου τῶν αἰγῶν ὀνοματοπεποίηται· λέγεται δὲ τοῦτο καὶ ἐπὶ τῶν ἵππων. καλεῖται γὰρ ὁ τρόπος ὀνοματοποιία. ἢ φριμάσσεο, φριμαγμὸν ἀποδίδου μετὰ ἡδονῆς· τουτέστι, βρενθύου καὶ ἐναβρύνου ὦ πᾶσα ἀγέλη· πεποιημένη γὰρ ἡ λέξις· τοιοῦτος γὰρ δοκεῖ εἶναι ὁ ἦχος τοῦ φριμαγμοῦ τῶν αἰγῶν.

142 κἠγὼ μὲν ἴδ᾽ ὡς μέγα τοῦτο καχαξῶ] ἀντὶ τοῦ, καὶ ἐγὼ σὺν ὑμῖν καταγελάσω τοῦ Λάκωνος. τὸ δὲ καχαξῶ, ἐκβολὴ τοῦ γ εἴρηται, διὰ τὸ μέτρον. οὐ κυρίως δὲ τῇ λέξει κέχρηνται. φριμαγμὸς μὲν γάρ ἐστι κυρίως ἡ τῶν ἵππων· βληχὴ δὲ, ἡ τῶν αἰγῶν καὶ προβάτων.

144 Ἀνυσάμαν] τὴν νίκην ἔλαβον. ¶ ἐς ὠρανὸν ὔμμιν ἁλεῦμαι] ἐκ περιχαρείας φησίν· ὦ αἶγες κεραυχίδες, ἤγουν κερασφόροι, εἰς τὸν οὐρανὸν ἀναβήσομαι.

145 κεραυχίδες, αἱ κέρατα ἔχουσαι· ἢ κεκερατημέναι τοῖς κέρασιν. ἢ κεραυχίδες, αἱ ὅλα κέρατα ἔχουσαι. κερουλκίδες δὲ, αἱ ἀπὸ τῶν κεράτων ἑλκόμεναι.

147 ὁ Λευκίτας] ὁ λευκός. πεποίηται τὸ ὄνομα ἀπὸ τῆς λευκότητος τοῦ τράγου· ὡς γὰρ ἀπὸ τοῦ μέσος μεσίτης, καὶ ὁδὸς ὁδίτης· οὕτω καὶ ἀπὸ τοῦ λευκὸς λευκίτης.

¶ ὁ κορυπτίλος] ὁ τοῖς κέρασι πλήττων, ἀπὸ τοῦ κορύπτω τὸ κερατίζω. πρὸς τὸν τράγον γὰρ τοῦτο φησὶν, ἐπιτρέχοντα ταῖς αἰξὶ καὶ τοῖς κέρασι τύπτοντα. φησὶν οὖν, εἴ τινα ἀπὸ τῶν αἰγῶν ὀχεύσῃς πρὶν ἢ ἐμὲ καλλιερῆσαι ταῖς νύμφαις τὸν ἀμνὸν, ὃν ἐνίκησα τῷ Λάκωνι, θλάσω σε, ἀντὶ τοῦ θλάσω σου τὰ αἰδοῖα.

149 ὁ δ᾽ αὖ πάλιν] ἐπιχειρεῖ ὀχεύειν δηλονότι. ¶ ἀλλὰ γενοίμαν] ἀλλ᾽ ἐὰν μή σε θλάσω, γενοίμην ἀντὶ Κομάτα Μελάνθιος, καὶ κολασθείην ὥσπερ ἐκεῖνος ὑπὸ Εὐμαίου, καὶ φιλοίτιος ἐγὼ, ἐν τοῖς Ὀδυσσέως οἴκοις.



© Centre d'Études Supérieures de la Renaissance - Tours

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ϛʹ.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον, βουκολιασταὶ, Δάφνις καὶ Δαμοίτας.

1 Δαμοίτας καὶ Δάφνις ὁ βουκόλος εἰς ἕνα χῶρον Τὰν ἀγέλαν ποκ' Ἄρατε] πρὸς τὸν Ἄρατον τὸν ποιητὴν τῶν τὰ φαινόμενα γράψαντα φίλον ὄντα διαλέγεται ὁ Θεόκριτος. ἰσόχρονος γὰρ ἦν αὐτῷ, οὗ καὶ ἀλλαχόθεν μνημονεύει, ἔνθα πρὸς Αγεάνακτα τὸν Μιτυληναῖον ὁμιλεῖ. Ἄλλως εἰκὸς τὸν ἀστρονόμον Ἄρατον εἶναι, ὃ συγχρονικὸς ὁ Θεόκριτος, οὗ μέμνηται καὶ ἐν τοῖς Θαλυσίοις· Ἄρατος δ' ὁ τὰ πάντα φιλαίτατος ἀνέρι τήνῳ. κεῖνται δὲ δύο ἀνέρες ᾄδοντες ἐν Σικελίᾳ, Δαμοίτας καὶ Δάφνις. ᾄδουσι δ' ἀμφότεροι τοῦ Πολυφήμου κύκλωπος τὸν ἔρωτα τὸν ἐπὶ Γαλατείᾳ. ὁ δὲ Δαμοίτας, οἵους ἂν Πολύφημος ἀποκρινόμενος λόγους ἔφη, πρὸς τοῖς ὑπ' ἐκείνου εἰρημένοις.

2 Ἧς δ' ὁ μὲν αὐτῶν Πυῤῥός] ἦν δὲ τῶν ᾀδόντων ὁ μὲν, ἄρτι χνοάζων τὸ γένειον· ὁ δὲ, πληρώσας αὐτὸ ταῖς θριξίν. ἢ πυῤῥὸς ὁ ἀρτίχνους, ὁ ἤδη πωγωνίτης. ὡς Εὐριπίδης· Πυῤῥὸς γένεσιν. ἡμιγένειος δὲ, ὁ οὔπω πᾶσαν γένυν πεπληρωμένην ἔχων γενείων.

4 Ἐσδόμενοι θέρεος μέσῳ ἤματι] μεσούσης ἡμέρας, ἢ ἐν μεσαιτάτῳ τοῦ θέρους, ἢ ἐν μέσῳ ἡμέρας τοῦ θέρους.

6 Βάλλει τοι Πολύφαμε] ὡς πρὸς παρόντα τὸν κύκλωπα διαλέγεται. μήλοισι μηλοβολεῖ, εἰς ἔρωτα ὑπάγεσθαι βουλομένη.

7 Δυσέρωτα] δὲ εἶπεν αὐτὸν, ἤγουν μὴ εἰδότα ἐρᾶν, παρόσον οὐκ ἐπέτυχεν αὐτῆς. Θοῦρις φησὶ, διὰ τὴν εὐβοσίαν τῶν θρεμμάτων καὶ τοῦ γάλακτος πολυπλήθειαν, τὸν Πολύφημον ἱδρύσασθαι ἱερὸν παρὰ τῇ Αἴτνῃ Γαλατείας. Φιλόξενον δὲ τὸν Κυθήριον ἐπιδημήσαντα, καὶ μὴ δυνάμενον νοῆσαι τὴν αἰτίαν, ἀναπλάσαι ὅτι Πολύφημος ἤρα τῆς Γαλατείας. ¶ τὸν αἰπόλον ἄνδρα καλεῦσα] τὸν ἄνδρα τὸν ποιμένα. ἀντὶ γὰρ τοῦ εἰπεῖν ποιμένα, καταχρηστικῶς εἶπεν αἰπόλον· ἐπεὶ καὶ ὁ κύκλωψ ποιμὴν ἦν, ἢ ἐπεὶ καὶ αἶγας ἔνεμεν ὁ κύκλωψ. καὶ Ὅμηρος· Μῆλ' ὄϊές τε καὶ αἶγες. τέως γοῦν τὸ, αἰπόλον ἀντὶ τοῦ ποιμένα εἴρηται.

8 Καί τύ νιν οὐ ποθόρησθα] καὶ σὺ αὐτὴν οὐ προσβλέπεις.

9 πάλιν ἅδ' ἴδε, τὰν κύνα βάλλει] καὶ πάλιν αὕτη τὴν κύνα βάλλει τοῖς μήλοις. τὸ γὰρ ἴδε, ἀντὶ τοῦ καὶ γράφεται· καὶ ἀδὶ δέ. καὶ λέγει τὸ σχόλιον οὕτω· τινὲς χωρὶς τοῦ δὲ γράφουσιν. ἐκτείνουσι δὲ τὸ ι, ἵνα ἀντωνυμία τυγχάνῃ δεικτική. τὸ δὲ ἑξῆς, τὴν κύνα βάλλει, ἥ σοι τῶν οἴων ἕπεται σκοπὸς, ἤγουν φύλαξ.

10 ἃ δὲ βαΰσδει] αὕτη δὲ ἡ κύων, ὑλακτεῖ εἰς τὴν θάλασσαν βλέπουσα. τὸ βαΰζειν, ἐπὶ τῶν σκυλακίων λέγεται κυρίως, ἐπὶ δὲ τῶν τελείων κυνῶν, τὸ ὑλακτεῖν λέγουσιν· ὥστε τὸ βαΰσδει ἐνδοῦ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

θαι, ἀντὶ τοῦ ὑλακτεῖ λέγεται.

11 τὰ δέ νιν καλὰ κύματα φαίνοισι ἄσυχα καχλάζοντα] τὰ δὲ καλὰ κύματα ἡσύχως ἀναβραττόμενα, δεικνύει αὐτὴν τὴν Γαλάτειαν ἐπὶ τοῦ αἰγιαλοῦ τρέχουσαν· ἢ αὐτὴν τὴν Γαλάτειαν φησὶν ἐπιτρέχουσαν ἡσύχως κινουμένη τοῦ αἰγιαλοῦ εἰς τὴν θάλασσαν ἐμφανίζειν, καὶ ὥσπερ ἐν κατόπτρῳ δεικνύειν αὐτῆς τὴν μορφὴν ἡ θάλασσα τὰ καχλάζοντα, ἀντὶ τοῦ ἠχοῦντα· ὁ τρόπος ὀνοματοποιΐα· ἢ καχλάζειν, τὸ ψοφεῖν τὸ κῦμα φερόμενον ἐπὶ τοὺς κάχληκας. τὸ δὲ, ἐπ' αἰγιαλοῖο θέοισαν] μετωνυμικῶς ἀπὸ τῆς γαλήνης τῆς θαλάσσης, πρὸς Γαλάτειαν τρέπεται, καὶ λέγει ἐπάνω αὐτὴν τῶν κυμάτων βαίνειν.

13 Φράζεο μὴ τᾶς παιδὸς] σκόπει ἵνα μὴ ἐπὶ ταῖς κνήμαις τῆς παιδὸς ἤγουν τῆς Γαλατείας ὁρμήσῃ, ἐπιπηδήσῃ ἐκ τῆς θαλάσσης ἐρχομένης, καὶ καταμύξῃ τὸ ῥοδοειδὲς αὐτῆς σῶμα· ἤγουν, καταξαίνῃ καὶ καταταράξῃ.

15 Ἁ δὲ καὶ αὐτόθι τοι] οἴκοθεν, ἀπὸ τῆς οἰκείας φύσεως, διαρρέεται ὑπὸ τρυφερότητος.

¶ ὡς ἀπ' ἀκάνθας ταὶ καπυραὶ χαῖται] ὡς ἀπὸ τῆς κινάρας οἱ πάπποι χέονται· οἱ γὰρ πάπποι τῆς κινάρας λέγονται ἢ οὕτω χαῖται, [illegible] τὸ κεχυμένας ἐοικέναι· καπυραὶ [illegible], αἱ κεκαυμέναι ὑπὸ τοῦ [illegible] θερμότητος, ἢ λόγον [illegible] ἄλλο.

17 Καὶ φεύγει φιλέοντα] καὶ [illegible] τοὺς φιλέοντας, καὶ τοὺς μὴ φιλέοντας διώκει, ἤγουν ζητεῖ. ἐνταῦθα τὸ ἐρεθιστικὸν αὐτῆς, καὶ πανοῦργον σημαίνει. τὸ γὰρ φιλοῦντα φεύγειν, οὐ φιλοῦντα δὲ διώκειν, κακοήθους. ὁ νοῦς· καὶ ἐπειδὰν αἰσθηταί σε, ὦ Πολύφημε φιλοῦντα, φεύγει καὶ οὐ προσδέχεται, μισοῦντα δὲ διώκει, ἤγουν εἰς πόθον ἄγειν πειρᾶται.

18 Καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον] παροιμία· καὶ πάντα τρόπον ποιεῖ, ἢ κινεῖ τυχεῖν σου. Ἄλλως. καὶ ὅταν προσποιῇ σὺ μὴ φιλεῖν αὐτὴν, πάντα κάλων κινεῖ καθελκύσαι σε πρὸς τὸν ἑαυτῆς ἔρωτα· ἡ δὲ λέξις μεταφορικῶς ἀπὸ τῶν παιζόντων τὸ κοινολέκτως λεγόμενον ζατρίκιον· ἐκεῖνοι γὰρ ὅταν πολλὰ ποιήσαντες οὐ δύνανται ἑτέρως νικῆσαι τὸν ὅμοιον παίκτορα, κινοῦσι καὶ τὸν ἀπὸ γραμμῆς λίθον, τὸν οὕτω βασιλέα καλούμενον. Ἄλλως. Γράψαι τὸ ξέσαι, οἱ παλαιοὶ ἔλεγον. ἀπὸ γοῦν τοῦ γράφειν τοῦ δηλοῦντος τὸ ξέειν, γίνεται γραμμὴ ἡ λάξευσις. λίθον οὖν ἀπὸ γραμμῆς ἐνταῦθα λέγει, τὸ λίθινον ἄγαλμα. ὁ δὲ νοῦς· δύναται ἡ Γαλάτεια καὶ τὸ λίθινον ἄγαλμα, εἰς τὸν αὐτῆς ἔρωτα ἐπισπάσασθαι δι' ὑπερβολὴν κάλλους.

¶ ἦ γὰρ ἔρωτι πολλάκις ὦ Πολύφαμε] ὄντως πολλάκις ὦ Πολύφημε ὑπ' ἔρωτος, τὰ μὴ εὔμορφα, εὔμορφα φαίνονται. διὸ μὴ θαύμαζε εἰ ἐρᾷ σου ἡ Γαλάτεια ἀμόρφου ὄντος· τοιοῦτος γὰρ

ὁ ἔρως

© Centre d'Études Supérieures de la Renaissance - Tours

ὁ ἔρως, ἀποβιάζει τὴν διάνοιαν τῶν ἐρώντων.

20 Τῷ δ' ἐπὶ Δαμοίτας] ἐπὶ τῷ Δάφνιδι δὲ, ἤγουν μετὰ τὸν Δάφνιν ὁ Δαμοίτας ἀνεβάλλετο, αὐτὶ τοῦ ἤρξατο, ἐπροοιμιάζετο. ὁ γὰρ Δαμοίτας ᾄδει, ὡς ἐκ προσώπου τοῦ Πολυφήμου τὴν ἀπόκρισιν τοῦ λόγου ποιούμενος.

21 Εἶδον καὶ τὸν Πᾶνα] καὶ γὰρ εἶδον ὡς λέγεις τὴν Γαλάτειαν νὴ τὸν Πᾶνα, ἡνίκα τὸ ποίμνιον ἐμηλοβόλει, καὶ οὐκ ἔλαθε μὰ τὸν ἐμὸν ἕνα καὶ γλυκὺν ὀφθαλμὸν, δι' οὗ νῦν βλέπω καὶ βλέψω δι' ὅλης μου τῆς ζωῆς· τοῦτο γὰρ τὸ ἐς τέλος. τὸ δὲ ἀναβάλλω, σημαίνει τέσσαρα. τὸ προοιμιάζω· ὡς τὸ, ἀνεβάλλετο καλὸν ἀείδειν· τὸ ἀνακρούω καὶ ἀναπέμπω, ὡς τὸ, καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον· τὸ ἐνδύομαι, ὡς τὸ, ἀναβαλλόμενος φᾶρος ὡς ἱμάτιον· καὶ τὸ ἀπαρνοῦμαι, ὡς τὸ, ἀναβάλλομαι τουδὶ τοῦ πράγματος.

23 Αὖτις ὁ μάντις ὁ Τήλεμος] οὗτός ἐστιν ὁ Τήλεμος, ὁ παρ' Ὁμήρῳ Εὐρυμίδης, ἢ Εὐρύμαχος καλούμενος, ὃς μαντοσύνῃ ἐκέκαστο ὃς ἐμαντεύσατο αὐτῷ, ὑπὸ τῶν χειρῶν Ὀδυσσέως τυφλωθῆναι. ὁ νοῦς. ὁ δὲ μάντις ὁ Τήλεμος ὁ τὰ ἀπευκτά μοι μαντευόμενος, ἀπευκταίαν συμφορὰν αὐτ' ἄλλου κλήρου τοῖς ἑαυτοῦ παισὶ καταλείποι. Ἄλλως. ὁ μάντις δὲ ὁ Τήλεμος ἐχθρὰ ἀγορεύων, ἤγουν μαντευόμενος, ἐχθρὰ εἴθε φέροιτο αὐτὶ τοῦ, ἐνέγκαι πρὸς τὸν ἑαυτοῦ οἶκον, ὅπως τοῖς ἑαυτοῦ ἐκγόνοις φυλάξῃ αὐτά. ἐμαντεύσατο γὰρ αὐτῷ τῷ Πολυφήμῳ δηλονότι κύκλωπι, ἐκ τῶν Ὀδυσσέως χειρῶν ἁμαρτήσεσθαι ὀπωπῆς. ὥσπερ τὸ, φίλος ἐνίοτε μὲν λέγεται ἐπὶ τοῦ φιλοῦντος, ἐνίοτε δὲ ἐπὶ τοῦ φιλουμένου· οὕτω καὶ τὸ ἐχθρὸς τὸ ἐναντίον αὐτῷ· ἐνίοτε μὲν λέγεται ἐπὶ τοῦ ἐχθαίροντος, ἐνίοτε δὲ ἐπὶ τοῦ ἀπηχθημένου· καθὸ λέγεται ἐνταῦθα τὸ ἐχθρά.

25 Ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίζων] ἀλλὰ καὶ ἐγὼ εἰς ἔρωτα διεγείρων αὐτὴν οὐ προσβλέπω ἐξεπίτηδες, καὶ ἄλλην τινά φημι γυναῖκα ἔχειν· ἡ δὲ ἀκούσασα, ζηλοτυπεῖ με, ὦ Παιάν, καὶ διαρρήγνυται. ἐπὶ θαύματος καὶ χαρᾶς ἐνταῦθα ἡ ἐπίκλησις.

28 Οἰστρεῖ παπταίνοισα] τὸν οἶστρον, τοῦ μύωπος Σώστρατος διαστέλλει. οἶστρος δέ ἐστι πολέμιος τοῖς βουσίν· ὅταν γὰρ δάκνωσιν αὐτοὺς, οἰστρεῖν ποιοῦσι, καὶ τρέχειν πολλὴν ὁδὸν μετὰ βοῆς ἐν τοῖς πεδίοις καταλιπόντας τὸν νομόν. μεταφορικῶς οὖν φησιν ὁ Θεόκριτος τὴν Γαλάτειαν οἰστρεῖν, καὶ δρομαίαν ἔρχεσθαι πρὸς τὰ ἄντρα καὶ τὰς ποίμνας τοῦ κύκλωπος.

29 Σίγα δ' ὑλακτεῖν νιν καὶ τὰ κυνί] λείπει τὸ ἐπέταξα. ἤγουν ἐπέταξα τῇ κυνὶ, σιγᾶν, καὶ μὴ ὑλακτεῖν.

30 Ἐκνυζᾶτο, ποτ' ἰσχία ῥύγχος ἔχοισα] ἡ κύων δηλονότι ἐκνυζᾶτο

© Centre d'Études Supérieures de la Renaissance - Tours

ζατο, ἔσαινε, καὶ κατεθώπευε τὸ στόμα ἔχουσα ἀναμέσον τῶν ἰσχίων αὐτῆς. κνυζηθμὸς λέγεται, ἡ τῶν κυνῶν ἄσημος ὑλακή. ἰσχία δὲ, τὰ ὑπὸ τὴν ὀσφὺν ἐξ ἑκατέρων τῶν μερῶν ὀστᾶ, ἐν οἷς ἔγκειται τὸ ἱερὸν ὀστοῦν. ἔχουσι δὲ τὰ τοιαῦτα ὀστᾶ τὰ λεγόμενα ἰσχία, κοιλότητάς τινας, εἰς ἃς αἱ κεφαλαὶ τῶν μηρῶν ἁρμόζονται. αἱ δὲ κοιλότητες αὗται, καὶ γλουτὰ λέγονται, καὶ κοτύλαι, παρὰ τὴν κοιλότητα. τὸ δὲ ῥύγχος καταχρηστικῶς ἐπὶ τοῦ κυνὸς νῦν λέγεται. κυρίως γὰρ ἐπὶ ὀρνέων. Ἄλλως. ῥὶς λέγεται ἐπὶ ἀνθρώπων, ῥύγχος ἐπὶ κυνῶν, ῥάμφος ἐπὶ ὀρνέων.

31 πεμψεῖ Ἄγγελον] μηνύειν ἐστὶ, τὸ κλέπτοντά τινα δεικνύειν, ἢ φωράσαντα, ἢ τοιοῦτό τι ποιοῦντα, καὶ μηνυτὴς ἐπὶ τούτων μηνύειν καὶ τὸ σημαίνειν ἁπλῶς καὶ δηλοῦν. οἷον, ὁ τῆς κορώνης κρωγμὸς, χειμῶνα μηνύει. ἀγγέλλει δέ τις λόγους τινὸς πρός τινα, ἤγουν διακομίζει. καὶ ἀγγέλλειν, τὸ ἀφ' ἑαυτοῦ τινὰ λέγων περί τινος, καὶ ἄγγελος ἐπὶ τούτων. λέγει δὲ ἴσως δὲ αὕτη ὁρῶσά με ταῦτα ποιοῦντα, πέμψει ἄγγελον τὸν ἀπαγγελοῦντά μοι πρέπον τι περὶ αὐτοῦ.

32 αὔταρ ἐγὼ κλασῶ θύρας] κλείω, ὁ μέλλων κλείσω, παρὰ τοῖς κοινοῖς ἐν χρήσει· οἱ ποιηταὶ δὲ, κληίσω λέγουσι, διαλύσει τῆς διφθόγγου, καὶ τροπῇ τοῦ ε εἰς η· εἶτα τροπῇ τοῦ η εἰς α, καὶ προσγραφομένου τοῦ ἰῶτα, κλᾳσω, καὶ κλασῶ Δωρικῶς. δοκεῖ δὲ καὶ κληίζω εἶναι παρ' αὐτοῖς, ἐπὶ τούτου τοῦ σημαινομένου· ἀφ' οὗ μέλλων Δωρικῶς, κληίξω. καὶ τροπῇ τοῦ η εἰς α, καὶ προσγραφομένου τοῦ ἰῶτα, κλᾳξῶ ἀφ' οὗ καὶ κλαξ ἡ κλείς.

33 τᾶς δ' ἐπὶ νάσω] τῆς Σικελίας δηλονότι. καὶ γὰρ οὐκ ἔχω ὡς λέγουσιν εἶδος αἰσχρὸν, ἤγουν ἄσχημον. οὕτως γὰρ πρὸ ὀλίγου γαλήνης οὔσης, εἰς τὴν θάλασσαν ἔβλεπον, καὶ εὔμορφα μὲν ἐμοὶ τὰ γένεια, ἀπωκειοῦτο ἐμοί. εὔμορφος δὲ ὁ εἷς ὀφθαλμός.

37 Ὡς παρ' ἐμὶν κέκριται] οἱ γὰρ μονόφθαλμοι κατὰ φύσιν τοῖς οὐ μονοφθάλμοις ἄμορφοι δοκοῦσιν· οὐχ ὁμοίως γὰρ κρίνουσιν ἀμφότεροι τοὺς ἀνομοίους τὴν φύσιν. ¶ τῶν δέ τ' ὀδόντων] τῶν δὲ ὀδόντων ἡ λευκότης λευκοτέρα ἐδείκνυτο Παρίας λίθου. Παρία γάρ ἐστι λίθος λευκή.

39 Ὡς μὴ βασκανθῶ δὲ] ἵνα δὲ μὴ βασκανθῶ, τρὶς εἰς τὸν ἐμὸν ἔπτυσα κόλπον. ποιοῦσι γὰρ καὶ μέχρι τοῦ νῦν μάλιστα τοῦτο αἱ γυναῖκες, τὸ νεμεσητὸν ἐκτρεπόμεναι. Καλλίμαχος· δαίμων, τῇ κόλποισιν ἐπιπτύουσι γυναῖκες.

40 Ταῦτα γὰρ ἁ γραία με Κοτυταρὶς ἐξεδίδαξεν] ἤγουν, τὸ πτύειν ἐπὶ κόλπον ἐδίδαξε ποιεῖν με ἐπὶ τῷ μὴ βασκαίνεσθαι. Κοτυταρὶς δὲ, ὄνομα κύριον· ἢ παρὰ τὸν κότον ἴσως πεποίηται. καὶ γὰρ οἱ γέροντες ὀξύθυμοί εἰσιν· ἢ ἀπὸ τῆς παρὰ Δωριεῦσι τιμωμένης Κοτυτοῦς. ἦσαν δὲ Τιμάνδρεως θυγατέρες Κοτυτὼ, καὶ Εὐρύθεμις, ἃς ἐτίμησαν Ἡρακλεῖδαι, διὰ τὸ συναγωνίσασθαι αὐτοῖς, κατὰ τὴν εἰς Πελο-

Πελο-

© Centre d'Études Supérieures de la Renaissance - Tours

Πελοπόννησον ἄφιξιν, ὡς οἱ περὶ Ἱππόστρατον ἀποφαίνουσι.

41 παρ' Ἱπποκόωντι] ὄνομα κύριον, ἢ ὄνομα τόπου. Νίκημι ἂν οὐδ' ἄλλος. ἐνίκα μὲν οὐδ' ἑτέρους· ἔξω δὲ ἦπης ἀμφότεροι ἠγλύοντο.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ζ'.

Επιγράφεται τὸ παρὸν εἰδύλλιον Θαλύσια, ἢ ἐαρινὴ ὁδοιπορία.

1 Ης χρόνος ἁνίκ' ἐγὼ καὶ Εὔκριτος ἐς τὸν Ἄλεντα εἵρπομες ἐκ πόλιος, σὺν καὶ τρίτος ἄμμιν Ἀμύντας] χρόνος τὸ συμπαρεκτεινόμενον τῇ συστάσει τοῦ κόσμου διάστημα. λέγεται δὲ ἐνίοτε μὲν καθόλου, ἐνίοτε δὲ ἐπὶ μέρους, ὡς ἐνταῦθα. καιρὸς δέ ἐστι χρόνος δέων. λέγονται καιροὶ καὶ αἱ τοῦ ἐνιαυτοῦ ὧραι. ἦν χρόνος, ὁπότε ἐγὼ καὶ Εὔκριτος, καὶ τρίτος σὺν ἡμῖν Ἀμύντας εἵρπομες, ἀντὶ τοῦ ἀπερχόμεθα· τὸ ἕρπειν κυρίως ἐπὶ ὄφεως, καὶ σκωλήκων, καὶ ἑτέρων ἀπόδων ζώων λέγεται· καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν νωθεστέρων καὶ ἀσπουδεὶ πορευομένων· νῦν δὲ ἐπὶ τοῦ βαδίζειν λέγεται. ¶ ἐς τὸν Ἄλεντα] Ἀλεῦς, ἡ δῆμος τῆς Κῶ, οὕτω καλούμενος ἀπό τινος Ἄλεντος, ἢ τόπος ἐν Κῷ οὕτως ὀνομαζόμενος ἀπὸ Ἀλεντίου τινὸς βασιλέως· ἔστι δὲ Ἀλοῦς καὶ ποταμὸς Σικελίας. Θαλύσια, ἑορτὴ ἣν ἐτέλουν τῇ Δήμητρι μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν. Ὅμηρος· Θαλύσια γουνῷ ἀλωῆς.

Καὶ Φρασίδαμος, οὗτος ὁ καὶ περισσός. Τὸ δὲ ἑξῆς,

4 Τᾷ Δηοῖ γὰρ ἔτευχε θαλύσια ὁ Φρασίδαμος, Κἀντιγένης, δύο τέκνα Λυκώπεος] γράφεται καὶ Λυκώπεως, διὰ τοῦ ω μεγάλου, ὅπερ Αἰολικῶς προπαροξύνεται, ἐπειδὴ οἱ Αἰολεῖς Ἀχίλλευς, καὶ Πήλευς, καὶ βασίλευς βαρυτόνως λέγουσιν· ὁμοίως καὶ τὸ Λυκώπευς. διὰ τοῦτο ἡ τῶν εἰς ως γενικὴ παρ' αὐτοῖς προπαροξύνεται. ¶ ἐπ' ἀγαθὸν ἐσθλὸν Χαόντων ἔτ' ἄνωθεν ἀπὸ Κλυτίας τε καὶ αὐτῶ Χάλκωνος] Χαὸν λέγεται τὸ ἀγαθὸν παρὰ Λακεδαιμονίοις. χαὸν δὲ καὶ τὸ εὐγενές, ἢ τὸ ἀρχαῖον. ὁ δὲ νοῦς τοιοῦτος· εἴ τι ἐστιν ἀγαθὸν ἀπὸ τῶν ἔτι ὄντων ἀρχαίων ἀγαθῶν τῶν ἀπὸ τῆς Κλυτίας τε, καὶ αὐτοῦ τοῦ Χάλκωνος, οὗτοί εἰσι τὸ ἀγαθὸν ἐκεῖνο ἤγουν ὁ Φρασίδαμος, καὶ ὁ Ἀντιγένης. καὶ σαφέστερον ταῦτα, τοῦτο βούλεται εἰπεῖν ὁ Θεόκριτος, ὅτι ἀπὸ τοῦ ἀρχαίου ἀγαθοῦ γένους τῆς Κλυτίας τῆς βασιλίσσης τῶν Κῴων, καὶ τοῦ παιδὸς αὐτῆς τοῦ Χάλκωνος, καταγόνται ὁ Φρασίδαμος καὶ ὁ Ἀντιγένης. οὗτοι μόνοι ἀπὸ πάντων τῶν καταγομένων ἐξ αὐτῶν εἰσιν ἀγαθοί, καὶ οἱ πρόγονοι αὐτῶν. ἦν δὲ ἡ Κλυτία, θυγάτηρ Μέροπος γαμηθεῖσα δὲ Εὐρυπύλῳ τῷ βασιλεῖ τῶν Κῴων, ἐγέννησε τὸν Χάλκωνα, ὃς τὴν βασιλείαν τῶν Κῴων διεδέξατο. περὶ Εὐρυπύλου δὲ καὶ Κλυτίας ἱστορεῖται, ὅτι οὗτοι εἰσὶν οἱ ἐπὶ τῆς Ἡρακλέους πολιορκίας, τὴν Κῶ κατοικήσαντες καὶ ὑποδεξάμενοι

© Centre d'Études Supérieures de la Renaissance - Tours

τὴν Δήμητραν, καθ' ὃν καιρὸν ἠθελήσει ζητῆσαι τὴν κόρην ἢ νήσῳ ἐπιδημήσας ὁ Θιόκελλος ἐφιλιώθη Φρασιδάμῳ. Ἄλλως. Εἴτι περὶ ἐσθλὸν] εἴτι ἀγαθοὶ ὄντες ἀπὸ ἀγαθῶν· ἤτοι, εὐγενῶν τῶν ἀρχαιοτάτων (τοῦτο γὰρ δύναται τὸ, τῶν ἔτ' ἄνωθεν) καταγόμενοι· ἀπό τε τῆς Κλυτίας λέγω, καὶ αὐτοῦ τοῦ Χάλκωνος, ὃς τὴν πηγὴν τὴν βουρρίναν, ἢ βούρειαν (γράφεται γὰρ καὶ οὕτως) ἤ τις φασὶν οὕτως ὠνομάσθη, διὰ τὸ παραπλήσιον εἶναι τὸν πόρον ὅθεν ῥεῖ, μυκτῆρι βοός. ἐκ ποδὸς ἄνυεν· αὐτὶ τοῦ ἀναδίδοσθαι ἐποίει. καλῶς ἐρυσάμενος τῇ πέτρᾳ τὸ γόνυ. αὐτὸς γάρ φασιν ἐπιδημήσας τῷ τόπῳ τὴν ἔκρηξιν τῆς πηγῆς ταύτης εἰργάσατο· εἶτα χαλκοῦν ἀνδριάντα εἰς τύπον ἑαυτοῦ κατασκευάσας, ἤρεισεν αὐτὸν τῇ πέτρᾳ, ὅθεν ἡ πηγὴ ῥεῖ, καὶ ἀπὸ τοῦ ποδὸς αὐτοῦ ἐποίησεν αὐτὴν ἀναδίδοσθαι.

6 Βούρειαν ὃς ἐκ ποδὸς ἄνυε κράναν Εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ] ὅτε ὁ Χάλκων ἐβασίλευσε τῶν Κώων, εὑρέθη ἔν τινι τόπῳ τῆς Κῶ ἡ πηγὴ μὴ φανερὰ οὖσα, ἧς νῦν ὁ Θιόκελλος μέμνηται. εὑρέθη δὲ οὕτως. ἀνηγγέλθη τῷ βασιλεῖ παρά τινος τῶν περὶ ταῦτα δεινῶν, ὅτι ὕδατος ὁ τόπος ἐκεῖνος ἐνδομυχεῖ. καὶ ὁ βασιλεὺς αὐτεπιστατήσας τῷ τόπῳ, ἠνεύργησεν ὅσα συνέτεινε πρὸς τὴν τοῦ ὕδατος ἔκρηξιν. τοῦτο οὖν δηλοῖ τὸ, ὃς ἐκ ποδὸς ἄνυε κράναν. ὅτι ὁ Χάλκων, διὰ τῶν οἰκείων ποδῶν, καὶ δι' αὐτεπιστασίας ἤνυσεν, ἤγουν κατειργάσατο καὶ κατώρθωσε τὴν κρήνην. τὸ δὲ, εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ, τοῦτό ἐστιν· ὅτι αὐτὸς ὁ Χάλκων, οὐχὶ ὀρθοστάδην ἱστάμενος, ἀλλὰ οὕτω δεήσαν, κάμψας τὸ γόνυ καὶ καλῶς ἑδράσας καὶ στηρίξας τοῦτο τῇ πέτρᾳ τῇ πρὸς τῇ κρήνῃ, αὐτοχρεὶ κατεπράξατο τὴν τοῦ ὕδατος ἔκρηξιν. Βούρειαν δὲ, ὅτι ἀπὸ κεφαλῆς βοὸς ἐκ λίθου πεποιημένης ἐδόκει τὸ ὕδωρ ἐκρεῖν, οὕτω τοῦ Χάλκωνος μηχανησαμένου τε καὶ κατασκευάσαντος. ἢ βούρεια, ἡ πολύρρους ἀπὸ τοῦ βοῦ ἐπιτατικοῦ μορίου, καὶ τοῦ ῥέω· βούπαις γὰρ καὶ βουγάιος, ὁ μέγας παῖς· Ὅμηρος, δὴ νῦν βουγάιε. Νικάνωρ δὲ ὁ Κῷος ὑπομνηματίζων βούρριν τὴν κρήνην καλεῖ· συμβῆναι γάρ φησιν ἐξ αὐτομάτου καὶ αὐτοφυῶς, βοὸς ῥινὶ παραπλήσιον εἶναι τὸν τόπον, ἐξ οὗ τὴν κρήνην ἐκραγῆναι ὁ Χάλκων ἐποίησεν. ἄλλοι δέ φασιν, ὅτι ὁ Χάλκων ἀνδριάντα ἔστησεν εἰς τὸν τόπον, ἐν ᾧ τὸ ὕδωρ εὑρέθη, καὶ ἐκ τοῦ ποδὸς τοῦ ἀνδριάντος τὸ ὕδωρ ἐξήρχετο. καὶ νοοῦσι τὸ, ὃς ἐκ ποδὸς ἄνυεν, ἢ ἄνυσε κράναν, εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ, ὅτι ὁ Χάλκων ἐκ τοῦ ποδὸς τοῦ ἀνδριάντος ἤνυσε τὴν κρήνην βούρειαν, διὸ καὶ καλῶς καὶ ἐπισήμως ἐνερεισάμενος τὸ γόνυ τοῦ ἀνδριάντος ἐν τῇ πέτρᾳ τῇ πρὸς τῇ κρήνῃ. εἰ δὲ τοῦτο οὕτω νοήσεις,

νοήσεις

© Centre d'Études Supérieures de la Renaissance - Tours

νοῆσαι ὀφείλεις καὶ Βούρριναν κρήνην, τὴν πολύρροον καὶ πολυχεύμενα. εἰσὶ δὲ τινὲς οἱ τὸ ἐκ ποδὸς ἐνόησαν, τὸ ἔξω τῆς πεπατημένης ὁδοῦ· λέγοντες ὅτι ἡ πηγὴ περὶ ἧς ὁ λόγος, οὐκ ἦν κατὰ τὴν δημοσίαν ὁδὸν, ἀλλ᾽ ἐκτὸς. ¶ Βούρριναν] γράφεται γὰρ καὶ οὕτως, κρήνη ἡ Βούρρινα τῆς Κῶ. καὶ Φιλητᾶς· Δάσατο δ᾽ ἐν προχοῇσι σε λαμπέτροιο Βουρρίνης. Νικάνωρ δὲ ὁ Κῶος ὑπομνηματίζων φησὶ, Βούρρινα πηγὴ ἐν τῇ νήσῳ ἐστὶν, ἢ τὸ ἀφ᾽ ὕψους καὶ τῆλε βοὸς ῥινὶ παραπλήσιος, ἢ ἐστι ῥέουσα ἐκ πέτρας διὰ βοὸς κεφαλῆς. ¶ Ὅς ἐκ ποδὸς ἄνυεν] ἤτοι ταχέως, ἢ ἔξω τῆς πεπατημένης ὁδοῦ. οἱ δέ φασιν ἐκεῖσε ἐφιστάναι ἀνδριάντα, καὶ ἐκ τοῦ ποδὸς ἐκχεῖσθαι τὸ ὕδωρ· διὸ καὶ ἔφη, εὖ γ᾽ ἐνερεισάμενος πέτρᾳ γόνυ, ἢ σπουδαίως κατήρτησε τὴν κρήνην· καὶ ἡμεῖς φαμὲν ἐκ ποδὸς, οἷον, εὐθέως. εἰ μὴ μεταφορικῶς εἶπε τὸ ἐκ ποδὸς, ἤγουν, ἐξ ἐδάφους, καὶ τῆς πρώτης ὑποστάσεως. καὶ γὰρ Ὅμηρος τὰ κατώτατα τῶν ὀρῶν μέρη, νείατον φησὶ πόδα. τὸ δὲ εὖ γ᾽ ἐνερεισάμενος, συνεκδοχικόν· παντὶ τῷ σώματι τῇ πέτρᾳ ἐνερειδόμενος ὅθεν κεῖται. Ἄλλως. Ἐκ ποδὸς ἄνυεν· ἤγουν, ἐκ βάθους, ἢ ἀφ᾽ ὑψηλοῦ. πόδες γὰρ τὰ πλησιάζοντα τῇ γῇ τῶν ὀρῶν· ἢ γενναίως προσκαθίσας τῇ πέτρᾳ. τινὲς δέ φασιν, ὅτι οἱ στενωποὺς ὀρύσσοντες, τὸ μὲν γόνυ ἐρείδουσι τῇ γῇ, τῷ δὲ ἑτέρῳ ποδὶ, τὸ σκαπτόμενον ὑπολαμβάνουσι χῶμα, τὸ ὀπίσω αὐτῶν διωθοῦνται. οὕτως οὖν καὶ οὗτος ἐνερεισάμενος πέτρᾳ γόνυ τῇ συνεργείᾳ τοῦ ἑτέρου ποδὸς, τὴν κρήνην ἐποίησε.

7 ταὶ δὲ παρ᾽ αὐτὰν Αἴγειροι, πτελέαι τε] αἱ δὲ παρ᾽ αὐτὴν τὴν πηγὴν αἴγειροι καὶ πτελέαι εὔσκιον ἄλσος ἐποίουν, καμμῦσαι καὶ θάλλουσαι φύλλοις, ἤγουν δασεῖαι οὖσαι. κλεῖθρη ἀεὶ ἐπὶ θηλυκοῦ· αἴγειρος δὲ, ἐνίοτε μὲν ἐπὶ ἀρσενικοῦ, ἐνίοτε δὲ ἐπὶ θηλυκοῦ λαμβάνεται. ἡ δὲ παρὰ, ἐνταῦθα τὴν πλησιότητα δηλοῖ. κατηρεφέες δὲ, σκιώδεις.

10 Κοὔπω τὰν μεσάταν ὁδὸν ἄνυμες] καὶ οὔπω τὴν μέσην ἠνύομεν, ἀντὶ τοῦ, τὸ μέσον τῆς ὁδοῦ. μέση γὰρ κοινόν· μεσάτη, παρὰ ποιηταῖς. ¶ οὐδὲ τὸ σᾶμα. Αμεῖν τὸ Βρασίλα κατεφαίνετο] οἱ γράφοντες διὰ τοῦ δ, ἁμαρτάνουσιν. ἐγένετο δὲ Βρασίδας Λάκων τὸ γένος, ὁ δὲ Βρασίλας Κῷος· ὁ Λακεδαιμόνιος δὲ Βρασίδας οὐ θάπτεται ἐν Κῷ, ἀλλ᾽ ἐν Ἀμφιπόλει.

11 καί τιν᾽ ὁδίταν. Ἐσθλὸν σὺν Μοίσαισι Κυδωνικόν] καί τινα συνοδίτην εὕρομεν, ἀντὶ τοῦ ἐτύχομεν ἄνδρα, μουσικὸν ἀγαθὸν, Κυδωνικὸν, τουτέστι Κρητικόν· Κύδων γὰρ πόλις τῆς Κρήτης, ἀπὸ Κύδωνος Ἑρμοῦ, καὶ Ἀκαλλίδος. καὶ Ὅμηρος· Ἐν δὲ Κρῆτες μεγαλήτορες, ἐν δὲ Κύδωνες.

13 ἦς δ᾽ αἰπόλος, οὐδέ κέ τις] ἦν δὲ τὸ ἐπιτήδευμα δηλονότι αἰπόλος. οὐκ ἂν δέ τις αὐτὸν ἠγνόησεν

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἰδὼν, ἐπεὶ ἐξόχως καὶ ὑπερβαλλόντως αἰπόλῳ ὡμοιωμένος ἦν.

15 Ἐκ μὲν γὰρ λασίοιο] ἀντὶ τοῦ τετριχωμένου ἐνδύματα, ἐκ ἀντὶ τοῦ δασέος. καὶ ἀεὶ ἴσως ἐπὶ τούτου τοῦ σημαινομένου, ὀφείλει τὸ λάσιον λαμβάνεσθαι.

16 Κνακὸν δέρμ' ὤμοισι] κνακὸν, ἤγουν ξανθὸν, ἢ λευκόν. λευκὸν μὲν ἀπὸ τοῦ καρποῦ, ξανθὸν δὲ ἀπὸ τοῦ ἄνθους. Ἄλλως. ἢ ὅτι ὁ μὲν κύκλος αὐτοῦ μέλας. τὸ δὲ σπέρμα λευκὸν τῆς κνίδης τοιοῦτον δὲ καὶ τὸ τοῦ κνήκου ἄνθος. ἢ ψαρὸν, ἢ πυρρόν. ¶ νέας ταμίσοιο ποτόσδον] ἀντὶ τοῦ, προσφάτου πιτύας πνέων. εἰώθασι γὰρ οἱ τυροποιοῦντες ἀπὸ ἐρίων κρεμάκτρων, ἀποστοιβίζειν τὰς χεῖρας αὐτῶν, ἐν οἷς δερματίνοις εἵμασι περιβέβληνται. τάμισος δὲ ἡ πιτύα, εἴρηται, παρὰ τὸ θαμίζειν ὅ ἐστι πυκνοῦν τὸ γάλα περὶ αὐτὸ στρεφόμενον. ἢ παρὰ τὸ ταμιείων ἀξιοῦσθαι διὰ τὴν χρῆσιν.

17 Ἀμφὶ δέ οἱ στήθεσσι] περιεσφίγγετο δὲ τοῖς στήθεσιν αὐτοῦ, παλαιὸς πέπλος. γέρων. ἡ μεταφορὰ ἀπὸ τῶν ἡλικιῶν. γέρων, τρίβαλον ἱμάτιον, ὅ ἐστι παλαιόν.

18 Ζωστῆρι πλακερῷ] πλατεῖ. πλακερὸν γὰρ τὸ πλατύ. γράφεται δὲ καὶ πλοκερῷ, ἀντὶ τοῦ πεπλεγμένῳ· παρὰ τὴν πλοκὴν, καὶ τὴν ὑφήν. ¶ ῥοικὰν δ' ἔχεν] καμπύλην δὲ εἶχεν ἀπὸ ἀγριελαίου ἐν τῇ δεξιᾷ χειρὶ ῥάβδον, ἢ ῥόπαλον. κορύνη δὲ καὶ ῥόπαλον τὸ αὐτό.

19 καί μ' ἀτρέμας εἶπε σεσαρώς] καὶ ἡσύχως μοι εἶπε γελῶν ἢ σεσαρὼς, ἀντὶ τοῦ ἠρέμα ἐγέλα, διεστηκὼς τὰ χείλη, καὶ μειδιῶν. οὐκ εἶπε δὲ κέχηνε τῇ λέξει.

20 Γέλως δέ οἱ] γέλως δὲ ἤπλετο τοῦ χείλους αὐτοῦ.

21 Σιμιχίδα πᾷ δὴ τύ] Οἱ μὲν αὐτὸν φασὶ Θεόκριτον, κατὰ τὸ Σιμιχίδου εἶναι υἱὸς, ἢ κατὰ τὸ σιμὸς εἶναι. οἱ δὲ ἕτερόν τινα τῶν σὺν αὐτῷ, καὶ οὐ Θεόκριτον, διὰ τὸ, Σιμιχίδα μὲν ἔρωτος ἐπέπταρεν. φασὶ δὲ τὸν τοιοῦτον ἀπὸ πατρίου κληθῆναι Σιμιχίδου τοῦ Περικλέους, τῶν Ὀρχομενίων, οἵτινες πολιτείας παρὰ Κώοις τετυχήκασιν. Ἄλλως. Σιμιχίδα. εἰσὶ δὲ καὶ πατρωνυμικὰ οὕτως ἀπαραλλάκτως λεγόμενα καὶ ἐπὶ τῶν υἱῶν, ὡς καὶ ἐπὶ τῶν πατέρων· ὥσπερ ὁ Θεόκριτος Σιμιχίδα υἱὸς ὢν, Σιμιχίδαν ἑαυτὸν ὀνομάζει πατρωνυμικῶς. καὶ Ἀσκληπιάδην τὸν Σάμιον ποιητὴν, Σικελίδαν καὶ αὐτὸν καλεῖ, παῖδα τινὸς Σικελίδα λεγομένου τυγχάνοντα. ἀλλὰ καὶ ἐν τῷ εἰδυλλίῳ τῷ οὕτως λεγομένῳ, αἰπολικῷ, καὶ ποιμενικῷ, καὶ τὸν Εὐμήδην υἱὸν ὄντα τοῦ Κρατίδα, Κρατίδαν καλεῖ καὶ αὐτόν. οἱ δὲ λέγοντες Σιμιχίδαν λέγεσθαι τὸν Θεόκριτον διὰ τὸ εἶναι σιμὸν, κακῶς λέγουσι. ¶ μεσαμέριον πόδα ἕλκεις] κατὰ τὸ μέσον τῆς ἡμέρας ἕλκεις τοὺς πόδας· ἀντὶ τοῦ πορεύει. οἱ γὰρ βαδίζοντες, ἕλκοντες τοὺς πόδας βαδίζουσιν.

22 Ἀνίκα δὴ καὶ σαῦρος ἐφ' αἱμασιαῖσιν] ὁπότε καὶ ὁ σαῦρος ἡ κοινῶς λεγομένη χλωροσαύρα ἐπὶ

ἐπὶ

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἐπὶ τοῖς φραγμοῖς ἠρεμεῖ. ἀρσενικῶς ὁ σαῦρος. λέγεται καὶ θηλυκῶς ἡ σαύρα. φησὶ δὲ Ἀριστοτέλης περὶ τοῦ ζώου τούτου, ὅτι ξηραινόμενον, εἰς ἔχιν μεταβάλλεται.

23 Οὐδ᾽ ἐπιτυμβίδιοι κορυδαλλίδες] αἱ ἐπὶ τῇ κεφαλῇ τὸν τύμβον φέρουσαι τοῦ πατρὸς αὐτῶν. κορυδαλλίδες ἐνταῦθα εἶδος ὀρνέου. λέγονται δὲ ἐπιτυμβίδιοι, ὅτι τάφοις ὡς ἐπιπολὺ διατρίβουσιν. εἰ δὲ κορυδαλλίδας τὰ στρουθία νοήσεις, κορυδαλλίδες μὲν λέγονται, διὰ τὸ κόρυσιν ἐοικέναι τὸ ἐπὶ τῆς κεφαλῆς αὐτῶν ἀνάστημα· ἐπιτυμβίδιοι δὲ, ὅτι ὡσεὶ τύμβον τὸ τοιοῦτον ἀνάστημα ἐπὶ κεφαλῆς ἔχουσι. φέρεται δὲ καὶ ἐπὶ τούτου ἱστορία τοιαύτη· ὅτι πρὸ τοῦ γενέσθαι τὴν γῆν, γεγόνασιν αὗται. συνέβη δέ ποτε αὐτῶν τὸν πατέρα θανεῖν, καὶ γῆς μὴ οὔσης, ἐτάφη ὑπὲρ τῆς κορυφῆς τοῦ ἰδίου γόνου· διὸ καὶ ἐπιτυμβίδιοι ἐπεκλήθησαν.

Ἄλλως Ἐπιτυμβίδιοι, ἢ ὅτι τοῖς τάφοις ἐνδιατρίβουσιν, ἢ ὡσεὶ τύμβον ἐπὶ τῆς κεφαλῆς φέρουσιν ἢ παρὰ τὸ τύφω· φλογοειδεῖς γάρ εἰσι. ¶ ἠλαίνονται] ῥέμβονται, πλανώμεναι στρέφονται, ὅμως καὶ αὗται ἠρεμοῦσιν.

24 Ἢ μετὰ δαῖτα κλητὸς] ἢ ἐπὶ εὐωχίαν κεκλημένος σπεύδεις, ἢ ἐπὶ λῆνον τινὸς ἀπὸ τῶν πολιτῶν ἀπέρχῃ· οἱ γὰρ κεκλημένοι σπεύδουσιν. ἐπὶ δὲ τῶν βραδυνόντων παροιμία, ὅς τις ἐπὶ δεῖπνον κληθεὶς, ὀψὲ ἔρχεται, ἢ χωλός ἐστιν, ἢ οὐ δίδωσι συμβολάς.

25 ὡς τευ ποσὶν νισσομένοιο] οὕτως προδιωκομένου σου τοῖς ποσὶ πᾶσα λίθος προσπταίουσα, ἤγουν προσκρούουσα ταῖς ἀρβυλίσιν, ἐμμελῶς ἠχεῖ. Ἀρβύλη δὲ, εἶδος ὑποδήματος ἀπὸ τοῦ ἁρμόζεσθαι. θηλυκῶς ἡ λίθος, ὡς καὶ Ὅμηρος· Λίθοι ποτοῶνται θαμειαί. καί, Δόμον ξεστῆσ᾽ αἰθούσῃσι τετυγμένον· λίθοις δηλονότι ξεστοῖς.

27 Τὸν δ᾽ ἐγὼ ἀμείφθην] πρὸς τοῦτον ἐγὼ ἀπεκρίθην· Λυκίδα φίλε, πάντες λέγουσί σε εἶναι συρικτὴν κατὰ πολὺ ὑπερέχοντα, καὶ ἐν τοῖς νομεῦσι, καὶ ἐν τοῖς θερισταῖς.

28 συρικτὰν] συρίζειν, τὸ διὰ σύριγγος μέλπειν. καὶ συρικτὴς ἐπὶ τούτου. ἐνταῦθα δὲ, συρικτὴν λέγει, τὸν κοινῶς τραγῳδιτήν.

29 τὸ δὴ μάλα θυμὸν ἰαίνει] ὅπερ δὴ τὸ ᾄδειν, ἢ τὸ εἶναί τινα συρικτὴν, λίαν εὐφραίνει τὸν ἡμέτερον θυμόν· ἀντὶ τοῦ, τὴν ἐμὴν ψυχήν. ἐκ τοῦ ποιητοῦ δὲ ὁ λόγος ἀντὶ τοῦ ἐφ᾽ ᾧ δὴ μάλιστα καὶ αὐτὸς τέρπομαι.

30 καί τοι κατ᾽ ἐμὸν νόον] κατὰ τὴν ἐμὴν δόξαν. ἐλπίζω φησὶν, ὅτι οὐ παρευδοκιμήσεις ἡμᾶς. καὶ Ὅμηρος, οὔτι καθ᾽ ἡμέτερόν γε νόον.

31 ἁ δ᾽ ὁδὸς ἅδε θαλυσιάς] ἐπὶ Θαλύσια ἀνυομένη. ἢ ἐπὶ θαλύσια ἄγουσα ἡμᾶς. ¶ ἦ γὰρ ἑταῖροι] οὕτως γὰρ φίλοι ἀνέρες, τῇ Δήμητρι τῇ εὐπέπλῳ, εὐωχίαν τελοῦσι τῶν καρπῶν, ἀπαρχὴν διδόντες. —



© Centre d'Études Supérieures de la Renaissance - Tours

33 *μάλα γάρ σφισι πίονι μάτρῳ*] εὔκαρπον γὰρ ἐποίησεν ἡ δαίμων τὴν ἅλωα αὐτῶν· ἤγουν, ἣν ἔχουσιν, ἕνεκα τῆς πληθύος τῶν καρπῶν, μέτρῳ κατὰ πολὺ πλουσίᾳ.

34 εὔκριθον ἀνεπλήρωσεν ἀλωάν] ἀπὸ μέρους τῆς κριθῆς, τὴν εὔκαρπον παρεδήλωσεν. εὔκριθον δέ, καὶ οὐκ εὔσιτον ἀλωὰν προσηγόρευσε, διὰ τὸ δοκεῖν πρῶτον εὑρεθῆναι τὸν τῆς κριθῆς καρπόν. κριθὴ δὲ ὠνομάσθη, ὅτι μετὰ τὸν σῖτον προεκρίθη τῶν ἄλλων καρπῶν. ἢ παρὰ τὸ τοὺς στάχυας τῆς κριθῆς, κεκριμένους καὶ διακεχωρισμένους ἔχειν τοὺς κόκκους. ἀλωὰν δὲ τὴν ἅλωνα, παρὰ τὸ ἅλως. ἅλως δέ, ἀπὸ τοῦ ἁλίζω, τὸ συναθροίζω. ἐκεῖ γὰρ ἀθροίζουσι τοὺς στάχυας. καὶ Καλλίμαχος· Ἐς τὸ περὶ τείχους ἱερὸν ἀλέες δεῦτε· καὶ ἅλς, ἡ θάλασσα ἐντεῦθεν καὶ τὸ ἀλεὶς, ἀντὶ τοῦ συστραφείς.

36 Βουκολιασδώμεσθα] βουκολικὴν ᾠδὴν ᾄδωμεν. ἴσως ὁ ἕτερος τὸν ἕτερον ὠφελήσει. τοῦ, κατ' ὥτερος, Δωρικὴ ἡ συναλοιφή. τὸ γὰρ ὁ ἕτερος, οὕτερος διὰ τοῦ υ· ὡς καὶ παρ' Ἡροδότῳ. ἡμαρτημένως δὲ ἐξενήνοχε τό, ὥτερος. ἕτερος γὰρ ἄλλος ἐκ πλειόνων.

39 Οὐ Δᾶν. οὐ γάρ πω κατ' ἐμὸν νόον] μὰ τὴν γῆν. ὤμνυον γὰρ κατὰ τῶν στοιχείων. ὡς Ὅμηρος· χειρὶ δὲ τῇ ἑτέρᾳ ἕλε χθόνα πουλυβότειραν. τὸ δὲ κατ' ἐμὸν νόον, ἀντὶ τοῦ κατὰ τὴν ἐμὴν κρίσιν, ὡς ἄνωθεν.

40 Σικελίδαν] Ἀσκληπιάδην φησὶ τὸν ἐπιγραμματογράφον. ὥσπερ γὰρ Σιμιχίδαν ἑαυτὸν καλεῖ ὁ Θεόκριτος πατρωνυμικῶς, ὡς υἱὸν Σιμιχίδα· καὶ τὸν Εὐμενίδην Κρατίδαν υἱὸν ὄντα Κρατίδα, οὕτω καὶ νῦν Σικελίδαν ὀνομάζει, τὸν Ἀσκληπιάδην τὸν Σάμιον, ὡς υἱὸν Σικελίδα, οὐ δοκεῖ ἀκουστὴς γεγονέναι. ὁ δὲ Φιλητᾶς, Κῶος τὸ γένος· ἢ ὡς ἔνιοι, Ῥόδιος, υἱὸς Τηλέφου. ποιητὴς δὲ ἦν καὶ οὗτος.

41 *βάτραχος δέ ποτ' ἀκρίδας*] ἤγουν, πρὸς τοὺς εἰρημένους σοφούς, οὐδαμινός εἰμι· καὶ ὥσπερ βάτραχος ἐρίζει πρὸς τὰς ἀκρίδας, οὕτω κἀγὼ πρὸς αὐτούς. ἤγουν, τοιαύτην δὲ ἔχω σύγκρισιν πρὸς αὐτούς, οἵαν ἔχει βάτραχος πρὸς ἀκρίδας. ὁ γὰρ βάτραχος τραχύφωνός ἐστιν. ὅθεν καὶ ὠνόμασται, βοάτραχός τις ὤν, ὁ τῇ βοῇ τραχύς. τῶν δὲ ἀκρίδων εἰσί τινες, αἳ τερετίζουσιν ἐναρμόνιον.

43 Τάν τοι ἔφα κορύναν δωρήσομαι] ταύτην σοι ἔφη τὴν ῥάβδον χαρίσομαι, διότι εἶ φυτὸν ἐπ' ἀληθείᾳ ὅλον ἐκ Διὸς εἰργασμένον. τὸ ἔφα μόνον Θεοκρίτου. ὁ δὲ λοιπὸς στίχος τοῦ Λυκίδα.

44 Πᾶν ἐπ' ἀλαθείᾳ] ὅτι φιλαλήθης πέφυκας. τὸ δὲ ἐκ Διός, ὅτι ἀψευδής ἐστιν ὁ Ζεύς. ὡς καὶ Ὅμηρος· Οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλόν, Ὅττι κεν κεφαλῇ κατανεύσω.

45 Ὥς μοι καὶ τέκτων μέγα] πλεῖστον ἐμοὶ μισεῖται καὶ ὁ τέκτων ἐκεῖνος, ὅστις ἐρευνᾷ, ἀντὶ τοῦ ζητεῖ ἐργάσασθαι οἶκον, Ἴσον

τῇ

τῇ κορυφῇ τοῦ ὄρους τοῦ Ὠρομέδοντος. ἐν τῇ Κῷ φασὶν εἶναι τοῦτο τὸ ὄρος. Ἄλλως. Ὥσπερ μοι καὶ τέκτων οἷον, ὁ τέκτων ὁ καυχώμενος καὶ ἐπαγγελλόμενος οἶκον ποιεῖν Ὠρομέδοντος ὑψηλότερον ὄρους κεφαλῆς, παντελῶς ἀδυνάτου τῆς πράξεως ὑπαρχούσης. ἢ Ὠρομέδοντα τὸν Πᾶνα συνθέτως, ὅ ἐστι βασιλέα τῶν ὀρῶν, ἢ τοῦ οὐρανοῦ. ὁ δὲ νοῦς, μισῶ καὶ τέκτονα, ὃς ἐρευνᾷ οἶκον τελέσαι μέγεθος ἔχοντα τῆς τοῦ ὄρους κορυφῆς. τὸ ὄρος ἐν Κῷ, ἀπὸ Ὠρομέδοντος τοῦ τῆς νήσου βασιλεύσαντος. καὶ Διονύσιος τὸν Πᾶνά φησι, παρὰ τὸ μέδειν τῶν ὀρῶν. ἄλλοι τὸν οὐρανόν, ἄλλοι τὸν ἥλιον, ἄλλοι μονογόνον Ἥρως εἶναι τοιοῦτον. ἢ Ὠρομέδοντος, τοῦ ὄρους τοῦ ὑψηλοτάτου τοῦ τῶν ὀρῶν μέδοντος ὕψει. ἢ Ὠρομέδοντα τὸν Πᾶνα, ἀγροικικὸς γὰρ ὁ θεός. ὄρος δὲ αὐτοῦ ᾧ κατοικεῖ, τὸ τῆς Θετταλίας, ὡς παριὼν οὕτως λέξει. Ἄλλως. Ὠρομέδοντα, οἱ μὲν τὸν Πᾶνά φασιν, ὡς τῶν ὀρέων μέδοντα, κατ' ἔκτασιν τοῦ ο. οἱ δὲ τὸν ἥλιον ὡς βασιλεύοντα τῶν τεσσάρων ὡρῶν τοῦ ἐνιαυτοῦ. τὸ δὲ ἀληθές, Ὠρομέδων ἐστὶν ὄρος ἐν Κῷ, ὑψηλότερον τῶν ἐν τῇ Κῷ ἑτέρων ὀρέων κατ' ἔκτασιν καὶ τοῦτο τοῦ ο. ὁ δὲ νοῦς· μισῶ τέκτονας τοὺς καυχωμένους καὶ ποιεῖν ἐπαγγελλομένους οἶκον, ἴσον τῇ κορυφῇ τοῦ ὄρους τοῦ Ὠρομέδοντος. τοῦτο γὰρ ἀδύνατον.

47 Καὶ μουσᾶν ὄρνιχες] μουσῶν ὄρνιθες λέγονται πάντα τὰ εὔφωνα τῶν ὀρνέων. ἐνταῦθα δὲ τοὺς ποιητὰς λέγει μουσῶν ὄρνιθας, μεταφορικῶς διὰ τὰ μέτρα καὶ τὴν ἐν αὐτοῖς ἐμμέλειαν. καὶ μουσᾶν ὄρνιχες. τὰ ἀνωτέρω συνυπακούεται ἀπὸ κοινοῦ, κατ' ἀναλογίαν τοῦ προειρημένου. ἤγουν, ἀπέχθονται πλεῖστον ἐμοὶ καὶ οἱ ὄρνιθες τῶν μουσῶν πάντες, τουτέστιν οἱ ποιηταί, ὅσοι πρὸς τὸν ποιητὴν τὸν Χῖον, ἤτοι τὸν Ὅμηρον ἀπεναντίας ᾄδοντες ὁμοῦ αὐτῷ τῷ ἐρίζοντες, μάταια μοχθοῦσι. τουτέστι, ματαιοπονοῦσιν.

50 Σιμιχίδα, κἠγὼ μὲν] ἄλλως ἀρξάμενος, ἄλλως ἀποδίδωσιν, ὥσπερ ἀπὸ μεταμελείας. εἰ γὰρ κατὰ τὴν ἀκολουθίαν τῆς ἀρχῆς ἀπεδίδου, εἶχεν ἂν ὁ λόγος οὕτως· ὦ Σιμιχίδα καὶ ἐγὼ μὲν ᾄσω τὸ μελίδριον, ὃ πρὸ ὀλίγου ἐν τῷ ὄρει πονήσας εἰργασάμην. σὺ δὲ ὅρα εἴ σοι τοῦτο ἀρέσκει.

52 Ἔσσεται Ἀγεάνακτι] ἑαυτὸν παρεισάγει Λυκίδας Μιτυληναίου τινὸς ἐρῶντα, καὶ τοῦτο εὐχόμενον. ᾄδει οὖν ταῦτα εἰς τὸν Ἀγεάνακτα, εὐχόμενος, αὐτὸν ὑγιῆ ἀπελθεῖν εἰς Μιτυλήνην. καὶ ὅταν δύνωσιν οἱ ἔριφοι, καὶ καταφέρηται ὁ Ὠρίων εἰς τὸν Ὠκεανόν, καὶ ὁ νότος πνέων ἐλαύνῃ τὰ κύματα, ἐὰν ἐμὲ τὸν Λυκίδαν τοῦ ἐρᾶν παύσῃ.

53 Χὤταν ἐφ' ἑσπερίοις ἐρίφοις νότος] ὅταν ὁ νότος τὰ ὑγρὰ ἐλαύνῃ κύματα, ἐπὶ τοῖς ἐρίφοις δύνουσι. τοῦτο γὰρ δύναται τό, ἑσπερίοις· τουτέστι κατὰ τὸν καιρόν, ὅτε οἱ ἔριφοι ἑσπέριοι γίνονται· ἤγουν κατὰ τὸν δυτικὸν ὁρίζοντα.



© Centre d'Études Supérieures de la Renaissance - Tours

τουτέστι δύουσι τὴν ἑῴαν δύσιν. καὶ ὅτε ὁ Ὠρίων δύνει τὴν ἑῴαν δύσιν. δύνει δὲ οὗτος τὴν ἑῴαν δύσιν, μετὰ τὰς Πλειάδας εὐθύς. Ἄλλως. Ἐφ' ἑσπερίοις ἐρίφοις. δυνόντων γὰρ τῶν δύο ἐρίφων ἑσπέρας, νότος ταράσσεται. ἢ σφοδροὶ κατὰ τὴν θάλασσαν γίνονται χειμῶνες. καὶ ὅταν ὁ Ὠρίων εἰς τὸν Ὠκεανὸν καταφέρηται. ¶ καλὸς πλόος ἐς Μιτυλήνην] ἐπειδὴ Μιτυληναῖος ὢν ὁ Ἀγεάναξ μέλλει χωρίζεσθαι εἰς τὴν πατρίδα, φησὶν ὅτι αὐτῷ καλὸς πλοῦς ἔσται, κἂν χειμῶνος πλέῃ· ὥστε τοὺς μὲν ἐρίφους ἑσπέρας δύειν, καὶ τὸν ὠρίωνα καταφέρεσθαι, τὸν δὲ νότον ταράσσειν τὸ πέλαγος. καταστηθήσεται δέ φησιν, ὁ χειμὼν, καὶ εὐπλοήσει ὁ Ἀγεάναξ, ἂν αὐτὸν τοῦ ξηρὰν παύσῃ χαρισάμενος τῆς ὥρας. ἔριφοι δέ εἰσιν ἀστέρες. ὅταν δὲ ἀνατέλλωσιν οὗτοι, ἀγριαίνεται ἡ θάλασσα.

57 Χ' ἀλκυόνες] Ἀλκυὼν θυγάτηρ Αἰόλου, καὶ Κανώβης, γυνὴ δὲ Κήϋκος. Ἀλέξανδρος δέ φησιν ὁ Μύνδιος, ὅτι αὕτη θεῶν λέλογχε Νηρηΐδων Λευκοθέην, Παλαίμονα Ἀφροδίτην· ἀλκυόνες οὖν ἐκλήθησαν παρὰ τὸ ἐν ἁλὶ κύειν. Ἀντίγονος δέ φησιν, ὅταν γηράσκωσιν αἱ ἀλκυόνες, κήρυλοι καλοῦνται. Ἀριστοτέλης δὲ διῄρησεν, ἀλκυόνα καὶ κήρυλον, καὶ κορώνην. οἱ δὲ φασὶν, ὅτι τὰ ἄρρενα τούτων, κήρυλοι καλοῦνται. ὅπερ ἀληθές ἐστι. θρηνητικὸν δὲ τὸ ζῶον, καὶ παρὰ τοῖς αἰγιαλοῖς νεοττεῦον, τὸ κῦμα ἀφαιρεῖται τοὺς νεοσσοὺς αὐτοῦ. δεκατέσσαρας δὲ ἡμέρας φασὶν ὅταν γεννᾷ περὶ τὰς χειμερινὰς τροπὰς εὐδιάζειν, ἃς καλοῦσιν ἀλκυονίδας· ἑπτὰ τὰς πρὸ τῆς γεννήσεως, καὶ ἑπτὰ τὰς μετὰ τὴν γέννησιν. ¶ στορεσεῦντι τὰ κύματα] καταστορέσουσι τὰ κύματα, γαλήνην ποιήσουσιν, ἐάν με τοῦ ἔρωτος ἐξέληται τὸν Λυκίδαν.

58 Ἔχατα φυκία κινεῖ] τὸ φυκίον εἶδος βοτάνης. ἢ φῦκός ἐστι, τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα. οἱ δὲ φυκίον φασὶ, βοτάνην τὴν ἐν τῷ βυθῷ γινομένην, παρὰ τὸ φύεσθαι. ἕτεροι δὲ φυκία φασὶ, τὰ ἐν τοῖς αἰγιαλοῖς βρύα κοκκινοειδῆ.

59 Ἀλκυόνες γλαυκαῖς] ἐπανάληψις τοῦτο. εἰσὶ δὲ ὄρνιθες θαλάσσιαι, ὧν τικτουσῶν στορέννυται ἡ θάλασσα. ¶ γλαυκαῖς Νηρηΐσι] γλαυκὰς τὰς Νηρηΐδας φησὶ, διὰ τὸ ἐν θαλάσσῃ διάγειν. οὐ γάρ εἰσι γλαυκαὶ τὸν χρῶτα. λέγει δὲ, Λευκοθέαν, Παλαίμονα, καὶ Ἀφροδίτην.

60 ἐφίλαθεν] ἐφιλήθησαν ἢ φιλοῦνται. ἔστι δὲ αἰολικὸν, ὡς καὶ τὸ ἐκόσμηθεν. Καλλίμαχος δὲ τοῦτο παρεξεῶσε.

62 Ὥρια πάντα γένοιτο] ὥρια, εὔκαιρα, ἐπιτήδεια· ἢ ὥρια τῷ Ἀγεάνακτι ἀποπλέοντι εἰς Μιτυλήνην γένοιτο πάντα. ἤγουν τὰ διὰ φροντίδος αὐτῷ· ἢ ὥρια πάντα γένοιτο, ἀντὶ τοῦ φυλακτικά. ἀπὸ τοῦ ὠρῶ, τὸ φυλάσσω.

63 Κἠγὼ τῆνο κατ' ἆμαρ ἀνήτινον] εἶδος ἄνθους τὸ ἀνήτινον.

ἀνητι-

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἀνηθίνοις δὲ ἐχρῶντο στεφάνοις, ὡς Ἀλκαῖος, καὶ Σαπφώ. φασὶ δέ τινες καὶ πᾶν ἄνθος ἀνήθινον. παρὰ τὸ ἀνατίνεσθαι, ἤγουν ἵεσθαι. ἄνηθον τὸ μάλαθρον, ἢ ἄνισον δὲ τὸ γλυκάνισον, ι.

65 Τὸν Πτελεατικὸν οἶνον] Πτελέα, τόπος ἐν Κῷ, ἢ ἐν Ἀρκαδίᾳ· ἢ Θεσσαλικὸν οἶνον, ἢ τὸν ὑγιείας καὶ ῥώμης παρασκευαστικόν. ἢ τὴν ἐν ἀναδενδράσι δρόσον, παρακειμέναις Πτελέαις ἐμπωλέηνται. ἢ Ἐφέσιον. Πτελέα γὰρ ἡ Ἔφεσος ἐκαλεῖτο. ἢ τόπος ἐν αὐτῇ ἢ ἐν Ἀρκαδίᾳ. Ὅμηρος· Πτελέον ἔλαιον. ἢ τὸν ἐξ ἀναδενδράδων, αἱ ταῖς πτελέαις ἐποχοῦνται. ἢ ἀπὸ τόπου. ἔστι δὲ τόπος, μέσον Ἐφέσου καὶ Μιλήτου.

66 κύαμον δέ τις ἐν πυρὶ φρυξεῖ] οὐ ματαίαν τοῦτο φησίν. ὁ γὰρ κύαμος διψοποιός πόσεως δὲ χάριν τοῦτο φησίν.

67 Χ' ἁ στιβὰς ἐσσεῖται] ὑποστρώσομεν καὶ στιβάδα πήχεως. ἢ καὶ ἡ στρωμένη ἔσται ἐμβεβασμένη ἔτ' ἐπὶ πήχυν, τουτέστι μέχρι πήχεως. διὰ κνύζης, καὶ ἀσφοδέλου, καὶ σελίνου πολυγνάμπτου, ἤγουν, πολυελίκτου, πολυκαμποῦς. στιβὰς δέ ἐστι στρωμνὴ ἐπὶ τῆς γῆς ἐκ φύλλων.

68 Κνύζα τ' ἀσφοδέλῳ τε] τὴν κόνυζαν, κνύζαν εἶπεν. ἔστι δὲ φυτὸν ψυκτικώτατον. ἔνθεν καὶ ἐν τοῖς θεσμοφορίοις ὑποστρωννύουσι τὸ φυτὸν, τὴν θερμότητα τὴν πρὸς τὰ ἀφροδίσια ἐκκόπτοντες. Ἀσφόδελος δὲ, βοτάνη πλατύφυλλος, ἧς ὁ καυλὸς καλεῖται ἀνθέρικος. καὶ Ἡσίοδος· Οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ. Καὶ ἀσφοδελὸς, ὁ τόπος ὁ ἔχων ἀσφοδέλους. καὶ Ὅμηρος· Βῆ δὲ κατ' ἀσφοδελὸν λειμῶνα.

68 Πολυγνάμπτῳ τε σελίνῳ] πολύγναμπτον λέγεται, ὅτι οὖλόν ἐστιν, ὡς καὶ καμπάς τινας ἔχειν.

69 Καὶ πίομαι μαλακῶς] ἤγουν ἡδέως, ἐν ἀναπαύσει, καὶ ἀθρόως, οὐ διαιρῶν εἰς τὰ μικρότατα τῶν ἐκπωμάτων. 70 καὶ ἐς τρύγα χεῖλος ἐρείδων] ἤγουν, μέχρι τρυγὸς τῆς ἐν τῷ πυθμένι τῆς κύλικος τοῦ οἴνου. τρύξ δὲ κυρίως, ὁ νέος οἶνος λέγεται. καταχρηστικῶς δὲ, καὶ ὁ παλαιός. νῦν δὲ τὴν τρυγίαν λέγει.

71 Αὐλησεῦντι δέ] ἀντὶ τοῦ αὐλήσουσι. αὐλεῖν τὸ διὰ αὐλοῦ μέλπειν. ἐνταῦθα δὲ τὸ αὐλησεῦντι, ἀντὶ τοῦ, ᾄσουσιν. ¶ εἷς μὲν, Ἀχαρνεύς] Ἀττικός. Ἀχάρναι γὰρ δῆμος τῆς Ἀττικῆς.

72 Εἷς δὲ Λυκωπίτας] ἤγουν, Αἰτωλός. Λυκωπίτας γὰρ, ὁ ἀπὸ Λυκώπης. ἡ δὲ Λυκώπη, πόλις Αἰτωλίας. ἢ ἀπὸ δήμου. Λύκωπος γὰρ δῆμος ἀποίκων. ἢ Λυκωπίτας, ἐκ Λυκωπέως ἔχων τὴν κλῆσιν. ¶ ὁ δὲ Τίτυρος] ὄνομα κύριον αἰπόλου. τινὲς δὲ παρὰ Δωριεῦσι, τοὺς σατύρους ἀποδεδώκασι λέγεσθαι.

73 Ὡς ποκα τᾶς Ξενέας ἠράσσατο] ὄνομα κύριον ὡς τὸ, Κενέας. ἀπέδοσαν δέ τινες τῆς ἐκ Κρήτης ξένης. ἢ γράφεται, τῆς ξανθᾶς, ὡς ἔν τισιν. Ἄλλως. μία τῶν νυμφῶν ἡ Ξενέα, ὁ



© Centre d'Études Supérieures de la Renaissance - Tours

ὄνομα κύριον.

74 Χ' ὡς ὄρος] τὸ πᾶν· καὶ ὅπως περιήρχετο τὸ ὄρος ζητῶν αὐτήν. καὶ ὅπως αἱ δρύες αὐτὸν ἐθρήνουν, αἵ τινες ἐκπεφυκυῖαί εἰσι, παρὰ ταῖς ὄχθαις τοῦ ποταμοῦ τοῦ Ἱμέρα, ὁπηνίκα ὡς χιὼν διερρεῖτο ὑπὸ τοῦ ἔρωτος, ὑπὸ τὸν Αἷμον τὸν ἐπιπολὺ διήκοντα. ἢ ὑπὸ τὸν Ἄθων, ἢ ὑπὸ τὴν Ῥοδόπην, ἢ ὑπὸ τὸν Καύκασον τὸν περὶ τὰ ἔσχατα τῆς γῆς ὄντα.

75 Ἱμέρα αἶτε φύοντι] Ἱμέρα γενικὴ πτῶσις. ἔστι δὲ πόλις Σικελίας, καὶ πηγή, καὶ ποταμὸς ἀπὸ ταύτης ἔχων τὴν ἀρχήν· ἢ ποταμὸς Σικελίας, καὶ πόλις ὁμώνυμος.

76 ὑφ' Αἷμον, ἢ Ἄθω ἢ Ῥοδόπαν] Αἷμος, ὄρος Θρᾴκης ἀπὸ Αἵμου τοῦ Βορέου καὶ Ὠρειθυίας καὶ ἡ Ῥοδόπη, ὁμοίως ὄρος τῆς Θρᾴκης, καὶ ἔτι ὁ Ἄθως. ὡς παρὰ Ἀπολλωνίῳ τῷ Ῥοδίῳ· Ἄθω ἀνέτελλε κολώνη Θρηϊκίη. καὶ Σοφοκλῆς· Ἄθως σκιάζει νῶτα Λημνίας ἁλός. ὠνόμασται δὲ, ἀπό τινος γίγαντος Ἄθου, ὃς ἦν Ποσειδῶνος καὶ Ῥοδόπης τῆς Στρυμόνος. ἀπὸ τῆς μητρὸς οὖν τις Θρᾴκης τὸ ὄρος· ἀπὸ δὲ τοῦ υἱοῦ, τὸ πέλαγος ἐπωνόμασται. 77 ἢ Καύκασον ἐσχατόωντα] τὸν ἐν ἐσχάτοις μέρεσι τῆς γῆς ὄντα. Ἄλλως. Ἀετὸν φασὶν εἶναι ποταμὸν περὶ δὲ τοὺς τόπους τοῦ Καυκάσου ὄρους λάβρως φερόμενον, τὴν χώραν Προμηθέως λυμαινόμενον, ὃν ἀπέστρεψεν Ἡρακλῆς. ἐξ οὗ φασὶν ὁ μῦθος.

78 Ἀσεῖδ' ὥς ποκ' ἔδεκτο δὲ εὐρέα λάρναξ] τις αἰπόλος καλούμενος Κομάτας, τοῦτον δὲ ἐστιν εἰπεῖν Μενάλκας, τοῦ οἰκείου δεσπότου θρέμματα νέμων ἐν Σικελίᾳ ἐν τῷ ὄρει τῆς Θουρίας, ἔθυε συχνάκις ταῖς μούσαις. ὁ δὲ δεσπότης αὐτοῦ δυσχεράνας, κατέκλεισεν αὐτὸν εἰς λάρνακα ξυλίνην, πειράζων εἰ σώσειαν αὐτὸν αἱ μοῦσαι. δύο δὲ μηνῶν ἐλθόντων, παραγενόμενος καὶ ἀνοίξας, ζῶντα μὲν αὐτὸν εὗρε, πλήρη δὲ καὶ τὴν λάρνακα κηρίων. Ἄλλως. Εὐρέα λάρναξ· Λύκιος φησὶ τὸ Θουρίας ὄρος, θάλαμον ὑφ' ὃ αὔτρον τῶν νυμφῶν. καλοῦσι δὲ αὐτὸ Ἀλουσίας οἱ ἐπιχώριοι, ἀπὸ τοῦ παραρρέοντος Ἀλουσίου ποταμοῦ. ἐν τούτῳ ποιμὴν ἐπιχώριος δεσπότου θρέμματα βόσκων, ἔθυε συχνῶς ταῖς μούσαις. οὗ χάριν δυσχεράνας ὁ δεσπότης, εἰς λάρνακα κατακλείσας αὐτὸν ἀπέθετο. ἐν τούτῳ ἰδίσαξεν ὁ δεσπότης, βουλόμενος εἰ σώσειαν αὐτὸν αἱ μοῦσαι. παραδραμόντος δὲ διμηναίου χρόνου, παραγενόμενος, καὶ τὰ ζυγάστρα τῆς λάρνακος διανοίξας, ζῶντα κατείληφε, καὶ τὴν λάρνακα πεπληρωμένην κηρίων εὗρεν. ἄνακτα δὲ φησὶ τὸν δεσπότην.

79 κακῆσιν ἀτασθαλίῃσιν ἄνακτος] διὰ τὰς κακοτρόπους δυσσεβείας τοῦ δεσπότου αὐτοῦ. φασὶν ὅτι ὁ Θεόκριτος τὰ τοῦ Δάφνιδος, εἰς τὸν Κομάταν τοῦτο ἐξέθηκε. τοῦτον γὰρ ἡ μήτηρ ἐξέθηκε, τὸν πατέρα ἄνακτα εὐλαβουμένη, εἴδυια ὅτι οὐ πείσει ὑπὸ τοῦ

χρυσοῦ

© Centre d'Études Supérieures de la Renaissance - Tours

χρυσοῦ διαχρηθῆναι λέγουσα.

80 Ὅς τε νιν αἱ σιμαὶ] ὅπως τε αὐτὸν αἱ σιμαὶ μέλισσαι ἔτρεφον ἀπὸ τοῦ λειμῶνος, δι' αὐθίων ἐπιπολῶν ἐρχόμεναι εἰς τὴν κέδρον, τὴν λάρνακα, ἥ τις ἦν ἀπὸ κέδρου κατεσκευασμένη. τὴν ἡδεῖαν διὰ τὴν ἐπισκοπὴν δηλονότι τῶν θεῶν, σιμὰς καλεῖν ἔθος τὰς μελίσσας. τὸ γοῦν πρὸς ὑποδοχὴν τῆς ἐργασίας αὐτῶν ἄγγος, σίμβλον καλοῦμεν, ὅπου τὸν κάματον ἐκ σιμῶν βάλλομεν, σιμβόλον τι ὄν.

82 Οὕνεκά οἱ γλυκὺ μοῖσα κατὰ στόματος χέε νέκταρ] ἤγουν διότι ἔχει κατὰ τοῦ στόματος αὐτοῦ ἡ μοῦσα γλυκὺ νέκταρ. ἤγουν, διότι ἦν ἄριστος μουσικός. αἱ μοῦσαι γὰρ αὐτὸν ᾄδειν ἐποίησαν. ἢ αἱ μοῦσαι αὐτὸν γλυκύτατον προσῳδὸν ἐποίησαν. δηλοῖ δὲ διὰ τοῦ νέκταρος, ὑπερβολικὴν τὴν μελιχρότητα, ἢ τὴν γλυκυφωνίαν. συνεκδοχικῶς δὲ ἀπὸ μιᾶς τὰς πάσας δηλοῖ τὸ δὲ χέε νέκταρ, ἐπὶ ἀορίστου. τὸ πρῶτον πρόσωπον αὐτοῦ ἔχεα. νέκταρ, τὸ τῶν θεῶν πόμα. ἀμβροσία δὲ, ἡ τούτων τροφή.

83 Ὦ μακαριστὲ Κομάτα] τὸ πᾶν ὦ μακάριε καὶ μακαρισμοῦ ἄξιε Κομάτα. σὺ δὴ ταῦτα ἔπαθες· καὶ σὺ κατεκλείσθης εἰς λάρνακα καὶ σὺ μελισσῶν κηρόμελι σιτούμενος, χρόνον μιᾶς ὥρας τοῦ χρόνου, ἤγουν τοῦ ἔαρος, ὅτε τὸ μέλι ἐργάζεται. ἐξεπόνασας ἢ ἐξετέλεσας γράφεται γὰρ καὶ ἔτος· ἤγουν, μετὰ πάνυ οἰωνίζας. εἴθε ἀποκείμενον ἦν εἶναί σε ἐναρίθμιον τοῖς ζῶσιν ἐπ' ἐμοὶ, ἤγουν, ἐπὶ τῇ ζωῇ τῇ ἐμῇ. πέπλασται τὰ περὶ τοῦ Κομάτα ὑπὸ τοῦ Θεοκρίτου παρὰ τοῖς ἀρχαίοις οὐ παραλαμβανόμενα, ὑπὸ μελισσῶν τρεφόμενον τὸν Κομάταν, καθάπερ ὁ Δάφνις ἱστορεῖται. οὐχὶ κεράσταν, ὅν ποτε θρέψατο ζευγηλάταρ.

84 κατεκλάσθης] ἡ κλεὶς παρὰ Δωριεῦσι κλᾶξ λέγεται. ἀφ' οὗ τὸ, κατεκλάσθης.

85 ἔτος ὥριον ἐξετέλεσας] γράφεται καὶ ἐξεπόνασας τινὲς τὸν ὅλον ἐνιαυτὸν, δύναται ἔτος, οὐ πάντως τὸ δωδεκάμηνον λέγειν, ἀλλὰ τὴν τῶν ὡρῶν μεταβολήν· διαιρεῖται δὲ εἰς δ. τὸ γοῦν ἔαρ ὁ Θεόκριτος ὥριον εἶπε· τουτέστι τὸν τριμηνιαῖον καιρόν. διὰ γὰρ τοῦ τριμηνιαίου καιροῦ, πληροῦνται αἱ τέσσαρες ὧραι τοῦ χρόνου. ἢ εἰς ὥρας παρελθὼν, ἢ εἰς δύο μῆνας τοῦ ἔαρος.

86 Αἴθ' ἐπ' ἐμοῦ] Δωρικὸν τὸ αἴθε, Ἰωνικὸν τὸ εἴθε. ἔστι δὲ ἐπίρρημα εὐκτικόν. τὸ δὲ ἦμες, ἀντὶ τοῦ εἶναι, Δωρικῶς.

87 Ὥς τοι ἐγὼ ἐνόμευον] τὸ πᾶν ἵνα ἐγὼ τὰς καλάς σου αἶγας κατὰ τὰ ὄρη ἔβοσκον, τῆς σῆς φωνῆς ἀκούων. σὺ δὲ ὑπὸ δρυσὶν, ἢ ὑπὸ πεύκαις ἡδέα μελίζων, ἤγουν, ᾄδων κατέκεισο θεῖε Κομάτα. καὶ οὗτος μὲν τοσαῦτα εἰπὼν ἐπαύσατο. μεθ' ὃν αὖθις κἀγὼ τοιαῦτα ἔφαν· ἀντὶ τοῦ, οὕτως ἔφην.

91 Λυκίδα φίλε πολλὰ μὲν ἄλλα νύμφαι κἠμὲ δίδαξαν] ἐν εἰρωνείᾳ ὡς πρὸς αἰπόλον. ἐγὼ μὲν



© Centre d'Études Supérieures de la Renaissance - Tours

γὰρ εἰπεῖν, αἱ μοῦσαι. εἰ μή τις παρέργως τὰς νύμφας ἀκούει μούσας. οὕτω γὰρ αὐτὰς οἱ Λυδοὶ καλοῦσιν.

93 Ζωὸς ἐπὶ θρόνον ἄγαγε φάμα] ἐπὶ τὴν τοῦ Διὸς βασιλείαν. λέγει δὲ τὸν οὐρανόν.

94 Ἀλλὰ τόγ' ἐκ πάντων] ἀλλὰ ἐκ πάντων τοῦτό ἐστι καὶ τὸ πολὺ ὑπερέχον, ὅπερ ᾄδειν ἄρξομαι. ἀλλ' ἐπάκουσον. ¶ ὅ, ττι κ' ἀείδειν] τὸ ὅττι κ' ἀείδειν, γράφεται καὶ, ᾧ τι γεραίρειν, ἐν τισιν ἀντιγράφοις. καὶ λέγει, ᾧ τινί σε τιμήσω ἢ δι' οὗ, ἵν' ᾖ γυνική. τὸ δὲ ἐκ πάντων, ἀντὶ τοῦ, ὁ μέλλω λέγειν, περὶ τὰ ἄλλα διενήνοχε.

95 ἐπεὶ φίλος ἔπλεο μοίσαις] ἐπεὶ φίλη ὑπὸ τῶν μουσῶν. τουτέστιν, ἐπεὶ μουσικὸς εἶς. ἀρχὴ τῆς ᾠδῆς ὁ Θεόκριτος.

96 Σιμιχίδᾳ μὲν ἔρωτες ἐπέπταρον] καθὸ τῶν πταρμῶν, οἱ μὲν εἰσὶν ὠφέλιμοι, οἱ δὲ βλαβεροί, καὶ γὰρ φησιν αὐτὸς, σφόδρα Μυρτοῦς ἐρᾷ. ὁ δὲ Ὅμηρος, ἐπ' ἀγαθῷ τὸν πταρμὸν φησίν· Οὐχ' ὁρᾷας ὅ μοι υἱὸς ἐπέπταρεν. ἢ γὰρ περὶ ἑαυτοῦ ὁ ποιητὴς φησί. τῷ Σιμιχίδῃ οἱ ἔρωτες ἐπέπταρον. τῆς γὰρ Μυρτοῦς τοσοῦτον ἐρᾷ, ὅσον αἱ αἶγες ἔαρος. τὸν δὲ πταρμὸν, ἐπὶ τῇ χείρονι μοίρᾳ.

98 Ὤρατος δ' ὁ τὰ πάντα φιλαίτατος κείνῳ τἀνδρὶ] ὁ Ἄρατος δὲ ὁ κατὰ τὰ πάντα φίλτατος ἐκείνῳ τῷ ἀνδρὶ, ἤγουν τῷ Σιμιχίδῃ, ἔχει πόθον παιδὸς ἐντὸς τῶν σπλάγχνων· τουτέστιν, ἐν τῇ καρδίᾳ. ὁ Ἄρατος δὲ τοῦ Σιμιχίδα φίλος ὢν, ἤρα παιδός. ᾔδει δὲ καὶ ἠπίστατο αὐτοῦ τὸν ἔρωτα Ἄριστις ὁ κιθαρῳδός. ὄνομα δὲ τῷ ἐρωμένῳ παιδὶ, Φιλῖνος.

99 οἶδεν Ἄριστις] τὰ περὶ Ἀρίστιδος, διὰ μέσου κεῖται. τὸ δὲ ἑξῆς, οἶδεν ὁ Ἄριστις, ὡς ἐκ παιδὸς Ἄρατος. καὶ τὰ λοιπά. τοῦτον δέ φησι τὸν Ἄριστιν, οὐδὲ ὁ Ἀπόλλων ἐν Πυθῶνι παρὰ τοῖς ἰδίοις τρίποσι κιθαρῳδοῦντα ἰδὼν, ἀποστραφήσεται, οὐδὲ φθονήσει αὐτῷ ᾄδειν ἐκεῖ. Ἄλλως. Οἶδεν Ἄριστις] οἶδεν ὁ Ἄριστις ὁ κιθαρῳδὸς ὁ ἀγαθὸς ἀνὴρ, ὁ μέγα ἄριστος, ὃν ᾄδειν σὺν φόρμιγγι, οὐδὲ αὐτὸς ἂν Φοῖβος παρὰ τῷ τρίποδι μεγαίροι· ἀντὶ τοῦ μέμψαιτο, ὅπως ἕνεκα παιδὸς ὁ Ἄρατος, καίεται ὑπὸ ἔρωτος ὑπ' ὀστέον· ἤγουν, μέχρι μυελῶν. ἡ ὑπὸ, τὸ ἐντὸς δηλοῖ ἐνταῦθα.

100 μέγ' ἄριστος] ἀντὶ τοῦ καὶ πολὺ ἄριστος· ποιητῶν δὲ καὶ αὕτη ἐστὶν ἐξουσία, τὸ, ὑπερθετικοῖς χρῆσθαι μετὰ ἐπιτάσεως.

101 μεγαίροι] τὸ μεγαίρειν, τὸ φθονεῖν δηλοῖ. ἐνταῦθα δὲ τὸ μεγαίροι, ἀντὶ τοῦ μέμφοιτο λέγεται. συνήθες δὲ τοῦτο τοῖς ποιηταῖς, τῷ φθονεῖν, ἀντὶ τοῦ μέμφεσθαι χρῆσθαι, καὶ φθόνῳ ἀντὶ τῆς μέμψεως, ὡς παρ' Εὐριπίδῃ· Ὡς ἀποκτείνειν φθόνος γυναῖκας, αἳ τὸ πρῶτον οὐκ ἐκτείνατο.

103 Τόν μοι, Πὰν, Ὁμόλας] ἐπικαλεῖται τὸν Πᾶνα, ἐπεὶ καὶ αὐτὸς τοιοῦτός ἐστιν. Ὅμολος δὲ Θετταλίας ὄρος, ὡς Ἔφορος, καὶ Ἀριστόδημος ὁ Θηβαῖος, ἐν οἷς ἱστορεῖ

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἱστορεῖ περὶ τῆς ἑορτῆς τῶν Ὁμόλων· καὶ Πίνδαρος ἐν τοῖς ὑπορχήμασιν. ἡ Ὅμολος ὄρος Θετταλίας ἔνθα τιμᾶται ὁ Πὰν εὔχεται δὲ αὐτῷ ὡς παιδεραστῇ. ὁ νοῦς· ὃν παῖδα δηλονότι δεῖ ἐμὴν χάριν ὦ Πὰν, ὃς ἔλαχες τὸ ἐπήρατον χωρίον τῆς Ὁμόλης ὄρος γὰρ Θετταλίας ὁ Ὅμολος ἄκλητον, ἤγουν μὴ κεκλημένον, αὐθόρμητον, εἰς τὰς ἐκείνου τοῦ Ἀράτου χεῖρας ἄγων ἐμβάλλοις· αὐτὶ τοῦ ἄγων ἔμβαλον. λέγω, εἴτε ποτὲ Φιλῖνος ἐστὶν ὁ τρυφερὸς· εἴ τε τις ἄλλος.

105 Φιλῖνος] ὁ μαλθακός· μαλθακὸς ὁ τρυφερὸς, ἐκ τῆς μάλθης. αὕτη δέ ἐστι κηρὸς ἀμόλγῃ συνεψημένος. χρίουσι δὲ αὐτῇ τὰς τῶν σανίδων γραμφώσεις. ἀφ' οὗ διὰ τὴν ἔκλυσιν καὶ τὸ τρυφερὸν, καὶ ἐν τῷ βίῳ λοιδόρημα λέγεται

106 Κὴν μὲν ταῦθ' ἔρδοις] καὶ ἐὰν μὲν τοῦτο ποιήσῃς, ὦ Πὰν φίλε, εἴθε μηδαμῶς σε οἱ παῖδες οἱ Ἀρκαδικοὶ μαστίζοιεν ὑπὸ τὰς πλευρὰς καὶ τοὺς ὤμους τὴν ἰκαῦτα, ὅτε ὀλίγα κρέα παρείη. ἑορτὴ φασὶν ἐτελεῖτο ἐν τῇ Ἀρκαδίᾳ, ἐν ᾗ οἱ παῖδες τὸν Πᾶνα σκίλλαις ἔτυπτον, ὅτε οἱ χορηγοὶ λεπτὸν ἱερεῖον ἔθυον, καὶ μὴ ἱκανὸν τοῖς ἐσθίουσιν. Ἄλλως Παῖδες Ἀρκαδικοί] οἱ Ἀρκάδες ἐπὶ θήραν ἐξιόντες, εἰ μὲν εὐθηρίας ἔτυχον, ἐτίμων τὸν Πᾶνα· εἰ δὲ τοὐναντίον, σκίλλαις εἰς αὐτὸν παροινοῦσι παρόσον ὠρείων τῆς θήρας ἐπιστατεῖ. Μουνάτος δέ φησιν ἑορτὴν Ἀρκαδικὴν εἶναι, ἐν ᾗ οἱ Παίονες τὸν Πᾶνα σκίλλαις βάλλουσι· χρὴ δὲ, ὅταν οἱ χορηγοὶ λεπτὸν ἱερεῖον θύωσι, καὶ μὴ ἱκανὸν ᾖ τοῖς ἐσθίουσι. διὰ φησὶ κρέα, τυτθὰ παρείη· τῶν ἐφήβων ἐν Σικελίᾳ γίνεται ἀγὼν ἐν σκίλλαις· καὶ νικήσαντες, ταῦρον ὑπὸ τῶν γυμνασιαρχῶν τιθέμενον, λαμβάνουσιν ἔπαθλον.

109 Εἰ δ' ἄλλως νεύσαις] εἰ δ' ἄλλως ὦ Πὰν τὰ κατὰ τὸν Φιλῖνον τελέσαις, καὶ μὴ βούλει συνελθεῖν αὐτὸν τῷ Ἀράτῳ, ἐπὶ κνιδῶν κοιμηθείης. τὸν δὲ Πᾶνα φασὶ γεννηθῆναι ἐκ τῆς Πηνελόπης, συλλαβούσης ἐκ τῶν μνηστήρων. διὸ καὶ Πὰν καλεῖται, ὅτι ἐκ πάντων ἐσπάρη. ἕτεροι δὲ λέγουσι τὸν Ἑρμῆν εἰς τράγον μεταβληθέντα· τούτου ἐρασθεῖσα ἡ Πηνελόπη, καὶ ἐξ αὐτοῦ ὀχευθεῖσα, ἔτεκε τὸν Πᾶνα· ἐστὶ δὲ ὁ Πὰν τραγόπους.

110 καὶ ἐν κνίδαισι καθεύδοις] κνίδη ὑφ' ἡμῶν, ἀκαλύφη δὲ ὑπὸ τῶν Ἀττικῶν. ἔστι δὲ ἀγρία κνίδη, ἧς τὸν καρπὸν συλλέγουσιν, ὅταν τὸν πυρὸν ἀλῶσιν. ἔστι δὲ καὶ ἄγριον λάχανον.

111 Εἴης δ' Ἠδωνῶν ἐν ὄρεσιν] ἔθνος Θρᾴκης. οὕτω δὲ ψυχροτάτη ἐστὶν ἡ Θρᾴκη, ὡς τρόπον τινὰ ἐργαστήριον ἀνέμων κληθῆναι. Ὅμηρος· Βορέης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον. Ἄλλως. Οἱ Ἠδωνοὶ, ἔθνος Θρακικόν. Ἔνθα ψύχος πολὺ γίνεται, δυσχείμερον γάρ ἐστι. παρὸ καὶ τοὺς ἀνέμους ἐν αὐτῷ κατοικεῖν ἐμυθεύσαντο.

112 Ἕβρον πὰρ ποταμὸν Ἀλκαῖος· Εὖρος κάλλιστος ποταμῶν

© Centre d'Études Supérieures de la Renaissance - Tours

Διοκλῆς δὲ καταφέρεσθαι αὐτὸν ἀπὸ Ῥοδόπης, καὶ ἐξερεύγεσθαι κατὰ πόλιν Αἶνον.

114 Πέτρα ὑπὸ Βλεμύων] λέγω ὑπὸ τῇ πέτρᾳ, ἤγουν τῷ ὄρει τῶν Βλεμύων, ἀφ' οὗ ὁ Νεῖλος οὐδαμῶς ἐστιν ὁρατὸς, ἤγουν βλέπεσθαι δυνάμενος. ἔθνος Αἰθιοπικὸν οἱ Βλέμυες, ἐν τοῖς ἐσχάτοις τῆς Αἰθιοπίας ᾠκισμένον. Ἄλλως. Βλέμυες, ἔθνος Αἰθιοπικὸν μελανόχροον· οἱ αὐτοὶ δὲ τοῖς Τρωγλοδύταις. ¶ οὐκέτι Νεῖλος ὁρατός] οὐ πάνυ δὲ ἐπαληθεύει τὸν Νεῖλον ἀθέατον εἰπὼν, ἢ τοὺς Βλέμυας. οὐκέτι γινώσκεται ὁ Νεῖλος πόθεν ἔχει τὰς πηγάς. Νεῖλος δὲ ἀπὸ Νειλέως, ὃς μετὰ μάχην ἔκτισεν Εὐκράτην. ἢ ἀπὸ τοῦ νάειν λαίως, ὅ ἐστι κατὰ ἀναστροφήν. ἢ παρόσον νέαν ἰλὺν φέρει. ἢ κατ' ἔτος πλημμυρῶν, ὡρισμένον χρόνον νεάζειν δοκεῖ.

115 Ὕμμες δ' Ὑετίδος καὶ Βιβλίδας] ποιησάμενος τὸν λόγον πρὸς τὸν Πᾶνα, πρὸς τοὺς ἔρωτας τὸν λόγον ἀπέστρεψεν ἐπικαλούμενος αὐτούς. καὶ φησίν· ὦ μήλοις ὅμοιοι ἔρωτες· τουτέστιν, ἐρυθροί, Ὑετίδος καὶ Βυβλίδος νᾶμα λιπόντες, καὶ τὰ ἑξῆς, ἐρασθῆναι ποιήσατε τὸν Φιλῖνον. Ὑετὶς δὲ καὶ Βυβλὶς, ὄρη Μιλήτου, καὶ κρῆναι. Μιλήτου γὰρ φασὶ καὶ Ἀρείας ἐγένοντο παῖδες Δαῦνος καὶ Βυβλίς. ἧς ἐρασθεὶς ὁ Δαῦνος, ἀπέλιπε Μίλητον. ἐκείνη δὲ μὴ φέρουσα, ἀπήγξατο. ταύτης ἡ κρήνη ἐπώνυμος. 116 καὶ οἰκεῦντες ξανθᾶς ἕδος] καὶ οἰκοῦντες τὸν ὑψηλὸν χῶρον τῆς ξανθῆς Διώνης ἤγουν, τὸν ἀφιερωμένον τῇ ξανθῇ Διώνῃ, τῇ μητρὶ τῆς Ἀφροδίτης.

118 Βάλλετέ μοι τόξοισι τὸν ἱμερόεντα] βάλλετε τοῖς ὑμετέροις τόξοις, ἢ τοξεύετε δι' ἐμὴν χάριν τὸν ἐπέραστον Φιλῖνον· ἐπεὶ τὸν ἐμὸν φίλον οὐκ ἐλεεῖ ὁ δύσμορος ἤγουν, ὁ κακῶς ἀποθανούμενος, ὁ κακῶς ἀπολούμενος.

120 ἀπίοιο πεπαίτερος] ἀπίου χαυνότερος. ἀσθενέστερος γένοιτο δηλονότι ὁ Φιλῖνος.

121 τό τοι καλὸν ἄνθος] τὸ καλὸν ἄνθος σου. ἤγουν ἡ ἀνθηρὰ καὶ εὔμορφος ὄψις σου διαρρεῖται, φθείρεται.

122 Μηκέτι τοι φρουρέωμες] ἀπέστρεψε τὸν λόγον πρὸς τὸν Ἄρατον, καὶ φησὶ, μηδαμῶς εἰς τὰ ἑξῆς Ἄρατε, ἐπὶ τοῖς προθύροις τῶν ἐρωμένων σκοπῶμεν.

123 Μηδὲ πόδας τρίβωμες] μηδὲ τοὺς πόδας ἡμῶν κατατρίβωμεν· ἤγουν, καταπονῶμεν, ἐπὶ τὴν ζήτησιν αὐτῶν δηλονότι κινοῦντες αὐτούς. Ἄλλως. ἀποστρέφει τὸν λόγον πρὸς τὸν Ἄρατον, καὶ φησὶ, μηκέτι αὐτὸν φυλάσσωμεν ἐπὶ τῶν προθύρων τοὺς πόδας κατατρίβοντες, καὶ ὁ ἀλέκτωρ λυπεῖ ἡμᾶς, ἅμα τῇ ᾠδῇ τῶν ἀλεκτρυόνων ἐγειρομένων καὶ φρουρούντων τὸν Φιλῖνον. ἢ ὁ δὲ ἀλέκτωρ κοκκύζων ὄρθριος, ἀντὶ τοῦ κατὰ τὸν ὄρθρον, ἄλλον διδότω ἀπεξίαις ἀλεγειναῖς. τοῦτο δέ φησιν, ἐπεὶ μετὰ τὰς φωνὰς τῶν ἀλεκτόρων διεγειρομένων ἤδη τῶν ἀνθρώ-

πων

© Centre d'Études Supérieures de la Renaissance - Tours

πων ἐπὶ τὰ ἔργα, ἐν ἀπραξίᾳ γίνονται οἱ ὡς κρυφίους ζητοῦντες ὁμιλίας.

125 Εἷς δ' ὑπὸ τοῖσδε φέροιτο Μόλων] ἀλλὰ εἷς ἐξ ἡμῶν ὁ Μόλων, ἢ μολὼν, ἐπὶ τούτοις τῆς παλαίστρας τῇ φυλακῇ καρτεροπαθείτω. πάλιν δὲ εἶπε τὴν παρακαρτέρησιν, ἤτοι τὴν πρὸς τὸν ἐρώμενον πάλην. Ἄλλως. ἡμῶν φησὶν εἷς καὶ μόνος ὁ Μόλων, ἐπὶ τούτοις τῆς παλαίστρας ἀπάγχεσθαι μεταδιώκων αὐτὴν δηλονότι. λέγει δὲ τὴν παλαίστραν κυρίως, ἐν ᾗ ἐγυμνάζετο Φιλῖνος προσλιπαρούντων αὐτόν. ἢ μεταφορικῶς, ὡς καὶ ἡμεῖς φαμὲν, ὀρθῶσαι τὴν παλαίστραν. Μόλων καὶ Σίμων, Ἀράτου ἀντερασταί. παλαίστραν δὲ λέγει, τὸν ἔρωτα τοῦ παιδὸς, καὶ τὴν καρτεροπάθειαν. ὁ Μόλων, ὀνοματικῶς εἴρηται. δύναται δὲ μολὼν μετοχὴ εἶναι, ἀντὶ τοῦ μετερχόμενος.

126 Ἄμμιν δ' ἁσυχία] ἡμῖν δὲ ἡσυχία μελέτω καὶ γραῖα, ἥ τις ἐπᾴδουσα τὰ μὴ δεξιῶς ἡμῖν προσχωροῦντα, χωρὶς ἡμῶν ἀποπέμπουσα κατέχοι.

127 Ἃ τοῖς ἐπιφθύσδοισα] ἥτις διὰ ἐπαοιδῶν, τὰ καθ' ἡμᾶς ἀποδιοπομπήσαιτο. φθύζειν δὲ τὸ πτύειν. εἰώθασι δὲ αἱ γραῖαι ὅταν ἐπᾴδωσιν ἐπιπτύειν, τινὲς δὲ, ὀλίγῳ χρόνῳ συμπαρεδοῦσα.

128 Τόσσ' ἔφαμαν] ταῦτα ἔφην ¶ ὁ δέ μοι τὸ λαγωβόλον ἀδὺ γελάξας, Ὡς πάρος] αὐτὸς δέ φησιν, ἡδὺ γελάσας, ὡς πρότερον ἐπεγέλασε, διὰ τὴν μουσικὴν ᾠδὴν ἣν ᾖσα, δῶρόν μοι ἔδωκε τὸ λαγωβόλον εἶναι, ὥσπερ ἄνωθεν ἠγόρευσεν. εἶπε. εἴρηται δὲ, παρὰ τὸ βάλλειν τοὺς λαγωούς. ¶ ἀδὺ γελάξας Ὡς πάρος] ἡδέως γελάσας, καθάπερ πρότερον ἐγέλασεν, ἕνεκα τῶν μουσικῶν τουτέστι τῆς ἐμῆς ᾠδῆς, δῶρον φιλικὸν ἔδωκεν εἶναι τὸ λαγωβόλον δηλονότι.

130 Τὰν ἐπὶ Πύξας] Πύξα δῆμος τῆς Κῶ, ἢ τόπος οὕτως ὀνομαζόμενος, παρὰ τὴν φύξιν τοῦ Ἡρακλέους τὴν ὑπὸ τῶν Κῴων γενομένην. Ἄλλως, οἱ μὲν τὸν ἐν Κῷ δῆμον· οἱ δὲ τόπον ἐν ᾧ ἱερὸν Ἀπόλλωνος, ἀφ' οὗ Πύξιος λέγεται. ἤγουν τὴν ἐπὶ Πύξαν φέρουσαν ὁδὸν ἐβάδιζεν. ἡ Πύξα ὄνομα πόλεως, ἀφ' ἧς καὶ Πύξιος Ἀπόλλων, καὶ Πάν. ἤγουν, Φύξα τις ὤν. ἐκεῖθεν γὰρ ἔφυγεν Ἡρακλῆς, ἀφνῆς ἐπιθεμένων αὐτῷ τῶν Κῴων.

133 Ἀδείας χοίνοιο] ἔξωθεν δεῖ προσλαμβάνειν τὸ πηγνύμενοι κατεκλίθημεν. χοίνοιο, ἤγουν ἀπὸ σχοίνου γεγενημένης, καὶ ἀπὸ φύλλων ἀμπέλου.

134 οἰναρέοισιν] κυρίως τὰ φύλλα τῆς ἀμπέλου. Φανίας δέ φησιν οἰναρίζειν, τὸ περιαιρεῖν τῶν οἰναρέων καὶ τρυγᾷν. δεῖ γὰρ καὶ οἰναρίζειν τὰς ἀμπέλους, ἐπειδὰν πεπαίνωσιν οἱ βότρυες.

135 Πολλαὶ δ' ἄμμιν] πολλαὶ δὲ αἴγειροι καὶ πτελέαι ἐπάνω κατὰ τῆς κεφαλῆς ἡμῶν, ἐδονοῦντο, ἤγουν ὑπὸ τοῦ πνεύματος ἐκλονοῦντο, ἐκινοῦντο. 138 ὀροδαμνίσι] σκιὰν ποιούσαις, πολυφύλλοις. ὀροδαμνίδας δὲ

© Centre d'Études Supérieures de la Renaissance - Tours

παντὸς δένδρου τοὺς κλάδους λέγει. Μέναλος δὲ ἐτυμολογεῖ, οἷον ἐν ὄρεσι θάμνοι. Ἄλλως. ὀροδάμνους λέγουσι κυρίως καὶ ὀροδαμνίδας, τοὺς ἐν ὄρει θάμνους. ἀπὸ τούτου δὲ λέγονται ἁπλῶς οὕτω, καὶ οἱ κλάδοι τῶν δένδρων. ὡς ἐν τούτοις· πάντας δ' ἀκρέμονας τε καὶ εὐθαλέας ὀροδάμνους Κέκλασμαι. ¶ αἰθαλίωνες Τέττιγες] Αἰθαλίωνες οἱ τέττιγες, παρὰ τὸ αἴθεσθαι ὑπὸ καύματος. ὅταν γάρ ἐστι νότος καὶ καῦμα, μᾶλλον φθέγγονται. ἢ αἰθαλίωνες, οἱ αἰθαλώδεις, διὰ τὸ αἴθεσθαι ὑπὸ τοῦ ἡλίου. οἱ δὲ τέττιγες οἱ αἰθαλίωνες, ἤγουν οἱ τῇ θέρμῃ τοῦ ἡλίου χαίροντες, πόνον εἶχον, ἤγουν ἐπόνουν ᾄδοντες ἐπὶ τοῖς κλάδοις τοῖς σκιεροῖς, δασέσι, τοῖς σκιὰν ἐμποιοῦσι, τῇ συνεχείᾳ τῶν φύλλων.

139 αἱ δ' ὀλολυγόνες] ἡ χελιδὼν, ἡ τὸν Ἴτυν ὀλοφυρομένη, ἢ ὀλολυγὼν, εἶδος ὀρνέου ἐστὶ δὲ ζῶον τὸ ἐν βορβορώδεσι τόποις μάλιστα διάγον, ἢ ἀηδών. ὀλολυγὼν δὲ ἀπὸ τοῦ ὀλολύζειν. ὁ δὲ Ἀριστοτέλης φησὶ, πάνυ ὀλολύζειν τὸ ζῶον ἐν τοῖς ἑλώδεσι τόποις, καὶ κατὰ τὴν νύκτα ἔχειν πόνον. πολλὰ τῶν ζώων ἀπὸ φωνῆς ἔχει τὴν κλῆσιν· ὀλολύζω, ὀλολυγών· στρίζω, στριγών· ἀηδῶ, ἀηδών· τρύζω, τρυγών· πλάσσω, πλαγών· κοκκύζω, κόκκυξ. 141 καὶ ἀκανθίδες] Ἀκανθὶς δὲ ὄρνεόν ἐστι ποικίλον καὶ λιγυρόν. καλεῖται δὲ καὶ ποικιλὶς, διὰ τὴν χροιάν. Ἀριστοτέλης δὲ καὶ Ἀλέξανδρος φασὶ διατρίβειν ἐπὶ ἀκανθῶν. τοῦτο νῦν Θεόκριτος ἀκανθίδα εἶπεν. ἢ ἀκανθίδες, ὄρνεα νεμόμενα ἐπ' ἀκανθῶν. λέγονται δὲ καὶ ἀκανθυλλίδες. εἰσὶ ποικίλοι τὴν χροιάν. ὅθεν καὶ ποικιλίδες λέγονται. φησὶ δὲ Ἀριστοτέλης τὸ αἷμα αἰγίθου καὶ ἀκανθίδος μὴ μίγνυσθαι.

143 μελαμπίονος] κατὰ πολὺ πλούσιος. ἤγουν, εὐκάρπου ἢ πίονος, λιπαροῦ, λαμπροῦ. μεταφορικῶς ἀπὸ τῶν εἰς αἴσθησιν πιπτόντων ὀφθαλμικῶν. ἢ πίονα εἶπε τὸν καιρὸν τοῦ θέρους, διὰ τὸ ἐν αὐτῷ συλλέγεσθαι τοὺς καρπούς.

144 Ὄχνα μὲν πὰρ ποσσὶ] ἄπιοι μὲν παρὰ τοῖς ποσὶν ἡμῶν πλουσίως ἐκυλίοντο. οἱ δὲ κλάδοι ἐκλίνοντο εἰς τὴν γῆν βραβύλοις καταβαρυνόμενοι. βράβυλα, τὰ κοινῶς κοκκύμηλα, ἤγουν, δαμασκηνά. καλῶς δὲ, ἔφη, τὰ μῆλα ταῖς πλευραῖς περικρεμάννυσθαι· τὸ γὰρ μῆλον τῆς Ἀφροδίτης, καὶ τὸ ἐπιθυμητικὸν περὶ τὰ σπλάγχνα εἶναι, τὰ δὲ σπλάγχνα περὶ τὰς πλευράς.

147 Τετράενες δὲ, ἤγουν τετραετὲς Ἀττικῶς· ἢ τὸ ἓν ἔτος κατά τινας. ¶ ἔχοισαι] αἱ οἰκοῦσαι τὸ ὕψος τοῦ Παρνασσοῦ. ὄρος ἐν τοῖς Δελφοῖς ὁ Παρνασσὸς, ἐν ᾧ ἦν τὸ μαντεῖον τοῦ Ἀπόλλωνος.

148 Νύμφαι Κασταλίδες] θαυμάσας τὴν πόσιν τοῦ οἴνου, τρέπει τὸν λόγον πρὸς τὰς νύμφας, καὶ πυνθάνεται αὐτῶν, ἐπεὶ αὗται τὴν κρᾶσιν τοῦ οἴνου ἔχουσι. Κασταλίδας δὲ εἶπεν αὐτὰς, ἀπὸ Κασταλίας τῆς ἐν Δελφοῖς κρήνης,

© Centre d'Études Supérieures de la Renaissance - Tours

τως, ἔνθα καὶ διατρίβουσι.

149 Ἆρά γέ πα τοιόνδε Φόλω κατὰ λάϊνον] κατὰ τὸ λίθινον σπήλαιον τοῦ Φόλου. Ἱπποκένταυροι ἦσαν ὁ Χείρων καὶ ὁ Φόλος. ἀδολεσχίαν δὲ ἔχει, τὸ, λίθινον σπήλαιον. Ἄλλως. Φόλος ὄνομα Κενταύρου ᾧ ἐπιξενωθεὶς Ἡρακλῆς, οἶνον ἔπιε καλὸν ἐκ Διονύσου δοθέντα. συνῴκει δὲ αὐτῷ καὶ Χείρων. Ἄλλως. οἱ μὲν τὸ Πήλιον, οἱ δὲ τὴν ἐν Ἀρκαδίᾳ Φολώην. ἐν ἀμφοτέροις γὰρ ᾤκησε Χείρων, καὶ Φόλος, ὑφ' οὗ ξενισθέντα τὸν Ἡρακλέα φασὶ πολλά. ὁ μὲν τοι οἶνος ὁ δοθεὶς ὑπὸ Διονύσου χαριστήριον, ἀνθ' ὧν Νάξον προσένειμεν ὁ Φόλος, κελευόμενος παρ' αὐτὸν εἰς τὸν Ἥφαιστον. Φόλω δὲ ἀντὶ τοῦ Φόλου. οἱ γὰρ Δωριεῖς τὴν ου δίφθογγον, εἰς ω μέγα τρέπουσι. ποιεῖ δὲ τὸν Χείρωνα, συνυποδεχόμενον τῷ Φόλῳ τὸν Ἡρακλέα. νέκταρ δὲ διὰ τὴν ἡδονὴν, τὸν οἶνον εἶπε τοῦ Ὀδυσσέως. τὸ δὲ χορεῦσαι τὸν Κύκλωπα, ἐξ Εὐελπίδου μετήνεγκε.

151 τὸν ποιμένα τὸν ποκ' ἀνάπω] Ἄναπος, ποταμὸς ἐν Συρακούσαις τῆς Σικελίας οἱονεὶ ἀνυπόσιως ὤν, καὶ ἀβληχρὸν ἔχων ὕδωρ. ποιμένα δὲ τὸν Πολύφημον τὸν Κύκλωπα λέγει, ὃς αὐτοῖς λίθων, ὄρη ἔβαλλεν ἢ τοὺς ἐν τοῖς ὄρεσι λίθους, ὡς Δημήτριός φησι, τοὺς πεπλωκότας οὐκ οἶδ' ὅπῃ φιλότης.

154 διεκρανώσατε νύμφαι] κατ' ἀντίφρασιν, ἀντὶ τοῦ διεκεράσατε. μᾶλλον ἐμεθύσατε, καὶ ἀποκαλυφθῆναι ἐποιήσατε· ἢ ἐκπηγάσατε. ὥσπερ δὲ θύρας ἀπὸ δὲ κρηδέμνου ἔλυσαν, καθ' Ὅμηρον.

155 πὰρ Δάματρος ἀλωάδος] ἡ Δημήτηρ παρὰ τὴν ἅλω, ἀλωάς, ἀλωῒς, καὶ ἀλωαὶ λέγεται.

155 ἇς ἐπὶ σωρῷ] ὅταν δὲ λικμῶνται καὶ σωρεύωσι τὸν πυρὸν, κατὰ μέσον πηγνύουσι τὸ πτύον καὶ τὴν θρίνακην κατέθεντο. τὴν δὲ αἰτίαν εἶπεν ἐκ Τριπτολέμου.

Ἆς ἐπὶ σωρῷ πάξαιμι] εἰώθασι γὰρ ἐκτρίψαντες τοὺς καρποὺς καὶ σωροὺς ποιήσαντες, τὸ πτύον πῆξαι. αὐτῆς δὲ λέγει τὸν σωρὸν, ὅτι αὐτὴ δίδωσιν αὐτόν.

156 ἁ δὲ γελάσαι] ἱλαρὰ γένοιτο, γελάσειεν. εὐφορίαν δηλοῖ, ὅτι καρπῶν δίδωσι.

157 Δράγματα καὶ μάκωνας] δράγματα, τὰ πλεκώματα φησί, τοὺς σωροὺς, ἢ τοὺς θημῶνας τὴν Δήμητραν φησὶ μὴ μόνον ἀστάχυς, ἀλλὰ καὶ μήκωνας ἔχειν διὰ τοῦ ἀμφοτέραις δὲ, τὸ διψιλὲς ἐμφαίνει λείπει τὸ, χερσί· μὴ γὰρ τῇ μιᾷ χειρί.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ η'.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον, Βουκολιασταί. Δάφνις, καὶ Μενάλκας. μικτὸν διηγηματικόν.

Δάφνιδι τῷ χαρίεντι συνήντετο βουκολέοντι, Μᾶλα νέμων, ὥς φαντι, κατ' ὤρεα μακρὰ Μενάλκας. Ἄμφω τώ γ' ἤστην πυρροτρίχω, ἄμφω ἀνάβω] Ὁ Μενάλκας, ὥς φασι, προβατοβοσκῶν κατὰ τὰ ὄρη τὰ ἐπιμήκη,

© Centre d'Études Supérieures de la Renaissance - Tours

συνώτησε Δάφνιδι τῷ χαρίεντι βοῦς νέμοντι.

3 Ἄμφω τώγ' ἤτην πυρροτρίχω] ἀμφότεροι οὗτοι ἦσαν πυρρότριχες. ἀμφότεροι δὲ ἄνηβοι, ἤγουν ἀτελεῖς ἐπὶ τὴν ἡλικίαν. ἔνηβοι γὰρ, οἱ πεντεκαιδεκαετεῖς καὶ προσωτέρω. ἄνηβοι δὲ οἱ δωδεκαετεῖς καὶ κατωτέρω. ἀμφότεροι δὲ διὰ σύριγγος μέλπειν δεδιδαγμένοι. ἀείδειν δέ ἐστι, τὸ κοινῶς τραγῳδεῖν. 6 Μυκητᾶν ἐπίουρε βοῶν] ἀντὶ τοῦ μυκητῶν. ἐπίουρε δὲ, ἀντὶ τοῦ ἐπίσκοπε, φύλαξ. καὶ Ὅμηρος· Ὅστ' οἷον ἐπίουρος, καὶ, ὃς Κρήτην Μίνωα τέκε. γίνεται δὲ ἡ λέξις, ἀπὸ τοῦ ὠρῶ, τὸ φυλάσσω. Ἐθέλεις μοι ἀεῖσαι. θέλεις ἐρίσαι πρὸς ἐμὲ ᾄδων. διατείνομαί σε νικῆσαι ἐγὼ ᾄδων, καὶ τοσοῦτον καθόσον ἐθέλω.

8 Τὸν δ' ἄρα χ' ὠ Δάφνις] πρὸς τοῦτον καὶ ὁ Δάφνις ἠμείψατο, ἀπεκρίνατο, διὰ τούτου τοῦ λόγου· ὦ Μενάλκα συρικτά, ἤγουν, συρικτὶ μέλπειν εἰδὼς, ἢ μεγάλως συρίζειν δυνάμενος, ποιμὴν προβάτων, ἐξ ὧν τὰ ἔρια τὰ εἰς πόκους ἐπιτήδεια. οὐδέποτέ με σὺ νικήσεις, οὐδὲ ὅπως διαπεθείης. ἢ οὐδ' εἰ διαῤῥαγείης ᾄδων. ἢ παρὰ τὸ ἐν τῇ συνηθείᾳ, οὐδὲ ἐὰν ἀποθάνῃς, ἢ ἐὰν ἀπάγξῃ.

11 Χρῄσδεις δ' ὦν] θέλεις οὖν ἰδεῖν καὶ γνῶναι, καὶ ἔργοις μαθεῖν ὅτι σοῦ καλλίων εἰμὶ δηλονότι. θέλεις καταθεῖναι ἆθλον; ἆθλον τὸ διδόμενον τῷ νικήσαντι τὸν ἀγῶνα. ἐνταῦθα δὲ ἆθλον, τὸ κοινῶς λεγόμενον στοίχημα, ὃ λήψεται ὁ νικήσας κατὰ τὴν ᾠδήν.

26 Τῆνον πῶς ἐνταῦθα τὸν αἰπόλον] ἀντὶ τοῦ, ἄγε δή πως ἐκεῖνον ἐφ' ἡμᾶς καλέσωμεν· ἢ, ἐκεῖνον τὸν αἰπόλον, οὗ παρὰ ταῖς ἐρίφοις ὁ κύων ὑλακτεῖ ὁ λευκός. ἐκέλευεν αὐτῷ ἡμᾶς. Ἄλλως Τῆνόν πως ἐνταῦθα τὸν αἰπόλον λέπτε τὸ σκόπει. ἵνα ἢ, σκόπει, ἐὰν καλέσωμέν πως, ἤγουν ἵνα τρέπει τὸν αἰπόλον ἐκεῖνον. φάλαρος δὲ ὁ λευκός. καὶ Ὅμηρος κύματα φαληριόωντα λέγει, τὰ λευκαινόμενα. τὸ φαλιὸν δὲ, καὶ βαλιὸν, λέγουσιν ἐπὶ τῶν ἐχόντων τὸ λευκὸν ἐν τῷ μετώπῳ.

30 Πρᾶτος δ' ὦν] πρῶτος δ' οὖν ᾖδεν ὁ Μενάλκας ὁ συρικτὴς ὁ λιγύφθογγος. τοῦτο γὰρ σημαίνει τὸ ἰυκτής. Καλλίμαχος· ἰύζων δ' ἀν' ὄρος, λαχὼν καὶ κληρωθεὶς ἀφ' οὗ λαχμὸς ὁ κλῆρος, ποιητικῶς. ἰυκτὴς δὲ, παρὰ τὸ ἰύζω ἰύξω. Δωρικὴ δέ ἐστιν ἡ κλίσις. ἤγουν, ἰυκτὰ ἀντὶ τοῦ ἰυκτής. ὡς τὸ, νεφεληγερέτα Ζεύς. ἰύζειν δὲ τὸ λιγυφωνεῖν. κυρίως δὲ ἐπὶ γυναικῶν.

31 Εἶτα δ' ἀμοιβαίαν] εἶτα δὲ ἀμοιβαίαν ᾠδὴν βουκόλοις ἁρμόζουσαν, ὁ Δάφνις διαδεχόμενος ᾖδεν. ἄρχεται τῆς ᾠδῆς. τὸ δὲ μέτρον, ἡρωϊκὸν, καὶ ἡρωελεγεῖον.

33 Ἄγκεα καὶ ποταμοὶ θεῖον γένος] ὡς πρὸς ἔμψυχον ὁ λόγος. ποιητικὸν δέ ἐστι τὸ ἔθος ἄλλως, γλυκύτης τὸ σχῆμα. ὅτι τοῖς ἀψύχοις ὡς ἐμψύχοις πρὸς διαλέγεται. ἄγκη δὲ τὰ κοῖλα τῶν ὀρῶν. οἱ δὲ τὰ μεταπεσ-

διὰ

© Centre d'Études Supérieures de la Renaissance - Tours

διὰ τὸ αὔω κεῖσθαι ἢ ἀπὸ τοῦ ἄγω τὸ κλῶ τὰ συγκεκλασμένα. οἷον θεῖον δὲ γένος τὸ τῶν ποταμῶν λέγει, καὶ γὰρ ἐκ Τηθύος καὶ Ὠκεανοῦ. ἢ ἐκ Διὸς, ὡς Ὅμηρος, πρὸς τὰ ἄγια καὶ τοὺς ποταμοὺς λέγει ὡς σωματοειδεῖς θεοὺς, ὅπως τὰ θρέμματα αὐτοῦ μείνωσιν ὅλα. ἢ θεῖον, ὅτι ἀεικίνητοι τυγχάνουσι. παρὰ τὸ θέω, θεῖον.

33 αἴ τι Μενάλκας πῆ ποχ' ἁ συρικτάς] εἴ που μέλος προσφιλὲς ὑμῖν ᾖσέ ποτε ὁ Μενάλκας ὁ διὰ σύριγγος μέλπειν ἐπιστάμενος. βοσκεῖτε ἐκ ψυχῆς, ἤγουν, ἐξ ὅλης τῆς προθυμίας τὰς ἀμνίδας. ἐκ ψυχῆς ποιεῖ τις τόδε. ἤγουν, ἑκὼν καὶ ἀφ' ἑαυτοῦ κινούμενος. οὐκ ἐκ ψυχῆς δὲ ποιεῖ, ἤγουν, ἄκων καὶ ὑπὸ βίας τινὶ, καὶ οὐκ ἀφ' ἑαυτοῦ κινούμενος. ἐπὶ τῶν ποταμῶν δὲ λέγει καὶ τῶν ὀρῶν τὸ ἐκ ψυχῆς νῦν, κατὰ μεταφορὰν, τὴν ἀπὸ τῶν ἐμψύχων ἐπὶ τὰ ἄψυχα.

36 μηδὲν ἔλασσον] ἐμοῦ δηλονότι ἔχοι, ἀντὶ τοῦ ἐχέτω.

37 γλυκερὸν φυτὸν αἴπερ ὁμοῖον] γλυκύτητος μετέχον. γλυκερὸν φυτὸν λέγει τὰς βοτάνας διὰ τὸ τρέφειν τὰ ὑπ' αὐτοῦ νεμόμενα ζῶα. τὸ δὲ, αἴπερ ὁμοῖον, ἀντὶ τοῦ εἴπερ ὁμοίως.

39 κἠνώ τι Μενάλκας] καὶ ἐὰν ὁ Μενάλκας ἀγάγῃ τι ὧδε. χαίρων βοσκέτω πάντα ἀφθόνως. πληθυντικὸν ἀποδίδωσιν ἐπεὶ τὸ τὶ ἀορίστως λεγόμενον, πληθυντικοῦ δύναμιν ἔχει.

41 Παντᾷ ἔαρ, παντᾷ δὲ νομοί] πανταχοῦ ἐστιν ἔαρ. ἔνθα ἡ καλὴ παῖς ἐνδιατρίβει. τὸ ἔνθα, τόπον ἕνα δηλοῖ τινά. ἀορίστως δὲ λεγόμενον, πληθυντικοῦ δύναμιν ἔχει. διὸ πρὸς τὸ πανταχοῦ νῦν ἀποδίδοται, καὶ ποιεῖ τὸν λόγον ὅμοιον τῷ ἀνωτέρω· κἠνώ τι Μενάλκας τῇδε ἀγάγοι, χαίρων ἄφθονα πάντα νεμοῖ. ὃ γὰρ δύναται ἐκεῖ τὸ τὶ, τοῦτο ἐνταῦθα τὸ ἔνθα· καὶ ὃ ἐκεῖ τὸ, πάντα, τοῦτο ἐνταῦθα τὸ, πανταχοῦ. πανταχοῦ δέ εἰσι νομοί. νομὸς, ποιητικόν· νομὴ, κοινόν. λέγεται δὲ οὕτως ἡ ἐνέργεια, ἤγουν αὐτὸ τὸ βόσκεσθαι, καὶ ὁ χόρτος ὁ εἰς νομὴν ἐπιτήδειος. καὶ ὁ τόπος ὁ τὸν χόρτον ἔχων. ἐνταῦθα δὲ τὸ νομοί, ἐπὶ τοῦ δευτέρου λέγεται σημαινομένου. Ἄλλως. παντᾷ ἔαρ, παντᾷ δὲ νομοί· ὅπου φησὶν ἡ ἐρωμένη αὐτοῦ περιπατεῖ, ἐκεῖ πάντα ἔαρ, καὶ πάντα νομοί εἰσι, καὶ τὰ θρέμματα ἐκτρέφεται· ὅταν δὲ ἀπέλθῃ, ἀποξηραίνεται καὶ ὁ ποιμὴν, καὶ αἱ βοτάναι. τὸ δὲ παντᾷ, δωρικῶς παντῇ περισπωμένως.

42 τὸ δὲ οὔθατα πηδῶσιν, ἢ πλήθουσιν, ὅτι πλήθει διὰ τῶν θηλῶν τὸ γάλα τρέφεται δὲ, ἢ τὰς ἀμνίδας καὶ τοὺς ἀμνοὺς ὑπὸ τῶν μαζῶν τρέφεσθαι, ἢ τὰ νέα καὶ τὰ μικρὰ τῶν ποιμνίων τρέφονται καὶ αὔξονται. παντᾷ δὲ γάλακτος οὔθατα· πανταχοῦ δὲ οἱ μαζοὶ γάλακτός εἰσι πεπληρωμένοι, καὶ νεογνὰ τρέφεται ὑπ' αὐτοῦ.

44 χ' ὠ ποιμὴν] καὶ ὁ [illegible], βοῦς βόσκων.

45 Ἔνθ' ὄϊς, ἔνθ' αἶγες] ὁ Δάφνις πάλιν ἐπὶ τῆς αὐτῆς ἐννοίας ἀντιπαραβάλλων λέγει· ὅτι ὅπου ἂν ὁ ἐρώμενός μοι Μίλων βαίνῃ, πάντα αὔξει, καὶ σμήνη, καὶ τὰ θρέμματα. ὅταν δὲ ἀπέλθῃ, ἀποξηραίνεται καὶ ὁ βουκόλος, καὶ αἱ βόες.

48 αὐότεροι· ἀπὸ κοινοῦ, ἀντὶ τοῦ αὖος ἤγουν ξηρός. καὶ αἱ βόες αὖαι.

49 Ὦ τράγε τᾶν λευκᾶν αὐτὲρ αἰγᾶν] καταχρηστικῶς ἄνδρα τῶν αἰγῶν, τὸν τράγον φησίν.

¶ ὦ βάθος ὕλας] ὅπου ἐστὶν ὑψηλὴ δασύτης. Ὅμηρος· Ὡς δ' ὅτε κινήσει ζέφυρος βαθὺ λήιον ἐλθών. ἐν ἐκείνῳ τῷ τόπῳ ἐστὶν ὁ Μίλων.

51 ἴθ' ὦ κόλε, καὶ λέγε Μίλω] ὦ κολοβὲ τράγε ἄπελθε ἐκεῖ ὅπου ἐστὶν ὁ Μίλων· καὶ λέγε αὐτῷ, ὅτι καὶ ὁ Πρωτεὺς θεὸς ὢν φώκας ἔνεμεν, εἶον μετὰ δυσόσμων ζώων ἀνεστρέφετο. καὶ σὺ οὖν μὴ ὑπερηφάνει διὰ τὴν τῶν τράγων ὀσμὴν ἐλθεῖν πρὸς ἡμᾶς· ἤτοι πρὸς ἐμὲ τὸν Μενάλκαν. Μίλω δὲ εἶπεν, ἀντὶ τοῦ Μίλωνι. καὶ γὰρ τὴν ἀλήθειαν, οὐχ ὁ Μίλος ἔφη, ἀλλ' ὁ Μίλων. Ἄλλως. ¶ Ὦ βάθος ὕλας] τὸ δεῦρο συνυπακούειν δεῖ, ἀπὸ κοινοῦ κατ' ἀναλογίαν τοῦ προσρηθέντος, ἵν' ᾖ τὸ πᾶν οὕτως· ὦ τράγε τῶν λευκῶν αἰγῶν ὀχευτά, δεῦρο ὧδε ὅπου ἐστὶν ἡ πλείστη δασύτης τῶν δένδρων, ὅπου εἰσὶν αἱ σιμαὶ μέλισσαι. δεῦτε ἔριφοι ἐπὶ τὸ ὕδωρ. ἐν ἐκείνῳ γὰρ τῷ ὕδατι δηλονότι ἐστὶν ἐκεῖνος, ἤγουν, ὁ Μίλων. ¶ ἴθ' ὦ κόλε] ἄπιθι, ὦ κολοβέ. πρὸς τράγον ἤγουν ἀκέρων, ἢ μικρὸν τοῦτο λέγει. κόλος γὰρ λέγεται, ὁ μὴ ἔχων κέρατα καὶ Ὅμηρος κολὸν δόρυ λέγει. καὶ λέγε τῷ Μίλω, ἀντὶ τοῦ τῷ Μίλωνι, ὅτι ὁ Πρωτεὺς φώκας ἐβόσκε, καί περ ὢν θεός.

53 Μή μοι γᾶν Πέλοπος] μή μοι εἴη ἔχειν οὔτε τὴν Πελοπόννησον μήτε χρυσοῦ τάλαντα ἤξει, πλοῦτον μηδὲ εἴη ἐμοὶ ἐν δρόμῳ τοὺς ἀνέμους παρατρέχειν· ἀλλὰ εἴη μοι τὸ ὑπὲρ τὴν πέτραν ταύτην τραγῳδεῖν, ἔχων σὲ τὸν Μίλωνα εἰς τὰς ἀγκάλας μου, ὁρῶν τὰ ὁμοῦ βοσκόμενα πρόβατα καὶ τὸ Σικελικὸν πέλαγος. ἀντὶ τοῦ τὴν Σικελίαν. τάλαντον δὲ, ὁ ζυγός. χρύσεια πατὴρ ἐτίταινε τάλαντα. τάλαντα, καὶ τὰ τοῦ ζυγοῦ σταθμιζόμενα. ἐνταῦθα δὲ, τὸ δεύτερον. 55 ἀλλ' ὑπὸ τᾷ πέτρᾳ τᾷδ' ᾄσομαι ἀγκὰς ἔχων τυ] αὐτάρκης ὁ Δάφνις. ὅθεν καὶ λέγει ἀλλὰ εὐφραίνομαί σε ἐν ταῖς ἀγκάλαις ἔχων, ἐπὶ τῇδε τῇ πέτρᾳ ἀφορῶν τὴν Σικελίαν. οὐκ ἀνιστορήτως τοῦτο ὁ Θεόκριτός φησι· καὶ ὁ Ἑρμησιάναξ γὰρ λέγει τὸν Δάφνιν ἐρωτικῶς ἔχειν τοῦ Μενάλκα. ἀλλ' ὁ μὲν ἐπ' Εὐβοίας τὰ περὶ αὐτοῦ διατίθεται, οὗτος δὲ ἐπὶ Σικελίας.

57 Δένδρεσι μὲν χειμών] πρὸς τὰ δένδρα μὲν ἐστὶ κακὸν φόβον ἔχον, ὁ χειμών. πρὸς τὰ ὕδατα δὲ ἡ ἀνομβρία, ὅτι ἀποξηραίνει καὶ ἀφανίζει αὐτά. πρὸς δὲ τοὺς ὄρνιθας ὕσπλαγξ, ὅ ἐστιν εἶδος παγίδος. κυρίως δὲ ὕσπληξ, ἡ τῶν δρομίων

© Centre d'Études Supérieures de la Renaissance - Tours

μένων ἀφιτηρεία, ὃ κάγχελον ἡμεῖς φαμέν. ἀπὸ κοινοῦ δὲ, τὸ φοβερὸν κακόν.

58 ἀγροτέραις δὲ λίνα] τοῖς θηρείοις τοῖς ἐν τοῖς ἀγροῖς διατρίβουσι τὰ δίκτυα, αἱ ἄρκυς, ἀπὸ κοινοῦ, φοβερὸν κακόν. τῷ ἀνθρώπῳ δὲ κακὸν φοβερὸν, παρθένου τρυφερᾶς πόθος.

59 ὦ πάτερ, ὦ Ζεῦ] οὐ μόνος ἐγὼ ἔρωτα ἔχον, ἀλλὰ καὶ σὺ γυναικῶν ἐραστής.

61 Ταῦτα μὲν ὧν δι' ἀμοιβαίων] ταῦτα μὲν οὖν κατὰ ἀμοιβήν. ἐπιρρηματικῶς γὰρ εἴρηται τὸ δι' ἀμοιβαίων, οἱ παῖδες ἐτραγῴδησαν. τὴν ἐσχάτην δὲ ᾠδὴν, προηγουμένως ᾖδεν ὁ Μενάλκας.

63 φείδευ τῶν ἐρίφων] ἐγκρατῶς ἔχε, ἄπεχε λύκε τῶν ἐρίφων μου, ἄπεχε τῶν τοκάδων, ἤγουν τῶν μητέρων αὐτῶν.

65 Ὦ λαμπουρὲ κύων] ὄνομα κυνός, ἀπὸ τοῦ λαμπρὰν ἔχειν τὴν οὐρὰν, ἢ πυρράν· ἢ ὁ ἐπιμελῶς φυλάσσων. ἀπὸ τοῦ λάμπειν καὶ τοῦ ὠρεῖν, ὅ ἐστι φυλάσσειν. ἢ παρὰ τὸ λαμπουρὶς ἴσως εἶναι. ἐπειδὴ κύνες εἰσὶν ἀλώπηξιν ὅμοιοι. λαμπουρὶς γὰρ ἡ ἀλώπηξ. ¶ οὕτω βαθὺς ὕπνος. τοῦτο ἀπὸ μεταφορᾶς τῆς βαθείας ὕλης, ἤτοι δασείας.

66 Οὐ χρὴ κοιμᾶσθαι βαθέως] τὸ δηλονότι. τοῦτο ἀπὸ τοῦ Ὁμήρου ὁ Θεόκριτος ἔχει. φησὶ γὰρ ἐν τῷ β τῆς Ἰλιάδος· Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα. ¶ σὺν παισὶ νέμονται] οἱ γὰρ παῖδες εἰώθασι μὴ προσήκουσαν τῶν ποιμνίων ἐπιμέλειαν ποιεῖσθαι, ἀλλ' ἀμελεῖν, ἢ ῥαθυμοῦντες, ἢ παιγνίοις ἀσχολούμενοι. οἱ δὲ ἔννηβοι, κρείττονα, τὴν ἐπιμέλειαν ποιοῦσιν, ὥστε καὶ τοῖς κυσὶ κοιμωμένοις, οὐ φροντὶς αὐτοῖς.

67 ἁπαλᾶς κορέσασθαι] τρυφερᾶς, θαλερᾶς χορτασθῆναι βοτάνης. οὐδαμῶς κοπιάσει ἐνεργοῦσαι δηλονότι τὴν ἔκφυσιν αὐτῆς. ὅταν αὐτὴ πάλιν μόνη φύηται, ἤγουν βλαστάνῃ. ἢ οὐ μὴ καταπονηθῆτε νεμόμεναι, ὅταν νέα βοτάνη πάλιν φυῇ.

72 Κἠμ' ἐκ τῶ ἄντρω σύνοφρυς κόρα] καὶ ἐμὲ ἐκ τοῦ σπηλαίου κόρη εἰς ταυτὸ συναγούσας ἔχουσα τὰς ὀφρῦς, ἢ δασείας καὶ συγκεκολλημένας· τουτέστι, δίοφθαλμος ἢ συνετή. λέγει δὲ τὴν ἐρασθεῖσαν αὐτοῦ νύμφην, ἐχθὲς ἰδοῦσα τὰς δαμάλας ἐλαύνοντα, εὔμορφον εἶναι ἔλεγε. οὐ περισσῶς δοκεῖ χρήσασθαι μετὰ τοῦ συνδέσμου τῷ λόγῳ. θέλει γὰρ δηλοῦν διὰ τούτου, ὅτι καὶ αὐτὸς ἐπέραστός ἐστιν, ὥσπερ καὶ ἕτεροι. δηλονότι, οὐ μόνον ἄλλους γυναῖκες ὁρῶσαι ἐπαινοῦσιν, ἀλλὰ καὶ αὐτὸν κόρη τις ἰδοῦσα ἐπῄνεσεν. καλὸν δὲ τὸν εὐειδῆ λέγει. κάλλος γάρ ἐστι συμμετρία μελῶν καὶ μερῶν μετ' εὐχροίας.

74 Οὐ μὰν οὐδὲ λόγων ἐκρίθην ἄπο] γράφεται καὶ, λόγον· οὐ μὴν ἀπεκρίθην αὐτῇ, ἀντὶ τοῦ ἀπεκρινάμην. τὸ ἀπεκρίθην γὰρ τὸ ἐχωρίσθην δηλοῖ. οὐ μόνον λόγον ἡδὺν, ἀλλ' οὐδὲ λόγων τὸν πικρὸν ἤγουν, τὸν ἀπεχθῆ, τὸν ἀλ-

Z

© Centre d'Études Supérieures de la Renaissance - Tours

γένον. Ἄλλως· οὐδὲ λόγον αὐτῇ ἀπεκρίθη. οἷον, οὐδὲ τὸ τυχόν. ἢ οὐδὲ λόγον ἀπεκρίθην ἄτοπον, πικρὸν αὐτῇ· τουτέστιν, οὐδὲ σκαιὸν λόγον ἀπεκρινάμην αὐτῇ, οὔτε τῶν πρὸς τὸ λυπηρὸν, οὔτε τῶν πρὸς ἡδονήν.

84 Λάσδεο τᾶς συρίγγας] ἆθλον δὲ αὖθις ἡ σύριγξ ἐπίκειτο, ἣν ἐπιδίδωσιν ὁ κριτὴς τῷ Δαφνιδίῳ νικήσαντι.

85 Αἰ δὲ πλῆς με] εἰ δὲ θέλεις καὶ ἐμὲ αὐτὸν διδάξαι τι ἅμα σοι τὰς αἶγας βόσκοντα, δώσω σοι τὰ δίδακτρα ἤγουν, τὸν μισθὸν τὸν ἕνεκα τῆς διδασκαλίας, ἐκείνην τὴν αἶγα τὴν μιτύλαν. μιτύλαν αἶγα φησὶ τὴν ἄκερων. ὑπὲρ κεφαλᾶς δὲ, αὐτὶ τοῦ, ἐπέκεινα τῶν χειλέων ἢ ἕως τῆς κεφαλῆς πληροῖ τὸ ἀμολγεῖα. ἀμολγεὺς δὲ ἀγγεῖον δεκτικὸν γάλακτος.

88 Ὣς μὲν ὁ παῖς] οὕτως ὁ παῖς ὁ Δάφνις ἡσθεὶς ἐπὶ τῇ νίκῃ, ἥλατο ἤγουν ἐπήδησεν.

90 Ὣς δὲ κατεσμύχθη] κατεσβέσθη καὶ ἐν αὐτῷ κατεκάη, καὶ ἐλυπήθη. ἐταπεινώθη τὸν λογισμὸν, ὥσπερ ἂν γυνὴ παρθένος, ἄρτι πρῶτον εἰς γάμον ἐλθοῦσα λυποῖτο.

93 Καὶ νύμφαν, ἄκριτος] οὕτως ἐλυπεῖτο ὁ Μενάλκας, καθὰ καὶ νύμφη ἡ ἄρτι πρῶτον γαμηθεῖσα ἀνέχοιτο· λυποῦνται γὰρ αἱ τοιαῦται, διὰ τὸ κατὰ τὸν καιρὸν ἐκεῖνον τιτρώσκεσθαι. ¶ Ναΐδα γάμαι. Ἱστοροῦσι γὰρ αὐτὸν ἀγαπηθῆναι ὑπό τινος νύμφης, ἣν Σωσίθεος Θάλειαν καλεῖ. παρακελευσαμένης δὲ αὐτῷ ἄλλῃ γυναικὶ μὴ ὁμιλεῖν, μὴ τηρῆσαι τὴν παραίνεσιν αὐτῆς. ὅθεν ὁ μὲν Θεόκριτός φησι τὴν νύμφην ἀποστῆναι αὐτοῦ· αὐτὸν δὲ ἀντιμεταβάλλοντα τὸν ἐκείνης ἔρωτα, ὑπὸ λύπης μεταλλάξαι τὸν βίον. ἐκτὸς εἰ μὴ αὐτὸν μέν φησιν ἀπείπασθαι αὐτήν, ἄλλης δὲ ἐρασθῆναι. ὡς πόνῳ τῆς ξενίας ἠράσατο Δάφνις οἱ δὲ λοιποὶ, φασὶν αὐτὸν τυφλωθῆναι, καὶ ἀλώμενον κατακρημνισθῆναι.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ θ'.

Επιγράφεται τὸ παρὸν εἰδύλλιον, Βουκολιασταὶ Δάφνις, καὶ Μενάλκας. Προλογίζει νομεύς τις, ὁ καὶ κριτής.

1 Βουκολιάσδεο Δάφνι. τὺ δ' ᾠδᾶς ἄρχεο πρᾶτος· ᾠδᾶς ἄρχεο πρᾶτος, ἐφεψάσθω δὲ Μενάλκας. Μόσχως βουσὶν ὑφέντες, ὑπὸ στείραισι δὲ ταύρως] τὸ σχῆμα ἐπαναφορά. γίνεται δὲ ἡ ἐπαναφορὰ, ἢ κατὰ κῶλον, ἢ κατὰ λέξιν. καὶ κατὰ κῶλον μὲν ἐνταῦθα, ὡς καὶ Ὅμηρος· τοῦ δ' ἐγὼ αὐτίος εἰμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν Εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ. λέγει δὲ, ὦ Δάφνι, βουκολικῶς ᾆδε. σὺ μὲν πρῶτος ἀρχὴν ποίει· ὁ δὲ Μενάλκας ἐπακολουθησάτω.

3 Ὑπὸ στείραισι] ἡ ὑπὸ, ἀντὶ τῆς ἐπί. ἵν' ᾖ, ἐπὶ στείραισι τοὺς ταύρους ἀφέντες, ἵνα τέκωσιν, ὥς τινες. στείρας δὲ εἶπε τὰς οὔπω τετοκυίας. αἱ γὰρ εἰς ἅπαν ἄτοκοι, στεῖραι καλοῦνται. διὰ τὸ στερεὸν εἶναι τὸ σῶμα, ὡσανεὶ ὑπὸ τόκων

μὴ

© Centre d'Études Supérieures de la Renaissance - Tours

μὴ ἐκλυομένων. ἢ παρὰ τὸ ἐστερῆσθαι γένους.

5 Μηδὲν ἀπημαγελεῦντες] ἀπημελῶς καὶ ἀταξίαν ἐν τῇ ἀγέλῃ ποιοῦντες, ἢ μηδαμῶς καταλιπόντες τὴν ἀγέλην. τοὺς γὰρ καταλιπόντας τὸ κοινὸν τῆς ἀγέλης, καὶ καθ' ἑαυτοὺς νενεμημένους, οὕτω καλοῦσιν. ἔστι δὲ Δωρικῆς διαλέκτου. ἀπημαγελέοντες γὰρ ἦν· καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ ο Δωρικῶς εἰς τὴν ευ δίφθογγον, ἀπημαγελεῦντες.

7 Ἁδὺ μὲν χ' ὁ μόσχος] ἡδὺ καὶ ὁ μόσχος, καὶ ἡ βοῦς, καὶ ἡ σύριγξ, καὶ ὁ βουκόλος βοῶσι. καὶ ἐγὼ ἡδὺ μελουργῶ δηλονότι.

9 Ἔντι δέ μοι παρ' ὕδωρ] ἔστι δέ μοι πλησίον τοῦ ψυχροῦ ὕδατος (ἡ γὰρ παρὰ, ἐνταῦθα πλησιότητα σημαίνει) κοίτη ἐστρωμένη ἀπὸ βοτανῶν. ἐν αὐτῇ δὲ τῇ κοίτῃ δηλονότι, νένασται, ἤγουν ὑπέστρωται, σεσώρευται δέρματα καλὰ δαμαλῶν λευκῶν. ἀπὸ τοῦ νάσσω ἢ νῶ, τὸ στρώννω, ἅς τινας τὰς δαμάλας δηλονότι τρωγούσας κόμαρον, ὁ λὶψ ἄνεμος ἀπέρριψεν ἀπὸ τῆς σκοπιᾶς, ἀπὸ τοῦ ὑψηλοῦ τόπου. σκοπιὰ γὰρ ὁ ὑψηλὸς τόπος. ἐφ' οὗ ἔστι τινὰ ἱστάμενον, τὰ κύκλῳ περισκέπτεσθαι.

13 Καὶ ματρὸς ἀκούειν] λείπει τὸ παῖδες.

15 Αἴτνα μᾶτερ] τὴν Αἴτνην φησὶ μητέρα ὁ Μενάλκας, καθότι ἐν αὐτῇ διέτριβε. ὡς καὶ Ὅμηρος τὴν Ἴδην, μητέρα θηρῶν. ἢ, ὦ Αἴτνη ἡ θρέψασά με. ταύτην γὰρ καὶ τροφὸν καὶ μητέρα καλεῖ. κἠγὼ λαμπρὰν οἰκίαν, κατοικῶ. ἔστι γὰρ αὕτη σπήλαιον ἐν κοίλαις πέτραις.

16 ἔχω δέ τοι ὅσσ' ἐν ὀνείρῳ] ἀπὸ τῆς παροιμίας, Ὅσσ' ἐν ὀνείρῳ φέρειν. ὥστε ἔλεγε περιουσίαν ἄφθονον. τοιαῦται γὰρ αἱ ὀνειρωτικαὶ φαντασίαι. καὶ Ὅμηρος· Οὐδ' εἴ μοι τόσα δοίη, ὅσα ψεύδονται ὄνειροι. ἢ ἔχω τόσα ὅσα οἱ ὄνειροι πλάττουσι. τοῦτο δέ φησι, διὰ τὸ πολύ. τῶν γὰρ ὀνείρων ἡ φαντασία δαψιλής.

19 Ἐν πυρὶ δὲ δρυΐνῳ χορία ζεῖ] δρύϊνον πῦρ τὸ ἀπὸ δρυὸς γινόμενον. χόρια δὲ τὰ κυτέρια, ἐν οἷς εἰσὶ τὰ ἔμβρυα. ἐκ τούτου δὲ παριστᾷ τὰ περὶ τροφὴν ἄφθονα. Ἄλλως. ἀντὶ τοῦ ἐν τοῖς ἄνθραξι τοῖς ἀπὸ δρυός. χόρια δὲ τὰ τῶν ἐμβρύων ἀγγεῖα. εἰώθασι γὰρ ἔγκατα πλήσαντες, καὶ ξηραίνοντες ὀπτᾶν, εἶτα ἐσθίειν ταῦτα, ἃ καὶ χόρια προσαγορεύουσι. Κρατὶ νεοτρόφοιο ἐλύας. χόριά τ' ἐμβρύων τε πλήθη. ἔμβρυον γὰρ ἀπὸ τοῦ ἐν ἑαυτῷ τὴν βορὰν ἔχειν, ἢ ἀπὸ τοῦ ἐμβρύειν καὶ αὔξεσθαι. χόρια δὲ καλοῦσι τοὺς ὑμένας, οὓς πληροῦσι τοῦ ἀμελχθέντος γάλακτος. ἑψοῦσι δὲ θέντες ὑπὸ τὸ πῦρ. ἢ χόρια, αἱ ἀπὸ τῶν ἐντέρων πλεκόμεναι χορδαί.

¶ αὖαι φαγοί] φηγοὶ οἱ βάλανοι. εἴρηται δὲ, ὅτι πρὸ τῶν Δημητριακῶν καρπῶν, τοὺς βαλάνους ἤσθιον· ἤγουν ξηροὺς εἶναι, παρὰ τὸ σὺ παγεῖς αὐτοὺς εἶναι. εἰσὶ δὲ δρυὸς γένη πέντε φηγὸς, ἡμερίς.



© Centre d'Études Supérieures de la Renaissance - Tours

ἐπιμέδρυς, ἄλυφλος, καὶ ἄμυλος.

21 ἢ νωδὸς καρύων, ἀμύλοιο παρόντος] νωδὸς, ὁ ἐστερημένος ὀδόντων. λέγεται δὲ καὶ τὸ βρέφος ἐστερημένον ὀδόντων. οὐ μὴν δὲ καὶ νωδὸν φαμὲν αὐτό· ἀλλ' ἐκεῖνον φαμὲν νωδὸν, τὸν ὀδόντας κτησάμενον, εἶτα ἀσθενείᾳ τινὶ, ἢ γήρᾳ ἀποβεβληκότα. τὸ γὰρ βρέφος μὴ κτησάμενον ὀδόντας, πῶς ἐστέρηται; ἄμυλον δὲ λέγεται, τὸ κοινῶς λεγόμενον καταστατὸν· ὅπερ ἐστὶ τὸ γαλακτῶδες τοῦ σίτου, βεβρεγμένου καὶ σεσημμένου, καὶ ἀποπιεσμένου, εἶτα τῷ ἡλίῳ ξηραινόμενον. ὁ δὲ νοῦς, τοιοῦτος· τοσοῦτον φροντίζω τοῦ χειμῶνος, ὅσον ὁ ἐστερημένος ὀδόντων φροντίζει καρύων, μαλακῆς τροφῆς παρούσης. τοῦτο γάρ ἐστι τὸ ἀμύλοιο. Ἄλλως. ἄμυλος, εἶδος τι ἄρτου ἐκ τῶν σητανίων πυρῶν γινόμενος. ἄμυλος δὲ ἄρτος ὁ ἄνευ μύλου γινόμενος. ἀποβρέχοντες γὰρ τὸν πυρὸν ἀποθλίβουσι.

22 Τοῖς μὲν ἐπεπλατάγησα] ἤγουν ἐπὶ τοῖς εἰρημένοις τὰς χεῖρας συνεκρότησα.

23 κορύναν] ῥάβδον ἐπὶ τὸ ἄκρον βάρος ἔχουσαν, ῥόπαλον. εἴρηται δὲ παρὰ τὸ κάρα, ἤγουν τὸ ἄκρον βαρὺ ἔχειν. βαρύτερον γάρ ἐστι περὶ τὸ ἄκρον. ῥόπαλον δέ ἐστιν ἀμυντήριον, καὶ ἑτερορρεπὲς, ἐξ ἑνὸς μέρους ῥοπὴν ἔχον, καὶ βάρος, ἥν τινα ὁ ἀγρὸς τοῦ πατρός μου ἀνέθρεψεν. αὐτὴν εἶξον· ἥν τινα. ἴσως οὐδὲ τέκτων μέμψαιτο.

25 Κείνῳ δὲ, στρόμβον] στρόμβος, κοχλίον, ἀπὸ τοῦ συνεστράφθαι. ἐκείνῳ δὲ φησὶν, ἤγουν, τῷ Μενάλκα, ἐχαρισάμην ὀστρακηρὸν στρόμβον, οὗ τινος τὸ κρέας ἐγὼ ἔφαγον. ἀγρεύσας μετὰ σκέψεως, ἐν ταῖς πέτραις τοῦ Ἰκαρίου πελάγους. μέγας δὲ ἦν ὁ στρόμβος τοσοῦτον, ὅτι τὸ κρέας αὐτοῦ διέκοψα εἰς πέντε μερίδας, ἃς ἔλαβον ἄνθρωποι πέντε ὄντες. ὁ δὲ Μενάλκας τὸν κόχλον λαβὼν, ἐπὶ τούτῳ ἡδέως ἐγέλασεν.

28 Βουκολικαὶ Μοῖσαι] ὁ λόγος ἐκ τοῦ συνωνυμέως, ἢ ἐκ τοῦ Θεοκρίτου. ὦ Μοῦσαι τὸ μέλος τῆς ᾠδῆς τῆς παρ' ἡμῖν ἐκφάνατε, μήπως μοι ἐπὶ γλῶσσαν φλύκταινα φύηται. ἐκείνοις γὰρ εἴωθε γίνεσθαι, τοῖς μηδὲν πρᾶγμα εὔλογον κρίνουσι.

30 Μηκέτ' ἐπὶ γλώσσης ἄκρης] ὁ λόγος πρὸς τὴν Μοῦσαν. ἰδίως δὲ, τὸν λόγον ποιησάμενος πρὸς πάσας, εἰς μίαν κατέκλινεν. ἢ ὁ λόγος πρὸς τὸν Δάφνιν, ὃ καὶ κρεῖττον. Ἄλλως. Μηκέτ' ἐπὶ γλώσσης] Εἴθε ἡ σὴ γλῶττα μηκέτι ἐμποδισθείη· ἐμπόδιον δὲ τῆς γλώττης αἱ ὀλοφυγδόνες· τουτέστιν, ὑπὸ φυμάτων μηκέτι ἐμποδισθείη ἡ σὴ γλῶττα. ὀλοφυγδὼν δέ ἐστιν, ἡ φλυκτώδης φύσκα. λέγουσι δὲ αὐτὴν οἱ Ἀττικοὶ ὀλοφυκτίδα. ὅταν δὲ αὕτη γίνηται ἐπὶ τῇ γλώττῃ, εἰώθασι λέγειν αἱ γυναῖκες ὡς ἀποτεθεῖσαί σοι μερίδα σὺ οὐκ ἀποδεδώκασιν. ἢ καί τινας ὀλοφυγδόνες εἰσὶ φύματα, ἤγουν ἀναβλαστήματα ἐπὶ τῆς ῥινὸς γινόμενα.

33 Ταῖ

© Centre d'Études Supérieures de la Renaissance - Tours

33 Ταῖς μοι πᾶς εἴη πλεῖστος δῆμος] ἧς τινος ᾠδῆς ὁ οἶκος ὅλος γέμοι. οὔτε γὰρ ὕπνος ἡμῖν γλυκερώτερος, οὔτε τὸ ἔαρ ἐξαίφνης ἐλθὸν γλυκύ, ὅσον ἡ μουσουργία.

35 ὡς μὲν ὁρῆτε] γράφεται καί, οὓς γὰρ ὁρῶσαι, καὶ οὓς μὲν ὁρεῦντι· τουτέστιν, οἷς μὲν ἐστὶ φίλαι αἱ μοῦσαι, χαίρουσιν. ἐκεῖνοι δὲ οὕς τινας οὐ βλέπετε δηλονότι, διὰ τοῦ ποτοῦ περιέβλαψεν ἡ Κίρκη. διὰ τὸν Ὀδυσσέα] φησίν· ὅν τινα οὐ κατέθελξε τὰ τῆς Κίρκης φάρμακα. τοὺς δὲ ἑταίρους ἀγνώμονας ὄντας καὶ ἀπεριοσκέπτους, ἀπεθηρίωσεν ὁ κυκεών. συνώδεις γὰρ ἦσαν, καὶ ἀμαθεῖς καὶ ὑπὸ τῆς Κίρκης δυνάμενοι τῷ ποτῷ μεταμορφωθῆναι εἰς ἄλλα ζῶα.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ι'.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον, Ἐργατῖναι, ἢ Θερισταὶ Βάττος, καὶ Μίλων. προλογίζει δὲ ὁ Μίλων.

1 Ἐργατίνα βουκαῖε, τί νῦν ὀϊζυρὲ πεπόνθεις] ἐργατίνα. ἡ εὐθεῖα, ὁ ἐργατίνης καὶ κλίνεται τοῦ ἐργατίνου· ὡς ὁ χρύσης, ὦ χρύση, καὶ ὦ χρύσα. βουκαῖον, οἱ μὲν τὸν θεριστὴν ἤκουσαν, ἀπὸ τοῦ βοῦ ἐπιτατικοῦ μορίου, καὶ τοῦ καίνω, τὸ κόπτω καὶ θερίζω. ὁ μεγάλως καίνων. ἡ συνῳδή, καὶ ᾠδή. βέλτιον δὲ τὸν ἀροτῆρα ἀκούειν, τὸν σὺν τοῖς βουσὶ καίνοντα τὴν γῆν καὶ τέμνοντα. ὑποκοριστικῶς δὲ εἴρηται. Δίφιλος δὲ ἐν τῷ πρώτῳ τῶν Νικάνδρου θηριακῶν, κύριον ὄνομα τὸν Βουκαῖον λέγει. οἰζυρὸς δὲ ὁ ταλαίπωρος. καὶ γίνεται ἀπὸ τοῦ οἰζύς, ἡ κακοπάθεια. τὸ δὲ ἑξῆς, ὦ ἐπίπονε καὶ ταλαίπωρε θεριστά, τί δὴ πέπονθας; οὔτε τὴν εὐθεῖαν τάξιν ὡς πρότερον διατηρεῖς, οὐδ' ἅμα τὸ πλησίον λήϊον θερίζεις, ἀλλὰ καθυστερεῖς· ἢ οὔτε ὁμοῦ τοῖς ἄλλοις θερίζεις θερισταῖς δηλονότι, ἀλλ' ὕστερος ἔρχῃ.

2 Οὐδ' ἐὸν ὄγμον] ὄγμος κυρίως, ἡ ἀπὸ τοῦ ἀρότρου τομή. ἤγουν, ἡ αὖλαξ, ἀπὸ τοῦ διοίγεσθαι τὴν γῆν ὑπὸ τοῦ ἀροτριῶντος. νῦν δὲ κεῖται ὁ λόγος, ἐπὶ τῆς κατ' εὐθὺ τάξεως τοῦ θερισμοῦ.

Ἄλλως. ὄγμον τὴν αὔλακα παρὰ τὸ διοιχθῆναι τὴν γῆν. οἱ δὲ τάξιν, οἱ δὲ τὸν ὄρχον, οἱ δὲ τὸν χόρτον. κυρίως δὲ ἡ ἐπ' εὐθὺ τοῦ ἀρότρου τομή καὶ ἔστιν ὄγμος οἷον ἀπὸ τοῦ διοίγεσθαι τὴν γῆν ὑπὸ τοῦ ἀροτριῶντος. νῦν δὲ κεῖται ἡ λέξις ἐπὶ τῆς εἰς εὐθὺ τάξεως τοῦ θερισμοῦ. ὡς καὶ Ὅμηρος· Ὄγμον ἐλαύνοντες ἀνδρὸς μάκαρος κατ' ἄρουραν. 3 Λαιοτομεῖς, ἀντὶ τοῦ θερίζεις. καὶ γίνεται ἀπὸ τοῦ λήϊον, τὸ χωράφιον, τροπῇ τοῦ η εἰς α, καὶ συναιρέσει τοῦ ι, λαῖον, καὶ τοῦ τέμνω καὶ γίνεται λαιοτομῶ· δηλονότι τὸ λήϊον τέμνω. κάκτος δὲ εἶδος ἀκάνθης.

5 Ποῖός τις δείλαν τε καὶ ἐν μέσῳ] δείλη ἑῴα, ὅτε ἀνατέλλει ὁ ἥλιος· δείλη δὲ ὀψία, ὅτε πρὸς δυσμὰς κατέρχεται. ποταπὸς γενήσῃ κατὰ μεσημβρίαν καὶ δείλην, ὃς νῦν ἀρξάμενος, οὐ μειοῖς καὶ ἐλαττοῖς τὸν στίχον τοῦ θέρους. τὸ γὰρ ἀποτρώγεις, τοῦτο δηλοῖ. Ἄλλως. πῶς φησιν οὐκ ἀρότερος ἔσῃ περιιούσης τῆς ἡμέρας, ὅτε νῦν



© Centre d'Études Supérieures de la Renaissance - Tours

ῥαθυμεῖς τῆς ἐργασίας ἀρχόμενος. καὶ οὐκ ἀποτέμνεις τὸν αὔλακος οὐδέν. αὔλακα δὲ, τὸν ὄγμον φησὶ τὸ κοινῶς λεγόμενον ὀρδίνιον.

7 Μίλων ὀψαμάτα] τουτέστι μέχρις ὀψίας θερίζων καὶ κακοπαθῶν, καὶ μὴ ἐνδιδούς. ἢ ὁ ἀργὸς ὁ ὀψὲ καὶ μόλις θερίζων ἢ ὁ καρτερικὸς, ὁ μέχρις ὀψίας δείλης τὸ θέρος ὑπομένων. ἢ τοῦτο λέγει, ἐπεὶ ὁ Μίλων ἐν ἀρχῇ τὸν Βάττον ἔφη ἐκλελύσθαι. ὀψαμάταν τὸν Μίλωνα ὁ Βάττος καλεῖ τουτέστι μέχρις ὀψίας θερίζοντα, καὶ μὴ ἀποκάμνοντα.

¶ πέτρας ἀπόκομμ' ἀτεράμνω] οἷον, πέτρινε, λίθινε, σκληρότατε· ἀτεράμνους γὰρ τοὺς σκληροὺς φασὶ τοὺς μὴ τέρενας. ἐπεὶ τέρεν τὸ ἁπαλὸν καὶ τὰς πέτρας τὰς μὴ τεθερμένας καὶ ἀτέραμνα ἄπειρα, τὰ ἀνέψητα.

11 χαλεπὸν, χορίων κύνα γεῦσαι] παροιμία τοῦτό ἐστιν, ἐπὶ τῶν γευσαμένων ἐφέσεώς τινος, δυσαποσπάστως δὲ ἐχόντων τῆς συνηθείας, λεγομένη. ἥ τις καὶ ἑτέρως λέγεται. χαλεπὸν φασὶ μαθοῦσαν κύνα σκυτοτραγεῖν. ὥσπερ φησὶν ὁ γευσάμενος χορίου κύων δυσαποδίωκτός ἐστιν, οὕτω καὶ ὁ ἀγροῖκος ἐρωτικοῦ πάθους γευσάμενος.

12 Ἀλλ' ἐγὼ ὦ Μίλων] σὺ μὲν φησὶν ἀπείρατος ἔρωτος τυγχάνεις. ἐγὼ δὲ ἐρῶ ἕνδεκα ἡμέρας ἤδη.

13 Ἐκ πίθω αὐτλεῖς] τουτέστιν, οὕτως ἐν περιουσίᾳ ζῇς, ὥστε καὶ ἐρᾶν. ἢ εἰρωνευόμενος φησὶν, ἐκ περιουσίας, ἀπὸ πλήρους πίθου αὐτλεῖς, καὶ οὐκ ἐκλεγήνων. ἐγὼ δὲ ὄξος ἔχω. Ἄλλως. Ἐκ πίθω αὐτλεῖς. παροιμία ἐπὶ τῶν ἐν περιουσίᾳ ζώντων. ἀφθόνων φησὶ καὶ πλουσίων ἀπολαύεις τῶν πραγμάτων. ὁ γὰρ οἴνου κεραννύμενος, πρὸς ἀφροδίσια ἐκκαίεται ἅτε ἀργίᾳ συζῶν, ὁ δὲ μηδ' ὄξους ἔχων πιεῖν, καὶ τῷ πόνῳ μαχόμενος, οὐκ ἐρᾷ.

14 Τιλάρτοι περὶ θυρᾶν μοι] πάλαι φησὶν, ἀπὸ τοῦ πόρρω πάντα μοι ἦν καλὰ, οὐ μόνον τὰ ἔνδον, ἀλλὰ καὶ τὰ ἀπὸ θυρῶν· νῦν δὲ διὰ τὸν ἔρωτα, οὐ μόνον τὰ πόρρω, ἀλλὰ οὐδὲ τὰ περὶ θυρῶν μου εἰσὶν ἐσπαρμένα, ἀλλὰ ἀσπορα μένουσι διὰ τὸν ἔρωτα. Ἄλλως. ἄσκαλα] τουτέστιν, ὥσπερ ἄσπειρα μετὰ τὸν σπόρον ἠμελημένα ἐστὶν ἐς τοσοῦτον, ὅτι καὶ ἀσκάλευτά εἰσιν. σκαλεύειν δὲ τὸ χωράφιον, ὅτε σκαλίσι καθαίρω αὐτό. σκαλὶς δὲ, σκαλίδος, ἐργαλεῖον γεωργικὸν, τὸ κοινῶς λεγόμενον σκαλιστήριον.

15 Τίς δέ τυ τῶν παίδων λυμαίνεται] ταῦτα ὁ Μίλων ἐρωτᾷ. εἶτα ὁ Βάττος ἐπάγει. ἁ Πολυβώτα ἄδηλον δὲ, πότερον θυγατέρα ἢ θεράπαιναν τοῦ Πολυβώτου λέγει. ἡ τοῦ Πολυβότου οὖν φησι λυμαίνεταί με. ἣ τοῖς προσίω θεριζόντων ἡμῶν παρ' Ἱπποκόωντι, ἢ παρ' Ἱπποκίωνι. διχῶς γὰρ γράφεται ἐν τοῖς ἀντιγράφοις, προσηύλει. καὶ τὰ μὲν παρ' Ἱπποκόωντι γράφων, λέγει τῷ ποταμῷ· τὸ δὲ παρ' Ἱπποκίωνι λέγει οὕτω καλουμένῳ.

17 Εὐρ

© Centre d'Études Supérieures de la Renaissance - Tours

17 Εὗρε θεὸς τὸν ἀλιτρόν] παροιμίαι εἰσί, τὸ, εὗρε θεὸς τὸν ἀλιτρόν. καὶ τὸ, εὗρε θεὸς τὸν αἴτιον· καὶ τὸ, ἔχεις ἅπερ ἐπεθύμεις. τὸ δὲ εὗρε θεὸς τὸν ἀλιτρὸν, λέγεται ἐπὶ τῶν διδόντων δίκην τῆς ἁμαρτίας. ὁ δὲ νοῦς· ἁμαρτωλῷ σοι ὄντι, δικαίως περιῆλθε τὸ θεῖον, ὅθεν καὶ περιπέπτωκας, οἷς ἐπεθύμεις κακοῖς. Ἄλλως. παροιμία ἐστὶ, λεγομένη κατὰ τῶν καυχωμένων, ὅτε ἐμπίπτωσιν εἰς ἃ ἐκφεύγουσι.

18 Μάντις τοι τὰν νύκτα χροΐζεται ἁ καλαμαία] γράφεται καὶ, χροΐξεῖται, ἀντὶ τοῦ συγχρωτισθήσεται, καὶ συγκοιμηθήσεται ἁ καλαμαία δὲ, ἀντὶ τοῦ ἡ ἀρουραία. ἔστι δὲ ἀκρὶς ἐν τῇ καλάμῃ γινομένη, ἣ καλεῖται μάντις. ἴσως ἂν ὁ Θεόκριτος τὴν ἰσχνὴν εἰπεῖν θέλων, καὶ διεφθινηκυῖαν, τοῦτο φησίν. ἢ τὴν ἐπιβλαβῆ καὶ χαλεπὸν ὁρῶσαν. Ἀρίσταρχος γὰρ ἐν ὑπομνήμασι Λυκούργου Αἰσχύλου, τὴν ἀκρίδα φησὶ ταύτην, εἰ προσβλέψειεν τινὶ τῶν ζώων, ἐκείνῳ κακὸν γίνεσθαι. ἔστι δὲ χλωρὰ καὶ κατειμένους τοὺς ἔμπροσθεν πόδας ἔχουσα καὶ λεπτοὺς, καὶ συνεχῶς αὐτοὺς κινοῦσα. λέγει δὲ, ἡ μάντις ἡ καλαμαία κατὰ τὴν νύκτα χροΐξεῖται, καὶ πλησιάσει τῷ χροΐ σου, καὶ σοῦ. ἀντὶ τοῦ, ἡ ἐοικυῖα τῇ καλαμαίᾳ μάντις, συνδυασθήσεταί σοι. τινὲς φασὶν εἰκάσαι τὴν Βομβύκην τῇ ἀκρίδι ταύτῃ, διὰ καὶ τὸ τὴν ἀκρίδα μέλαιναν εἶναι αὐτὴν, καὶ τὴν κόρην σύργαν· ἀντὶ τοῦ εἰπεῖν ὅτι ἀκρὶς συγκοιμηθήσεταί σοι, ἥ ἐστιν ἰσχνὴ καὶ λεπτὴ, καὶ μέλαινα, λέγει ὅτι μάντις καλαμαία. τὴν ἀκρίδα οὖν φησι καλαμαίαν, ἢ ὅτι ἐν καιρῷ καλάμης ἐσθίει τὸν στάχυν. τὴν αὐτὴν δὲ καὶ μάντιν, ἢ ὅτι προμαντεύεται λιμὸν φαινομένη, ἢ ὅτι κακόχρους καὶ πελιδνίζουσα οὖσα, οἷς ἂν ἐντρανίσῃ ζώοις, κακὸν προμηνύει. ἢ ἡ σὴ ἐρωμένη, ἡ ἐοικυῖα τῇ ἀκρίδι τῇ καλαμαίᾳ ὀνομαζομένῃ, τῇ πρὸς μαντείας ἐπιτηδείᾳ, περιβαλεῖταί τὸν χρῶτά σου κατὰ τὴν νύκτα· τουτέστιν, ἡ ἰσχνὴ καὶ λεπτή· καὶ μακρόσκελος, συγκοιμηθήσεταί σοι.

19 τυφλὸς δ' οὐκ αὐτὸς ὁ πλοῦτος, ἀλλὰ καὶ ὠφρόντιστος ἔρως] τυφλὸν τὸν πλοῦτον φησὶν, ἐπεὶ οἱ πλουτοῦντες πηροῦνται τὴν διάνοιαν. Δημήτριος δὲ φασὶν αὐτὸν εἶναι υἱὸν καὶ Ἰασίωνος, ἐπεὶ τῇ τῶν καρπῶν περιουσίᾳ, ἢ εὐφορίᾳ, ἡμῶν ἰᾶται τὴν ἔνδειαν. ὑπὸ Διὸς δὲ αὐτὸν πηρωθῆναι φασὶν, ἵνα μὴ βλέπων, ἐπὶ τοὺς δικαίους μόνους ἔρχηται· οἱ δὲ τυφλὸν αὐτὸν φασὶ, διὰ τὸ ἄκριτον. Ἄλλως. Ὁ ἀφρόντιστος, ὡς πολυμέριμνος. τὸ γὰρ ὠφρόντιστος ἀντὶ τοῦ ὁ ἀφρόντιστος. τὸ α ἐνταῦθα ἐπίτασιν σημαίνει. τοιοῦτόν ἐστι τὸ πάθος τῶν ἐρώντων· οἱ γὰρ ἐρῶντες, ἐκτήκονται ταῖς φροντίσι. Σημείωσαι ὅτι δύο οἱ παλαιοὶ τυφλὰ φασὶ, τὸν ἔρωτα, καὶ τὸν πλοῦτον. ὁ γὰρ ἐρῶν, ἐστὶν ὅτε ἐρᾷ γυναικὸς δυσειδοῦς, ἥ τις δοκεῖ αὐτῷ καλλίστη εἶναι. ὅπερ ἐστὶ τυφλότης. ὥστε ὁ ἔρως



© Centre d'Études Supérieures de la Renaissance - Tours

τυφλὸς· ἤγουν, τυφλοποιός. ποιεῖ γὰρ τοὺς ἐρῶντας τὰ μὴ καλὰ, καλὰ ἡγεῖσθαι. ὡσαύτως καὶ ὁ πλοῦτος τυφλός. παρέρχεται γὰρ τοὺς καλοὺς καὶ κοσμίους, καὶ δίδωσιν ἑαυτὸν τοῖς κακίστοις καὶ βδελυροῖς.

20 μηδὲν μέγα μυθεῦ] ὅρα ἵνα μηδὲν ἀλαζονικὸν εἴποις.

21 Οὐ μέγα μυθεῦμαι] οὐκ ἀλαζονεύομαι· σὺ δὲ μόνον θέριζε τὸ λήϊον· καὶ ἕνεκα τῆς κόρης, μελῴδει, τραγῴδει. οὕτω γὰρ ποιῶν, ἥδιον ἐργάσῃ ὅτι μουσικός ποτε ὑπῆρχες.

24 Μῶσαι Πιερίδες] ὦ μοῦσαι Πιερίδες· ἤγουν, αἱ ἐν τῇ Πιερίᾳ οὖσαι. συνυμνήσατε σὺν ἐμοὶ τὴν λεπτὴν παῖδα. ὧν τινων γὰρ πραγμάτων ἅψεσθε θεαί, πάντα καλὰ ποιεῖτε.

26 Σύραν καλέοντί τυ πάντες] Συρίαν σε ὀνομάζουσι πάντες λεπτὴν καὶ μέλαιναν ὑπὸ τοῦ ἡλίου. ἁλιόκαυστον, τὸ ὑπὸ ἡλίου κεκαυμένον. μελίχλωρον δὲ, ἤγουν ἐοικυῖαν κατὰ τὸ χρῶμα μέλιτι, τουτέστι σιτόχροον· τοιοῦτον γάρ ἐστι καὶ τὸ χρῶμα τοῦ σίτου, ὡς καὶ τοῦ μέλιτος. οἱ μὲν ἄλλοι Σύραν σε καλοῦσιν, ἐγὼ δὲ μελίχλωρον, οἷον, μελανόχρωτα ἠρέμα, καὶ οὐ λίαν μέλαιναν.

28 καὶ ἁ γραπτὰ ὑάκινθος] τὴν ὑάκινθον φασὶν, ἀπὸ τοῦ αἵματος τοῦ Αἴαντος ἀναδοθῆναι, τοῦ ἐν Τροίᾳ μανέντος. διά τοι τοῦτο ἔχειν ἐγγεγραμμένον, αἶ, αἶ, τὴν ἀρχὴν τοῦ ὀνόματος τοῦ Αἴαντος. διὰ τοῦτο οὖν καὶ γραπτὴν νῦν αὐτὴν εἶπεν. ἢ γραπτὴ ὑάκινθος, ἡ ἔχουσα ἐν ἑαυτῇ γεγραμμένα γράμματα θρηνώδη, δηλονότι τὸ, αἶ αἶ. εἶναι δὲ σύμβολον, τῶν ἐπὶ τῷ Αἴαντι μυθολογουμένων. φῦναι γὰρ ἐκ τοῦ αἵματος αὐτοῦ φασὶ τὴν ὑάκινθον, ὅτε ἐμάνη ἐπὶ Τροίαν, περιπεσὼν τῷ ξίφει. ὅθεν καὶ τὸ πάθος τοῦ Αἴαντος ὑποφαίνει. εἰς τὸν Εὐφορίωνα φειδὼν εἶπεν· ἢ εἰς τὸν Εὐφορίωνα ἀπιδὼν εἶπε. διττῶς γὰρ ἐν τοῖς παρ᾽ ἡμῖν γράφεται. Πορφυρέη ὑάκινθε, σὲ μὲν μία φάτις ἀοιδῶν, Ῥοιτείης ἀμάθοισι δεδουπότος Αἰακίδαο, εἴαρος αὐτέλλομένου γεγραμμένα κωκύουσαν.

29 τὰ πρᾶτα λέγονται] ἤγουν κατὰ τὴν πρώτην τάξιν ἀριθμοῦνται, καὶ λέγονται.

30 Ἁ αἲξ τὰν κύτισον] ὁ κύτισος, φυτὸν, ὃ νεμόμεναι αἱ αἶγες, γάλακτος πλήθουσιν. ἀπὸ κοινοῦ δὲ τὸ διώκει, ἤγουν ζητεῖ.

31 Ἁ γέρανος τὤροτρον] διωκομένου γὰρ ἀρότρου, αἱ γέρανοι φαίνονται. ἐγὼ δὲ ἐπὶ σοὶ μανίαν ἔχω.

32 Αἴθε μοι ἦσαν] εἴθε κεκτήμην τὰ Κροίσου. ἀμφότεροι ἂν ἦμεν ὥσπερ χρυσοῖ τῇ Ἀφροδίτῃ. τὸ δὲ πεπᾶσθαι, ἀντὶ τοῦ κεκτῆσθαι.

35 Σχοῖμι δ᾽ ἐγὼ καὶ καινὰς ἐπαμφοτέροις Ἀμύκλας] Ἀμύκλαι πόλις Λακωνική. ὅθεν, καὶ Ἀμυκλαῖον παιδίον, τὸ ἐκ τῶν Ἀμυκλῶν. καὶ Ἀμύκλαι εἶδος ὑποδήματος, ὡς ἐνταῦθα, ἀπὸ Ἀμυκλαίου τοῦ πρώτου ὑποδήματα εὑρόντος. γράφεται καὶ, σχῆμα δ᾽ ἐγώ.

© Centre d'Études Supérieures de la Renaissance - Tours

δ' ἐγώ· καὶ ἔστιν ὁ νοῦς τοιοῦτος. ὀρχούμενος δὲ ἐγὼ ἐν τῇ εἰκόνι, ἐποίουν ἐμαυτὸν ἔχοντα Λακωνικὰ ὑποδήματα. ἡ ἐμὴ στήλη ἐφαίνετο αὖ ἔχουσα σχῆμα ὀρχηστοῦ, καὶ ἐν ἀμφοτέροις ποσὶν ὑποδήματα.

36 οἱ μὲν πόδες ἀστράγαλοί τευ] οἱ μὲν πόδες σου, ἀστράγαλοι εἰσιν. οἷον, εὔρυθμοι, καὶ ὀρθοί· ἢ λευκοὶ ὡς οἱ ἀστράγαλοι.

37 Ἁ φωνὰ δὲ τρύχνος] ἡ τρύχνος. τοῦτο ἐπὶ τρυφερότητος τάσσεται. ἤγουν ἡ φωνή σου δὲ μαλακὴ, ἐοικυῖα τρύχνῳ. τρύχνος δὲ καὶ τρύχνη, εἶδος λαχάνου, ἡ κοινῶς λεγομένη ἀγριομελιντζάνα, ἱκανῶς μαλακόν. καὶ λέγεται στρύχνος. ὁ δὲ Θεόκριτος ἐξέβαλε τὸ σ διὰ τὸ μέτρον, τρύχνον εἰπών. ¶ τὸν μὲν τρόπον οὐκ ἔχω εἰπεῖν] ἀντὶ τοῦ ἀγνοῶ, εἰ μὴ ἄρα ἀμίλητον αὐτὸν ἔχεις, ὡς μηδὲ εἰπεῖν τινα ἀξίως.

38 Ἦ καλὰς ἄμμε ποιῶν ἐλελήθει Βουκαῖος ἀοιδάς] τοῦτο ὁ Μίλων εἰρωνευόμενος ἐν ἤθει φησί. συγκέκοφε δὲ τὸ ὄνομα· τὸν Βουκαῖον, Βοῦκον καὶ Βῶκον εἰπὼν ὑποκοριστικῶς.

39 Ὡς εὖ τὰν ἰδέαν] καὶ τοῦτο κατ' εἰρωνείαν ὡς εὖ τὸ τῆς ἁρμονίας εἶδος ἐρύθμησεν ὁ Βουκαῖος.

40 Ὤ μοι τῶ πώγωνος] πώγωνα, τὰ γένεια φησίν. ὁ δὲ λόγος ὑβριστικὸς, ὅτι τὰ γένειά σου μωραίνουσιν. ἠλιθίως γὰρ αὐτὰ ἀνέφυσας.

41 Θᾶσαι δὴ καὶ ταῦτα τὰ τῶ θείω Λυτιέρσα] τὸ τῆς εἰρωνείας ἐξέφηνεν ὁ Μίλων, καταγελῶν αὐτοῦ, ὅτι ἐργάτης ὢν ἐρωτικὴν ᾄδει. δυνατὸν δὲ ταῦτα λέγειν καὶ τὸν Βουκαῖον. θέασαι δέ φησι καὶ ταύτην τὴν τραγῳδίαν τοῦ Λυτιέρσου, ἣν μελῳδήσω. Ἱστορία. Οὗτος δὲ ὁ Λυτιέρσης, ᾤκει Κελαινὰς τῆς Φρυγίας, υἱὸς τυγχάνων νόθος τοῦ Μίδου. γεωργὸς δὲ ὢν, τοὺς παριόντας τῶν ξένων διώκων, ἠνάγκαζε θερίζειν μετ' αὐτοῦ. εἶτα ἑσπέρας ἀποτέμνων αὐτῶν τὰς κεφαλὰς, τὸ λοιπὸν σῶμα ἐν τοῖς δράγμασι συνειλῶν ᾖδεν. Ἡρακλῆς δὲ ὕστερον τοῦτον ἀποκτείνας, ἔρριψεν εἰς τὸν Μαίανδρον ποταμόν. ὅθεν καὶ νῦν οἱ θερισταὶ κατὰ Φρυγίαν, ᾄδουσιν αὐτὸν ἐγκωμιάζοντες, ὡς ἄριστον θεριστήν. τοῦτον δέ φησιν Ἀπολλόδωρος ᾠδὴν εἶναι θεριστῶν, λέγων οὕτω· καθάπερ ἐν μὲν θρήνοις ἰάλεμος, ἐν δὲ ὕμνοις ἴουλος, ἀφ' ὧν καὶ τὰς ᾠδὰς αὐτὰς καλοῦσιν, οὕτω καὶ τῶν θεριστῶν ᾠδὴ Λυτιέρσας. εἶτα ἑξῆς ᾄδων ὁ Βάττος τὴν τοῦ Λυτιέρσου ᾠδὴν, φησί·

42 Δάματερ πολύκαρπε] αὕτη ἐστὶν ἡ τοῦ Λυτιέρσου ᾠδή.

44 Σφίγγετ' ἀμαλλοδέται] ἀπέστρεψε τὸν λόγον πρὸς τοὺς ἑπομένους, καὶ τὰ θεριζόμενα συνδεσμοῦντας· δράγματα δὲ τὰ πληροῦντα τῶν σταχύων τὴν ἀριστερὰν, παρὰ τὸ δράττειν. ὅθεν καὶ δραχμὴ, ἡ πληροῦσα τὴν χεῖρα τῷ κέρματι. ἀμάλη δὲ συνέστηκεν, ἐκ δραγμάτων ἑκατὸν, ἢ καὶ διακοσίων.

45 Σύκινοι ἄνδρες] ἤγουν

© Centre d'Études Supérieures de la Renaissance - Tours

ἀσθενεῖς, καὶ ἀχρεῖοι. ὅτι τὸ τῆς συκῆς ξύλον, εὔθραυστον, ἀσθενές, καὶ ἀδύνατον. ὅθεν καὶ παροιμία, συκίνη ἐπικουρία, ἡ μηδὲν ὠφελοῦσα. ἀπὸ μεταφορᾶς τῆς συκῆς.

46 Ἐς βορέην ἄνεμον τᾶς κόρθυος ἁ τομὰ ὕμμιν] παρατετηρημένον λέγει τοὺς τὰς ἀμάλας θημονοθετοῦντας, οὕτω τιθέναι, ὥστε τοὺς στάχυας ἐμπνεῖσθαι ὑπὸ τοῦ ζεφύρου, ἢ βορέου. τὸν γὰρ κόκκον ἐνδοτέρω ὄντα οὕτω συμβαίνει πιαίνεσθαι ἐμπνεόμενον. κόρθυος δέ, τοῦ ἐκ τῶν ἀμαλῶν συγκειμένου θημῶνος. Ἄλλως. Κόρθυν, τὸν σωρὸν λέγει. ὅταν δὲ τὰ δράγματα δεθῇ, τοὺς στάχυας συνωροῦσι πρὸς ἀλλήλους νενευκότας ἔσωθεν. τὰ δὲ κῶλα αὐτῶν, ἅ τινες αὐλοὺς καλοῦσιν, ἔξω ἐστραμμένα ἐῶσιν, ὅπως διὰ τῶν αὐλῶν ὁ σῖτος ῥιπιζόμενος πιαίνηται, καὶ ἄβροχος καὶ ἄσηπτος διαμείνῃ. ἡ κόρθυς δέ, κλίνεται τῆς κόρθυος· ὡς ἡ πίτυς, τῆς πίτυος.

48 Σῖτον ἀλοιῶντας φεύγειν τὸν μεσαμβρινὸν ὕπνον] ἑτέρα παραίνεσις. δεῖ τοὺς ἀλοῶντας μεσημβρίας ἀλοᾶν. ἐπιτηδειότατος γάρ ἐστιν ὁ μεσημβρινὸς καιρὸς πρὸς τὸ ἀλοᾶν. φλέγοντος γὰρ τοῦ ἡλίου τηνικαῦτα τὴν καλάμην, τὸ ἄχυρον συμβαίνει λεπτότερον γίνεσθαι. καλάμη δέ, τὸ κατωτέρω τοῦ στάχυος. ὅσον τε σὺν τῷ στάχυι τέμνεται, καὶ ὅσον ἐν τῇ γῇ ἄτμητον ὑπολιμπάνεται.

50 Ἄρχεσθαι δ' ἀμῶντας ἐγειρομένω κορυδαλῶ] δεῖ φησι τοὺς ἀλοῶντας, μεσημβρίας ἀλοᾶν. τοὺς δὲ ἀμῶντας, ἄρτι λευκαινομένης τῆς ἠοῦς ἄρχεσθαι τοῦ ἀμητοῦ· λήγειν δὲ ἐπισκιαζομένης ἤδη τῆς γῆς.

51 ἐλιννῦσαι δὲ τὸ καῦμα] ἤτοι τὸ μέσον τῆς ἡμέρας ἠρεμεῖν, βραδῦναι. τὸ θέμα, ἐλιννύω τὸ βραδύνω· οὐκ ἀσκόπως δὲ τοῦτο λέγει. ὁ γὰρ κορυδαλὸς τῶν ὀρνέων, πρῶτος περὶ τὸ λυκόφως ἐπὶ τὰς νομὰς ἀφικνεῖται, καὶ τελευταῖος ὑποστρέφει.

52 Εὐκτὸς ὁ τῶ βατράχω παῖδες βίος] μακάριος. ἐπισκώπτει δὲ τὸν ἐργοδότην, ὡς μὴ αὐτάρκες ποτὸν παρεχόμενον. εὐκτὸς δέ, ὁ εὐχῆς ἄξιος, καὶ εὐκταῖος. ἀπευκτὸς δὲ καὶ ἀπευκταῖος, ὁ μισητός.

54 Κάλλιον ὦ 'πιμελητὰ] ὁ λόγος πρὸς τὸν ἐπιστάτην τῶν θεριστῶν, ὀλίγην τροφὴν αὐτοῖς παρεχόμενον. Ἄλλως. τὸ ἐπιμελητά, ἀντὶ τοῦ ὦ ἐργοδότα· ὃν δὴ ἐργοδότην φιλάργυρον φησί. τὸ δὲ τὸν φακὸν ἕψειν, παρ' ὑπόνοιαν. ἔδει γὰρ εἰπεῖν τὸ κρέας ἢ κάλλιον. ὦ ἐπιστάτα ἕψειν σε τὸν φακὸν ὁλόκληρον. καὶ ὅρα ἵνα μὴ ἐπιτάμῃς, ἤγουν σχίσῃς τὴν χεῖρα καταπρίων αὐτὸν δηλονότι, ὡς οἱ τὸ κύμινον. καθὰ εἰώθαμεν τοὺς ἄγαν φειδωλούς, κυμινοπρίστας καλεῖν. σκώπτει δὲ αὐτὸν ὁ λόγος ὡς φειδωλόν.

56 Ταῦτα χρὴ μοχθεῦντας ἐν ἁλίῳ ἄνδρας ἀείδειν] τινὲς ἐκ τοῦ Μίλωνος λέγουσιν εἶναι τὸν

λόγον

© Centre d'Études Supérieures de la Renaissance - Tours

λόγου ἀπὸ τοῦ, ἢ καλὰς ἄμμε ποιῶν ἐλελήθει βώτης ἀοιδάς, μέχρι τέλους τοῦ εἰδυλλίου. ἄλλοι δὲ λέγουσιν, ὅτι ἐκ τοῦ Μίλωνος ἐστὶν ὁ λόγος τό, ἢ καλὰς ἄμμε ποιῶν, μέχρις, ἄμοι τοῦ πώγωνος, ὃν ἀλιθίως ἀνέφρυσας. τὸ δὲ μετὰ ταῦτα, ἤγουν τὸ θᾶσαι δὴ καὶ ταῦτα τὰ θείω Λυτιέρσα, λέγουσι τὸν Βάττον λέγειν μέχρι τοῦ, μὴ ἐπιτάμνῃς τὰν χεῖρα καταπρίων τὸ κύμινον. τὸ δὲ ἑξῆς, ὡς ἀπὸ τοῦ Μίλωνος. ἤτοι τό, ταῦτα χρὴ μοχθεῦντας, καὶ τοὺς μετὰ ταῦτα δύο στίχους.

Ἄλλως Ταῦτα χρὴ μοχθεῦντας] Ταῦτα τὰ μέλη τὰ προειρημένα δηλονότι, χρὴ τοὺς θερίζοντας ᾄδειν, καὶ οὐχὶ ἐρωτικὰ ὥσπερ σὺ ποιεῖς βουκαῖε δηλονότι. ἢ ἐνδέχεται τοὺς θερίζοντας τοῦ θερισμοῦ φροντίζειν, καὶ μὴ τοῦ ἔρωτος. ὁ λόγος ἐκ τοῦ Μίλωνος. οἱ δὲ καὶ τοῖς ἐπάνω ταῦτα συνάπτουσι.

57 Τὸν δὲ τεὸν βουκαῖε πρέπει λιμηρὸν ἔρωτα] περὶ δὲ οὗ ἐρᾷς σου ὦ Βάττε τοῦ πτωχοῦ, προσηκόν ἐστι τῇ μητρί σου λέγειν ἐν τῇ κοίτῃ κατὰ τὸν ὄρθρον κειμένῃ ἢ ἀνισταμένῃ ὄρθρου, καὶ μὴ νῦν ἐμοί. τὸ δὲ λιμηρόν, ἀντὶ τοῦ πτωχόν. ἢ χρὴ δέ σε τὸν σαυτοῦ ἔρωτα πρὸς τὴν μητέρα λέγειν, ὅτι χρηγορεῖ ἐν τῇ κοίτῃ.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ια'.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Κύκλωψ, ἢ Γαλάτεια. Προλογίζει δὲ ὁ Θεόκριτος πρὸς τὸν Νικίαν.

Οὐδὲν ποτὶ τὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο Νικία, οὔτ' ἔγχριστον ἐμοὶ δοκεῖ, οὔτ' ἐπίπαστον ὁ νοῦς· οὐδὲν ἔρωτός μοι δοκεῖ φάρμακον πεφυκέναι ὦ Νικία, εἰ μὴ ἡ παιδεία, καὶ αἱ μοῦσαι. ταύταις γὰρ ὁ Κύκλωψ πρὸς διαγωγὴν τοῦ ἔρωτος τῆς Γαλατείας ἐχρῆτο. καὶ Φιλόξενος ποιεῖ τὸν Κύκλωπα παραμυθούμενον ἑαυτόν, ἐπὶ τῷ τῆς Γαλατείας ἔρωτι, καὶ ἐντελλόμενον τοῖς δελφῖσιν, ὅπως ἀγγείλωσιν αὐτῇ, ὅπως ταῖς μούσαις τὸν ἔρωτα ἀκεῖται. καὶ Καλλίμαχος· Ὡς ἀγαθὸς Πολύφαμος, ἀνεύρατο τὰν ἀοιδάν, αἱ μοῦσαι τὸν ἔρωτα κατίσχανον. Ἄλλως. Ὦ Νικία. οὐδεμία θεραπεία ἄλλη ἐστὶ πρὸς τὸν ἔρωτα, παρὰ αἱ μοῦσαι. αὗται γὰρ θεραπεύουσι τὸν ἔρωτα. τὸ δὲ τοιοῦτο φάρμακον, κοῦφον καὶ χάριεν γίνεται εἰς τοὺς ἀνθρώπους. δύσκολον δὲ κατὰ τὴν εὕρεσιν. γινώσκεις δὲ καὶ σὺ τοῦτο ἐπιστημόνως, ὡς ἰατρὸς καὶ φίλος ταῖς μούσαις. καὶ τούτου παράδειγμα ὁ Κύκλωψ. εὐκολώτατα γὰρ ἐκεῖνος ἐθεράπευε τὸν ἔρωτα μελουργῶν, καὶ ταῖς μούσαις προσέχων, ὅτε ἠράσθη τῆς Γαλατείας νέος ὤν, καὶ ἄρτι τὴν ἔκφυσιν τῶν γενείων ἐν τῷ πώγωνι δεικνύων. ἐκινήθη δ' εἰς ἔρωτα, οὐχ ὑπὸ μήλων, ἢ ῥόδων, ἢ ὑπὸ φαύλων τινῶν λέγω κικίνων, τουτέστι τριχῶν, ἀλλ' ὑπ' ὅλων μανιῶν. ὥστε καὶ τὰ προσόντα αὐτῷ ἠμέλει πάρεργα. καὶ γὰρ αἱ οἶες αὐτοῦ ἄδοντος ἐπὶ τῆς χιόνος, ἐκ

© Centre d'Études Supérieures de la Renaissance - Tours

νομῆς μόναι ἐπανῆλθον εἰς τὸ αὔλιον, τουτέστιν εἰς τὴν μάνδραν. αὐτὸς δὲ καθήμενος, ἦδεν ἔχων ἐκ τῆς Ἀφροδίτης ἐχθρότατον ἕλκος, ὅπερ ἐνέπηξε τῷ ἥπατι αὐτοῦ. Ἰστέον, ὅτι τῶν φαρμάκων τὰ μέν εἰσι χριστὰ, ἤγουν, ἅπερ χριόμεθα εἰς θεραπείαν· τὰ δὲ ποτὰ, ἤγουν, ἅπερ πίνομεν· τὰ δὲ ἐπίπαστα, ἤγουν, ἅπερ ἐπιπάττομεν.

3 Κοῦφον δέ τι τοῦτο] τὸ κατὰ φιλοσοφίαν ἐρᾶν, κουφότατον παρέχει τὸ πάθος. ἤγουν, συντόμως γίνεται ἡ σοφία. καὶ σύντομον τὸ μουσικὸν εἶναί τινα.

4 Εὑρεῖν δ' οὐ ῥᾴδιον] τὴν φιλοσοφίαν λέγει, ἢ τὴν παιδείαν, ὅτι οὐκ ἔστιν εὐχερὲς περιγενέσθαι φιλοσοφίας, ἢ παιδείας.

7 Οὕτω γοῦν ῥᾷστα] τοῦτον γὰρ τὸν τρόπον ῥᾴδιον διῆγε καὶ ὁ παρ' ἡμῖν Κύκλωψ διὰ τῶν ᾠδῶν. τὸ δὲ παρ' ἡμῖν ἐπὶ τῆς Σικελίας φέρει. καθὸ καὶ Συρρακούσιός ἐστι. δοκεῖ δέ τισιν, ὅτι καὶ ἡ πλάνη τοῦ Ὀδυσσέως, περὶ Σικελίαν που γέγονε.

10 Ἤρατο δ' οὐ μάλοις] εἰς ἔρωτα ἐκινήθη, ἠράσθη, οὐκ ἐλαφρῶς, ὥστε μῆλα διδόναι, ἢ ῥόδα, ἢ ἕτερόν τι εἰς τὸ καλλωπίζειν. ἢ ἠράσθη οὐκ ἐλαφρῶς, καὶ τὸν κατὰ μέρος αὐτῆς, οὔτε ῥόδων, οὔτε μήλων. μήλων μὲν ἐπὶ τῆς ὄψεως· ῥόδων δὲ, τῆς γυναικείας ἥβης. παρόσον καὶ ῥοδωνιὰν αὐτὴν ἔθος ὅτε λέγει. ὡς Κρατῖνος ἐν Νεμέσει· Ὥς τ' οὖν ἐσθίων τοῖς σιτίοις ἥδομαι. ἅπαντα δ' εἶναι δοκεῖ ῥοδωνιὰ, καὶ μῆλα, καὶ σέλινα, καὶ σισύμβρια. ¶ οὐδὲ κικίννοις] τοῖς μαλλίοις. τῇ κόμῃ, ὡς καὶ ὁ κωμικὸς λέγεται. Ὥσπερ ἔγχελυς χρυσοῦς ἔχων κικίννους.

12 Ποτὶ τωὔλιον αὐταί αὐταὶ ἀντὶ τοῦ μόναι Ὅμηρος Τυδείδης δ' αὐτὸς πονέων, ἀντὶ τοῦ αὐτόματος. καὶ μόνος.

17 Ἀλλὰ τὸ φάρμακον εὗρε] ἀλλὰ πεπραμένος ὑπὸ τῆς Ἀφροδίτης, εὗρε τὸ φάρμακον, τουτέστι τὴν θεραπείαν. ¶ καθεζόμενος γὰρ ἐπάνω τινὸς πέτρας ὑψηλῆς, μέλη τινὰ συνετίθει, ἐμμόνως πρὸς τὴν θάλασσαν βλέπων.

19 Ἀποβάλλη] μισεῖς, ἀπορρίπτεις. ἀποβάλλω γὰρ, τὸ ἀπορρίπτω. προσβάλλω, τὸ προσκρούω· ὡς τὸ, προσβάλλουσιν οἱ πολέμιοι τοῖς τείχεσι τῆς πόλεως. περιβάλλω, τὸ ἐνδύω. ὅθεν καὶ περιβολὴ, τὸ ἔνδυμα.

20 Λευκοτέρα πακτᾶς] τυροῦ πεπηγότος· ὃ οἱ Ἀττικοὶ τροφαλίδα καλοῦσι.

21 Μόσχω γαυροτέρα] αὐθαδεστέρα. γαῦρος γὰρ ὁ ἐπηρμένος. καὶ γαυριᾷ ῥῆμα, ἀντὶ τοῦ ἐπαίρεται. ἐκ τούτου συγκριτικὸν, γαυρότερος, καὶ γαυροτέρα θηλυκόν. ¶ φιαρωτέρα ὄμφακος ὠμᾶς] σκληροτέρα ἀώρου σταφυλῆς. ὄμφαξ γὰρ ἡ ἄωρος σταφυλὴ, καὶ ἡ ἄωρος ἐλαία ὅθεν καὶ ὀμφάκινον ἔλαιον, τὸ ἐξ ἀώρων ἐλαιῶν γινόμενον, ὃ δὴ πινόμενον, τὰς ἐν τῇ κοιλίᾳ πλατείας ἕλμινθας ἀναιρεῖ.

24 Πολιὸν λύκον] ἀντὶ τοῦ λευκόν. οἱ γὰρ λύκοι, αἰθαλώδεις τὴν

© Centre d'Études Supérieures de la Renaissance - Tours

τὴν χροιάν· ἐπεὶ οὖν ἐκ μέλανος καὶ λευκοῦ εἰσι τὰ τοιαῦτα, εἶπε καταχρηστικῶς τοὺς λύκους λευκούς· ἢ πολιοὺς, ἀντὶ τοῦ γηραιοὺς, καὶ παλαιούς.

27 Ἐξ ὄρεος δρέψασθαι] τὸ δρέψασθαι, κυρίως ἐπὶ βοτανῶν, καὶ ἐπὶ φύλλων δένδρων. καὶ λέγεται ἀεὶ παθητικῶς· τὰ γὰρ ἐνεργητικὰ ἄχρηστα. σημαίνει δὲ τὸ τέμνω. ἐκ δὲ τούτου τοῦ δρέπω ἀχρήστου, καὶ δρεπάνη, δι' ἧς τοὺς ἀστάχυας δρέπομεν.

28 Παύσασθαι δ' ἐσιδών τυ] οὐ δύναμαι παύσασθαι ἐξ ἐκείνου τοῦ καιροῦ, καθ' ὃν εἶδόν σε, οὔτε μετὰ ταῦτα, οὔτε μέχρι τοῦ νῦν.

33 Πλατεῖα ῥὶς ἐπὶ χείλει] τουτέστιν εἰμὶ σιμός. σιμὸς δέ ἐστιν, ὁ συγκαθημένην ἔχων τὴν ῥῖνα, καὶ ἀνεστηκότας τοὺς ῥώθωνας. γρυπὸς δὲ, ὁ ἐπικαμπῆ ταύτην ἔχων, δίκην ἱέρακος.

34 Ἀλλ' ωὑτὸς τοιοῦτος] ἀλλ' ἐγὼ αὐτὸς τοιοῦτος, ὢν ἀσχήμων δηλονότι καὶ δυσειδής, ποιμήν εἰμι προβάτων χιλίων, καὶ βόσκω αὐτά.

35 Καὶ τὸ γάλα τούτων τὸ κάλλιστον πίνω ἀμελγόμενος ἴσσον, ὅτι τὸ ἀμέλγω κοινὸν ὃ καὶ βδέλλω, τὸ ἐκπιέζω ἐκ τούτου καὶ βδέλλα ἡ ἐκμυζῶσα καὶ πίνουσα τὸ αἷμα. Ἀττικῶς δὲ, βδάλλω τὸ αὐτό.

37 Ταρσοὶ δ' ὑπερβραχέες αἰεί] Ταρσοὶ τὰ κοινῶς λεγόμενα τυροβόλια. καὶ γίνεται ἀπὸ τοῦ τείρω, τερῶ. καὶ πλεονασμῷ τοῦ σ, καὶ ἀναδόσει τοῦ τόνου, τέρσω. ἀφ' οὗ ταρσὸς ἐν ᾧ τινι δηλονότι, ὁ τυρὸς ξηραίνεται.

38 Συρίσδεν δ' ὡς οὔτις] γινώσκω δὲ διὰ σύριγγος μελουργεῖν, ὡς οὐδεὶς τῶν ἐνταῦθα ὄντων Κυκλώπων.

39 Τὶν τὸ φίλον γλυκύμαλον] τοῦτο πρόσφθεγμα ἐρωτικόν. εἰώθασι γὰρ οἱ ἐρῶντες πρὸς τὰς ἐρωμένας λέγειν, γλυκύ μου μῆλον. ἐμαυτὸν καὶ σὲ παρὰ καιρὸν τῆς νυκτὸς ᾄδω· τουτέστι, διὰ μελουργημάτων ἐγκωμιάζω.

Ἄλλως. γλυκύμαλον. ναί φησιν οὕτω τὸ συρίζειν ἐπίσταμαι, ὡς οὐδεὶς τῶν Κυκλώπων, ὑμνῶν τὸ προσφιλέστατόν μοι γλυκύμηλον, ἤγουν τὸ γλυκὺ μῆλον. μῆλον δέ ἐστιν ὡς μελίλωτον. ἔστι γὰρ μήλου γένος. Σαπφώ· Γλυκύμαλον ἐρεύθεται, ὡς ἄκρῳ ἐπ' ὕσδῳ.

40 Τρέφω δέ τοι ἕνδεκα νεβρώς] τοῦτο ἐρεθιστικόν· ἤγουν, παρακινητικὸν πρὸς ἔρωτα. ὅτι ἐκ περιουσίας ἔχω καὶ ἐλάφους, μετὰ τῶν γεννημάτων αὐτῶν. ἀμνοφόρως γὰρ, ἀμνίδας καὶ βρέφη φερούσας ἢ μαννοφόρως. γράφεται γὰρ ἐν ἴσῳ καὶ οὕτω. μάννος δέ ἐστιν, ὁ περιτραχήλιος κόσμος, τὸ λεγόμενον μαννάκιον.

41 Καὶ σκύμνως τέσσαρας] καὶ σκύμνους ἄρκτων τέσσαρας.

42 Ἀλλ' ἀφίκευ τὺ] ἀλλ' ἐλθὲ πρὸς ἐμέ· καὶ οὐχ ἧττον ἐμοῦ ἕξεις. δηλονότι, ὁμοίως ἐμοὶ ἀπολαύσεις τῶν ἐμῶν.

45 ἐντὶ ῥαδιναὶ κυπάρισσοι] ῥαδινὸν τὸ ἐπίμηκες καὶ λεπτόν. τὸ ῥεῖα, ἤγουν εὐκόλως δοκέομεν.

© Centre d'Études Supérieures de la Renaissance - Tours

46 Ἔντι μέλας κισσός] οὐκ ἀσκόπως τοῦτο φησί. παραδίδωσι γὰρ ὁ Κρατῖνος, καὶ ἄλλον λευκὸν κισσόν. οὗ τὸν καρπὸν μετὰ τὸ τρι-βῶσι πινόμενον, πρὸς παιδοποιΐαν φασὶ συντελεῖν.

47 Ἁ πολυδένδρεος Αἴτνα] Ἰστέον, ὅτι ἡ Αἴτνη τὸ ὄρος τῆς Σικελίας, ἐξ ἑνὸς μέρους πῦρ ἀναπέμπει, ὃ καὶ Αἰτναῖον λέγεται· ἐκ δὲ τοῦ ἑτέρου μέρους ἐστὶ δενδροφόρον, ἐν ᾧ καὶ χιὼν δι' ἔτους τηρεῖται, ἐξ οὗ φησὶν ὁ Θεόκριτος τῆς χιόνος τηκομένης, ῥεῖν τὸ ὕδωρ καὶ μάλα ψυχρόν.

48 ποτὸν ἀμβρόσιον] νέκταρ, θεῶν πόμα. ἀμβροσία τροφὴ θεῶν, ὥς φασιν Ἕλληνες. ἐκ δὲ τῆς ἀμβροσίας, καὶ ἀμβρόσιον πόμα, τὸ θεῖον, τουτέστι τὸ γλυκύτατον.

49 Τίς κα τῶνδε θάλασσαν] ἤγουν, τίς τοσαῦτα ἔχων ὅσα ἐγὼ ἔχω δηλονότι, ἀφεὶς ταῦτα προέλοιτο, ἤγουν προκρίνοι οἰκεῖν θάλασσαν καὶ κύματα.

50 Αἰ δέ τοι αὐτὸς ἐγὼν δοκέω] εἰ δὲ ἐγὼ παρὰ σοὶ νομίζομαι λάσιος εἶναι, δηλονότι σύνοφρυς, καὶ διὰ τοῦτο μεμίσημαι, ἔστι μοι ξύλα δρύϊνα καὶ καιόμενος καὶ τὴν ψυχὴν καὶ τὸν ἕνα ὀφθαλμόν, οὗ γλυκερώτερον οὐδὲν ἐμοί ὑπὸ σοῦ, ὑπομείναιμι ἂν ἡδέως. τοῦτο φησὶν, ὅτι οἱ ἐρῶντες πάσχοντες ὑπὸ τῶν ἐρωμένων τὰ ἔσχατα τῶν δεινῶν, ἡδέως φέρουσιν.

54 Ὤ μοι ὅτ' οὐκ ἔτεκεν μ' ἁ] ἀπορῶν ὁ Κύκλωψ καὶ ἀποτυγχάνων ὡς ἐρῶν Νηρηΐδος τῆς Γαλατείας, φησὶ δεινοπαθῶν· φεῦ μοι, ὅτι οὐκ ἐγέννησέ με ἡ μήτηρ μου ἰχθύν. οὕτω γὰρ ἂν κατεφίλησα τὴν χεῖρά σου, ἐὰν μὴ τὸ στόμα ἤθελες.

56 ἔφερον δέ τοι ἢ κρίνα λευκά] ἔφερον δέ σοι τὰ ἐρωτικὰ σύμβολα. κρίνα δηλονότι λευκὰ καὶ μήκωνος φύλλα. ἀλλ' οὐκ ἂν ἐδυνήθην φέρειν σοι ἀμφότερα ἐν αὐτῷ τῷ καιρῷ· τὰ γὰρ κρίνα τοῦ θέρους εἰσί· τὰ δὲ τῆς μήκωνος φύλλα, τοῦ χειμῶνος. μήκων δὲ λέγεται ἡ κεφαλὴ, καὶ ἀνθηφόρος βοτάνη, ἡ κοινῶς λεγομένη κώδεια.

57 ἐρυθρὰ πλαταγώνια] τὰ τῆς μήκωνος φύλλα φησὶ, καὶ τὰ τῆς ἀνεμώνης, ἀπὸ τοῦ πλατάσσειν, ὅ ἐστι ψοφεῖν. τιθέντες γὰρ αὐτὰ κατὰ τὸν ἀντίχειρα καὶ τὸν λιχανὸν δάκτυλον, τύπτουσι τῇ ἑτέρᾳ χειρὶ, καὶ οὕτω σημειοῦνται, εἰ ἀγαπῶνται ὑπὸ τῶν ἐρωμένων. ὥσπερ καὶ ἀπὸ τοῦ τῆς πλαταγῶνος ψόφου, εἰ ἀψόφως ἐπικρουσθείη.

60 Νῦν μὰν ὦ κώριον] λείπεται τοίνυν ὦ κόρη, ἐπεὶ οὐ βράγχια ἔχω, τουτέστιν οὐκ ἰχθὺς ἐγενόμην, μαθεῖν ἐμὲ τὸ νεῖν, τουτέστι τὸ πλέειν, καὶ κολυμβᾶν. ἐάν περ ἀφίκηταί τις ξένος ἐνταῦθα μετὰ νηός· οὗτος γὰρ ἐμὲ διδάξεται δηλονότι πλέειν, ἵνα μάθω τί γλυκύ ἐστιν ὑμῖν ταῖς Νηρηΐσι· δηλονότι τὸ κατοικεῖν τὸν βυθόν.

63 Ἐξένθοις Γαλάτεια] τὸ

πᾶν·

© Centre d'Études Supérieures de la Renaissance - Tours

πᾶν· εἴτε ἐξέλθοις ὦ Γαλάτεια. καὶ ἐξελθοῦσα, εἴτε λήθην λάβοις ὥσπερ ἐγὼ νῦν ἐνταῦθα καθήμενος, εἰς τὸν οἶκον ἀπελθεῖν. καὶ εἴτε βουληθείης σὺν ἐμοὶ ποιμαίνειν, καὶ ὁμοῦ γάλα ἀμέλγειν. καὶ εἴτε βουληθείης, ἀπὸ κοινοῦ τὸ χῆναι, τυρὸν πῆξαι, πιτύαν δριμυτάτην ἐμβαλοῦσα.

67 Ἁ μάτηρ ἀδικεῖ με] ὅτι οὐ μαστροπεύει μοι. αὕτη δ' ἂν εἴη Φόρκυνος θυγάτηρ ἡ Θόωσα, καθὼς φησιν ὁ ποιητής. Ἄλλως. τοῦτο ἀγροικικόν, καὶ ἀφελὲς τὸ ἦθος. ὅτι ἡ μήτηρ μου ἀδικεῖ με, μὴ προσαγωγεύουσα τὴν ἐμὴν ἐρωμένην πρὸς ἐμέ. καὶ ταῦτα ὁρῶσά με ὑπὸ τοῦ ἔρωτος ἰσχναινόμενον, καὶ λεπτυνόμενον καθ' ἑκάστην ἡμέραν· διὰ τοῦτο καὶ ἐγὼ αὐτὴν λυπήσω αὐτήν, προφασιζόμενος, ὅτι τὴν κεφαλὴν μου ὀδυνῶμαι, καὶ τοὺς πόδας μου ἀμφοτέρους, ἐπεὶ τοῦ ἔρωτός μου οὐ φροντίζει.

72 Ὦ Κύκλωψ Κύκλωψ] ὥσπερ συστραφεὶς, καὶ ἀλγύνας τὴν ψυχὴν ἀπὸ τῆς ἐκστάσεως, πρὸς ἑαυτὸν διαλέγεται· ποῦ τὰς φρένας ὦ Κύκλωψ ἐκπεπετασμένας καὶ πεπλανημένας ἔχεις, ἐὰν ἀπελθὼν καλαθίσκους συμπλέκῃς, καὶ ποιὰν θερίσας τοῖς ἀρνίοις φέρῃς, ἴσως γένοιο φρονιμώτερος.

75 Τὰν παρεοῖσαν ἄμελγε] ὁ νοῦς· τί πρὸς ἀμηχανίαν τρέπῃ; Ἡσίοδος Νήπιος, ὃς τὰ ἕτοιμα λιπὼν, τ' ἀνέτοιμα διώκει. καθὰ τὴν παροιμίαν τοῦτο λέγει. τὸν θέλοντα βοῦν ἔλαυνε· ἤγουν, τὴν ἀγαπῶσαν φίλει.

80 Οὕτω τοι Πολύφαμος] πρὸς τὸν Νικίαν ὁ λόγος ἀπὸ τοῦ ποιητοῦ. οὕτως ὁ Πολύφημος φησὶ, μετεχειρίζετο, τὸν ἔρωτα ἐθεράπευε μελουργῶν.

81 ῥᾷον δὲ διῆγεν] εὐχερέστερον δὲ διέζη, παρὰ μισθὸν δοῦναι, εἰς θεραπείαν τοῦ ἔρωτος δηλονότι· ἢ εἰ χρυσίον εἶχε δοῦναι, ὅπως πείσῃ τὴν Γαλάτειαν.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ιβʹ.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Αἴτης. γέγραπται δὲ Ἰάδι διαλέκτῳ. ἔστι δὲ τὸ εἶδος ἀφηγηματικόν. ἀφ' ἑνὸς γὰρ προσώπου προάγεται ὁ λόγος, τουτέστι, τοῦ Θεοκρίτου· διαλέγεται γὰρ ὡς ἐραστὴς πρός τινα ἐρώμενον, οὐ πλέον τριῶν ἡμερῶν ἀποδεδημηκότα. ὅθεν φησὶν, ἤλυθες μετὰ τρεῖς ἡμέρας· ἐγὼ δὲ ἐν μιᾷ ἡμέρᾳ γεγήρακα, ὡς ποθῶν. ἔστι δὲ Εἰσπνήλος ὁ ἐραστής, κατὰ τὴν τῶν Ἀμυκλαίων διάλεκτον. Αἴτης δὲ, ὁ ἐρώμενος, ὡς Θετταλοί φασιν. εὔχεται δὲ ἵνα μετὰ θάνατον γένοιντο ἀοίδιμοι. ἐπαινεῖ δὲ καὶ τοὺς Μεγαρεῖς ὡς τιμήσαντας τὸν Διοκλέα παιδεραστὴν ὄντα, ἐπιταφίῳ ἀγῶνι. ἐν ᾧ οἱ νέοι ἠγωνίζοντο φιλήμασι καὶ ὁ μᾶλλον φιλήσας, ἐστεφανοῦτο βαρεῖ στεφάνῳ, καὶ ἀπήρχετο πρὸς τὴν ἑαυτοῦ μητέρα.

1 Ἤλυθες ὦ φίλε κοῦρε] τρίτῃ νῦν νυκτὶ καὶ ἀοῖ, ἤλυθες·

© Centre d'Études Supérieures de la Renaissance - Tours

ὦ φίλε μοι νέε, ἦλθες μετὰ τρεῖς νύκτας τε καὶ ἡμέρας. εἶτα ἐπαναφέρων εἴρηκεν, ὅτι βραδέως ἦλθες.

2 οἱ δὲ ποθεῦντες] οἱ δὲ ἐρῶντες ἐν μιᾷ ἡμέρᾳ ἀποδυρόμενοι, γηρῶσιν. ἔστι δὲ παρὰ τὸ ὁμηρικόν· Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν. ἢ οἱ δὲ ποθοῦντες ἐν ἡμέρᾳ μιᾷ γηρῶσι τῶν ἐρωμένων ἀποτυγχάνοντες. Ἄλλως. οἱ ἐρῶντες, εἰ μίαν μόνην ἡμέραν τοῦ ἐρωμένου ἀπολειφθεῖεν, τὴν πᾶσαν ζωὴν ἐστερῆσθαι τῆς αὐτῶν παρουσίας νομίζουσιν.

3 Ὅσσον ἔαρ χειμῶνος] ὅσον δὲ ἡδύτερον τὸ ἔαρ τοῦ χειμῶνος, ὅσον ἡ ὄϊς τῆς ἰδίας ἀρνὸς δασυτέρα, ὅσον ἡ παρθένος προτιμωτέρα τῆς πολυγάμου γυναικός, ὅσον ταχυτέρα ἡ ἔλαφος τοῦ μόσχου, ὅσον ἡ ἀηδὼν γλυκυτάτη εἰς τὸ ᾄδειν, δηλονότι τῶν πετεινῶν πάντων· τόσον φανεὶς σὺ εὔφρανας ἐμέ. κατέφυγον δὲ ὑπὸ σὲ ἀναψυχὴν ληψόμενος δηλονότι, ὥσπερ καὶ ὁδοιπόρος τῷ ἡλίῳ φλεγόμενος, ὑπὸ σκιὰν δένδρου καταφύγῃ.

8 σκιερὴν δ' ὑπὸ φηγὸν] ὡς ἄν τις φησὶ φλεγόμενος ὑπὸ ἡλίου εἰς σκιὰν φηγοῦ παρέλθῃ, οὕτω κἀγώ σοι προσυνεπαυσάμην ἀσμένως.

10 Εἴθ' ὁμαλοὶ πνεύσειαν] εἴθε, φησίν, ἐνεχώρει ὅμοιον γενέσθαι τὸν εἰς ἀλλήλους ἔρωτα, ἵνα καὶ ὑπὸ τῶν μεταγενεστέρων περιβόητος ἡμῶν ἡ φιλία ᾖ. ἢ, εἴθε δὲ ἐφ' ἡμῖν ἀμφοτέροις ἀσμένοις οἱ ἔρωτες γένοιντο, καὶ ἐπιπνεύσειαν ἀπαράχως. γενοίμεθα δὲ καὶ τοῖς μεθ' ἡμᾶς ἐσομένοις, λόγος ᾀδόμενος· ὅτι δύο τινὲς, ἐν ἀλλήλοις ἐγένοντο συντακέντες τῷ ἔρωτι.

11 ἐπεσσομένοισι δὲ] ἐπὶ πᾶσι δὲ τοῖς ἐσομένοις καὶ μέλλουσιν ἔσεσθαι. ἤτοι τοῖς μεταγενεστέροις, γενοίμεθα ἀοιδοί. ἤτοι ᾄσματα, λέγουσι δηλονότι.

12 Δοιὼ δή τινε] τοῦτο ὡς τοὺς προγενεστέρους. ἵνα οἱ μεταγενέστεροι τῆς φιλίας ἡμῶν μνησθέντες, λέγωσιν ὅτι δύο πρὸ ἡμῶν ἐγένοντο ἄνθρωποι, ἕτερος μὲν ὑπὸ Λακώνων λεγόμενος Εἴσπνιλος, τουτέστιν ἐραστής· ἕτερος δὲ ὑπὸ Θεσσαλῶν Αἴτας, τουτέστιν ἐρώμενος. οὗτοι δ' ἀλλήλους ἐξ ἴσου ἐφίλησαν, τοῦ χρυσοῦ γένους, ὡς ἔοικεν, ὄντες.

13 Φᾶϊ', ὁ μὲν τὸν Εἴσπνιλος, φαίη χ' ὡμυκλαϊσδων] ὁ μὲν κατὰ τοὺς Ἀμυκλαίους Εἴσπνιλος ὀνομαζόμενος. οὗτοι γὰρ τὸν ἐραστὴν Εἴσπνιλον φασίν· ὁ δὲ ἕτερος κατὰ τοὺς Θετταλοὺς Αἴτης, τουτέστιν ἐρώμενος. τὴν ἀλλήλων δὲ φιλίαν ἰσόρροπον εἶχον, ὡς ἐπὶ ζυγοῦ ἰσοσταθμου. ὡς ἔοικε δὲ τότε ἦσαν πάλιν ἄνδρες ἐκ τοῦ χρυσοῦ γένους, ὅτε ὁ φιλῶν ἀντιφιλεῖτο. Ἀμύκλαι δὲ πόλις Λακωνική.

17 Εἰ γὰρ τοῦτο πάτερ Κρονίδα] εἴθε γὰρ τοῦτο ὦ Ζεῦ γένοιτο υἱὲ τοῦ Κρόνου. ¶ εἰ ὦ ἀγήρω ἀθάνατοι, ἤγουν, ὦ Ζεῦ καὶ ὦ ἕτεροι θεοὶ οἱ μὴ γηράσκοντες, καὶ ἀθάνατοι. Ἄλλως εἰ γὰρ ἀγήρω ἀθάνατοι] νοητέον ἔξωθεν, ἡμεῖς.

οὕτω

τοῦτο δὲ οὐχ ὡς θεοὺς αὐτοὺς εἶναι φησὶν, ἀλλ' ὡς καὶ τοῖς μεταγενεστέροις, διὰ μνήμης εἶναι, καὶ ᾄδεσθαι, καὶ μὴ ἐπιλησθῆναι. ἢ, εἰ γὰρ ἀγήρω ἡμεῖς, ὦ ἀθάνατοι, ἤγουν διὰ μνήμης ὑπαρχοίμεθα. ὁ νοῦς. τὸ πᾶν· εἴγε ἀθάνατοι γενοίμεθα, μηδόλως γήρως γεγευμένοι. εἰ δὲ συμβαίη ἡμᾶς θανεῖν δηλονότι, εἴθε τις ἀγγείλειεν ἡμῖν εἰς τὸν ἀνέκβατον τόπον τοῦ ᾅδου, μετὰ διακοσίας γενεάς, ὅτι ἡ σὴ νῦν φιλία καὶ τοῦ ἐρωμένου, τοῖς πάντων ἔγκειται στόμασι, μάλιστα δὲ τοῖς τῶν ἠϊθέων στόμασι δηλονότι.

22 Ἀλλ' ἤτοι τούτων μὲν ὑπέρτεροι] ἀλλ' οἱ θεοὶ μὲν ἔσονται οἱ οὐρανίωνες ὑπέρτεροι τούτων. τουτέστιν ἰσχυρότατοι βοηθοὶ, ὡς ἐθέλουσιν.

23 ἐγὼ δὲ ἐπαινῶν σε τὸν καλὸν, οὐ ψεύσομαι, οὐδὲ ἐπὶ τῆς ῥινὸς τῆς ἐμῆς ἀναβλαστήσουσι τὰ τοῦ ψεύδους σύμβολα. Ἄλλως. ἐγὼ δέ σε] ἐγὼ δέ σε ἐγκωμιάζων, λέγει δὲ πρὸς τὸν ἐρώμενον, οὐ ψεύσομαι περὶ σοῦ. οὐδὲ ἐπάνω τῆς ῥινὸς ψεῦσμα γεννήσω, ἢ μᾶλλον φύσω· εἰώθασι γὰρ ἔνιοι τὰ ἐπάνω τῆς ῥινὸς φυόμενα, ψυδράκια, ψεύσματα καλεῖν, καὶ εἶναι ταῦτα σημεῖον ψευδολογίας.

24 ἢ ψεύδεα ῥινὸς] φῦσαι ἐπὶ τῆς ῥινὸς λευκαὶ αἱ λεγόμεναι ἤονθοι, ἢ ὄνθοι, ὡς κατὰ τὸ ἄνθος τῆς ἡλικίας γινόμεναι, ἃς ψυδράκια ἐκάλουν. καὶ οἱ Σικελιῶται τὸν ταῦτα φύσαντα, ψευδηγόρον ἐσημαίνοντο εἶναι. ἤονθος δὲ λέγεται, παρὰ τὸ ὄνθος, οἱονεὶ μολυσμὸς τῆς ὄψεως.

25 Ἦν γὰρ καί τι δάκῃς] ἐὰν γὰρ καὶ λυπηρόν τι ἢ δηκτικὸν δράσῃς, ὁ λόγος ὁ τρώσας ἰάσεται. ἢ ἐὰν γὰρ καὶ δηχθῶ ὑπὸ σοῦ, τὸ μὲν δῆγμα τεθεράπευκας, καὶ ἀβλαβεῖς ἐποίησας. μᾶλλον δὲ καὶ εἰς τὸ διπλάσιον ὠφέλησας. καὶ ἐπανῆλθον εἰς τὸν οἶκον, ἔχων τὸ ἴσον μέτρον τῆς φιλίας.

27 Νισαῖοι Μεγαρῆες]. Νισαίους τοὺς περὶ τῆς Ἀττικῆς. ἐπίνηον γὰρ Μεγαρέων ἡ Νίσα· ἀφ' οὗ Νισαῖοι καλοῦνται οἱ Μεγαρεῖς. ὠνομάσθησαν δὲ, ἀπὸ Νίσου τοῦ Πανδίονος. συνοικήσαντες αὐτῷ ἀριστεύοντες. καὶ Σιμωνίδης ἐπαινεῖ τοὺς Μεγαρεῖς.

28 οἰκείητε] μακαρισθείητε, ὅτι ὑπερβαλλόντως τὸν Διοκλέα, ἐτιμήσατε. οὗτος γὰρ Ἀθήνηθεν φεύγων εἰς Μέγαρα φιλόπαις ὑπερφυῶς ὢν, ἔν τινι μάχῃ ἠρίστευσε. καὶ ὑπερασπίζων τινὸς ἐρωμένου, ἐκεῖνον μὲν ἔσωσεν, αὐτὸς δ' ἐτελεύτησεν· ὅθεν τοὺς Μεγαρεῖς θάψαι αὐτὸν, καὶ τιμᾶν ὡς ἥρωα· ἀγῶνά τε αὐτῷ ποιεῖν, ἐν ᾧ τοὺς καλοὺς περὶ φιλημάτων ἀγωνίζεσθαι· τὸν δὲ καταφιλήσαντα αὐτῶν ἥδιστα, τοῦτον ὑπ' αὐτῶν, ὡς κρείττω στεφανοῦσθαι. Ἄλλως. ὦ Μεγαρεῖς οἱ τὴν Νίσαν κατοικοῦντες, καὶ τὰ ναυτικὰ ἀριστεύοντες, εὐτυχείοιτε ὀλβίως, τὴν ἑαυτῶν κατοικοῦντες πατρίδα ἐπεὶ τὸν Ἀθηναῖον Διοκλῆν περισσότερον τῶν ἄλλων τετιμήκατε, ἐραστὴν παιδὸς γεγονότα καὶ ἐπ' αὐτῷ



© Centre d'Études Supérieures de la Renaissance - Tours

ἀγῶνα φιλημάτων τεθήκατε, ἐν ᾧ ὁ γλυκύτατα φιλήσας, καὶ τὰ ἑαυτοῦ χείλη τοῖς τοῦ ἀντιφιλοῦντος χείλεσι προσκολλήσας, βαρεῖ στεφάνῳ στεφανωθεὶς χαίρων ἀπῆλθεν εἰς τὴν ἑαυτοῦ μητέρα.

35 Ἤπου τὸν χαροπὸν Γανυμήδεα] οὕτως ὁ κελτὴς, φησὶν εὔχεται τῷ Γανυμήδει, ἵνα ἐπιτήδειον ἔχῃ τὸ στόμα, πρὸς τὸ δοκιμάζειν τὰ φιλήματα οὕτως, ὡς ἡ Λυδία λίθος δοκιμάζει τὸν χρυσὸν, εἴτε καλὸς, εἴτε καὶ μή ἡ λεγομένη χρυσᾶ, ὡς τοὺς λίθους τούτους παρὰ Λυδοῖς εὑρισκομένους. τὸ δὲ ἑξῆς, οὕτως. εὔχεται τῇ Λυδίᾳ πέτρᾳ ἴσον ἔχειν τὸ στόμα, ᾗ τινι οἱ ἀργυραμοιβοὶ τὸν χρυσὸν δοκιμάζουσιν.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ιγ'.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον, Ὕλας. πάλιν δὲ τῷ Νικίᾳ προσδιαλέγεται, ὡς καὶ ἐν τῷ Κύκλωπι. ἐκτίθεται δὲ τὰ πρὸς τὸν Ὕλαν καὶ Ἡρακλέα. τοῦ μὲν Ὕλα, ὑπὸ τῶν νυμφῶν ἁρπαγὴν, τοῦ δὲ Ἡρακλέως τὴν πλάνην, καὶ τὴν περὶ τοῦ Ὕλα βάσανον. Θεοκρίτου Ὕλας. Δωρίδι.

6 ΟΣ τὸν λῖν ὑπέμεινε] λῖν τὸν λέοντα, ἀπὸ εὐθείας τῆς λίς. καὶ Ὅμηρος· ἐπί τε λῖν ἤγαγε δαίμων· καὶ, λὶς ἠϋγένειος. ἱστορεῖται γὰρ λέοντας ὑφ' Ἡρακλέους διαφθαρῆναι, τὸν Ἑλικώνιον, τὸν Λέσβιον, τὸν Νεμαῖον.

7 χαρίεντος Ὕλα] τὸν Ὕλαν Σωκράτης, υἱὸν Ἡρακλέους φησίν. Ἀπολλώνιος δὲ ὁ Ῥόδιος, Φιλοδάμου καὶ Κύηνος. Εὐφορίων δὲ, Εὐφήμου τοῦ Ποσειδῶνος ἐρώμενον· καὶ ἄλλοι ἄλλων. ¶ τὸν πλοκαμίδα φορεῦντος] τοῦ ἔχοντος τὰς τρίχας τῆς κεφαλῆς πεπλεγμένας, ἵν' ᾖ τὸ φορεῦντος, ἀντὶ τοῦ φέροντος καὶ ἔχοντος.

9 Ὅσσα μαθὼν, ἀγαθὸς] Ἀριστοτέλης φησὶν, ὑπὸ Ῥαδαμάνθυος παιδευθῆναι τὸν Ἡρακλέα. Ἡρόδοτος δὲ ὑπὸ τῶν βουκόλων Ἀμφιτρύωνος, τινὲς δὲ ὑπὸ Χείρωνος καὶ Θεστιάδους.

10 χωρὶς δ' οὐδέ ποκ' ἦς] οὐδέποτε, φησὶν ὁ Ἡρακλῆς, αὐτοῦ ἐχωρίζετο, οὐδὲ μεσούσης τῆς ἡμέρας, οὐδὲ ταῖς ἑωθιναῖς ὥραις.

12 Οὐδ' ὁπότ' ὀρτάλιχοι μινυροὶ] οὔτε τὸν καιρὸν καθ' ὃν οἱ νεοσσοὶ ἐν οἰκήματί τινι ὄντες, ἀποβλέπουσιν εἰς τὴν κοίτην, πτερυσσομένης τῆς μητρὸς καὶ λοιπὸν ἀναχωρούσης, τὴν τελευταίαν ἐκδεχόμενοι τροφήν. ὀρτάλιχοι δὲ νεοσσοὶ μικροὶ, μηδέποτε πετόμενοι. μινυροὶ δὲ ἀντὶ τοῦ μινυρίζοντες, καὶ λεπτῇ φωνῇ θρηνοῦντες, μητρὸς πτερυσσομένης, ὅπως ὑπὸ τὰς πτέρυγας λάβῃ τοὺς νεοσσούς. 13 πέτευρον δὲ, σανίδιον λεπτὸν καὶ τετμημένον, ᾧ καὶ εἰς τοὺς ὀρόφους ἀντὶ κεραμίων πολλοὶ χρῶνται. οἱ δὲ αἰθαλόεν πέτευρον τὴν δοκὸν λέγουσιν. ὡς καὶ Ὅμηρος· αὐτὸ δ' αἰθαλόεντα ἀναρρῶξαι μεγάροιο. τινὲς δέ φασιν αἰθαλόεν εἰπεῖν τὸ πέτευρον, διὰ τὸ αἴτιον εἶναι αἰθάλης. ἢ ἀπὸ τοῦ αἰθεαλίαν. οὕτως αὐτὸ ἔφη. τὸ δὲ πᾶν ἔχει οὕτω, μέχρι τοῦ, αὐτῷ δ' εὖ ἐλ-

εὖ ἐλ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

εὖ ἕλκων. Πάλιν ὁ λόγος πρὸς τὸν Νικίαν φίλον ὄντα τοῦ Θεοκρίτου. φησὶ γὰρ ὁ Θεόκριτος πρὸς αὐτόν. ὅτι, ὡς ἐδοκοῦμεν ὦ Νικία, οὐχ ἕνεκα ἡμῶν μόνον ἐγέννησε τὸν ἔρωτα ὁ θεὸς, ᾧ τινι ἐγένετο τέκνον, οὐχ ἡμῖν μόνοις τὸ καλὸν φαίνεται καλὸν εἶναι, οἵτινες θνητοί ἐσμεν, καὶ σήμερον ὁρῶμεν, αὔριον δὲ οὐχ ὁρῶμεν· τουτέστι, σήμερον ζῶμεν, αὔριον δὲ τεθνηξόμεθα· ἀλλὰ καὶ ὁ Ἡρακλῆς ὁ χαλκεοκάρδιος, τουτέστιν ὁ στερρὸς υἱὸς τοῦ Ἀμφιτρύωνος, ὃς ἴς ὁ Ἡρακλῆς ἀπέκτεινε τὸν ἐν Νεμέᾳ λέοντα, ἐδεδούλωτο τῷ ἔρωτι. ἠράσθη γὰρ παιδὸς τοῦ χαρίεντος Ὕλα, τοῦ φέροντος πλόκαμον· τουτέστι τοῦ ἔχοντος τὰς τρίχας πεπλεγμένας. καὶ ἐδίδαξεν αὐτὸν τὸν Ὕλαν ὁ Ἡρακλῆς πάντα τὰ πρὸς ὠφέλειαν. ὡς καὶ πατὴρ διδάξειεν ἂν τὸν ἑαυτοῦ παῖδα. ἐκεῖνα δηλονότι ἐδίδαξεν αὐτὸν, ὅσα αὐτὸς ὁ Ἡρακλῆς μαθὼν, ἀγαθὸς ἐγένετο· τουτέστιν, ἐπαινετός. ἐς τοσοῦτον δὲ δεδούλωτο ὁ Ἡρακλῆς τῷ ἔρωτι τοῦ παιδὸς, ὥστε οὐδέποτε ἦν χωρὶς αὐτοῦ· τουτέστι, κεχωρισμένος· ἀλλὰ διηνεκῶς συνῆν καὶ ὡμίλει αὐτῷ. τοῦτο γὰρ δίδωσιν ὁ λόγος, τῷ μηδέποτε ἀφίστασθαι τοῦ παιδὸς, μήτε τῷ μέσῳ τοῦ ἤματος· τουτέστι, τῇ μεσημβρίᾳ, μήτε ὁπότε ἀνατέλλει ὁ ἥλιος. τοῦτο γὰρ σημαίνει, τὸ ἀνατρέχει ἡ Λεύκιππος ἠὼς ἐς τὸ δῶμα τοῦ Διός. τουτέστιν, ἡ ἐπὶ λευκῶν ἵππων ὀχουμένη. μήτε ὁπότε ὄρνις τις νεοσσοὺς ἔχουσα καὶ ὄντας πρὸς τὴν κοίτην τοῦ ἡλίου δύοντος ἐπὶ ξύλου καθημένη, καὶ τὰ πτερὰ αὐτῆς περιβάλλουσα, σκέπει καὶ περιθάλπει. οὕτω πεπαίδευτο ὁ παῖς αὐτῷ κατὰ θυμόν. τουτέστι, κατὰ τὴν οἰκείαν ἀρέσκειαν. 15 Αὐτῷ δ' εὖ ἕλκων] ἀντὶ τοῦ αὐτόθι. ὥσπερ αὐτόθεν ἐκ νεότητος καλῶς ἕλκων καὶ κατὰ μηδὲν ἐλαττούμενος. μηδὲ ἐλλείπων, ἀνὴρ γένοιτο. εἴρηται δὲ μεταφορικῶς, ἀπὸ τῶν βοῶν τῶν ἐκ νέου εἰθισμένων καλῶς ἕλκειν.

20 Μιδεάποδος] Μίδεα πόλις Ἄργους. οἱ δὲ κώμην αὐτήν φασίν. Ἀργεία δὲ καὶ ἡ Ἀλκμήνη.

22 Ἆ Ἐς Κυανεᾶν] Κάρυστος ὁ Περγαμηνὸς φησὶ, Κυανέας μὲν ὑπὸ ἀνθρώπων, ὑπὸ δὲ θεῶν, ὄρηου πύλας κεκλῆσθαι. Τιμοσθένης δέ φησιν, ἀπὸ τοῦ ἱεροῦ ὡσεὶ στάδιον, εἶναι νησίδιον σκοπελῶδες. καλεῖσθαι δὲ τὰς τούτου ἄκρας Κυανέας. Συνδρομάδων] διὰ τὸ συντρέχειν ἀλλήλαις, καὶ συνέρχεσθαι, καὶ συνθραύειν τὰς διαπερώσας ναῦς. μόνην δὲ τὴν Ἀργὼ φασι προνοίᾳ τῆς Ἀθηνᾶς διαβεβηκέναι. ἦν δὲ πεπρωμένον ταῖς συμπληγάσι πέτραις, ὥστε εἰ διαβαίη τις ἅπαξ ναῦς αὐτὰς ἀβλαβῶς, καὶ τὰς μετὰ ταῦτα μηδέν τι πάσχειν δεινόν. ἐξ ἐκείνου οὖν τοῦ χρόνου, ἀφ' οὗ ἡ Ἀργὼ διέβη, ἔστησαν τῆς συνδρομῆς.

23 βαθὺν δ' εἰσέδραμε Φᾶσιν] Φᾶσις ποταμὸς καὶ πόλις ὁμώνυμος ἐν Κόλχοις, παρὰ τοῖς Ἕλλησι, Μιλησίων ἄποικοι.



© Centre d'Études Supérieures de la Renaissance - Tours

25 ἀντέλλουσι Πελειάδες] περὶ ἀνατολὴν φησὶ τῶν Πελειάδων, ἤρξαντο στέλλεσθαι τὸν πλοῦν, καὶ ἀνάγεσθαι οἱ ἥρωες εἰς Κόλχους. ἔστι δὲ ὁ καιρὸς ἀρχομένου τοῦ θέρους. διὸ καὶ ἐπήγαγε, τετραμμένου εἴαρος· τουτέστι, λήξαντος. Ἄλλως. αἱ Πελειάδες, φησὶ Καλλίμαχος, τῆς βασιλίσσης τῶν Ἀμαζόνων ἦσαν θυγατέρες, αἱ Πελειάδες προσηγορεύθησαν. πρῶτον δὲ αὗται χορείαν καὶ παννυχίδα συνεστήσαντο παρθενεύουσαι. ὁ δὲ νοῦς. καθ' ὃν φησὶ καιρὸν ἀνατέλλουσιν αἱ Πλειάδες, θάλλει τε πᾶσα γῆ ταῖς βοτάναις τοῦ ἔαρος. τηνικαῦτα τοῦ ἀπόπλου ἐφρόντιζον. τὰ δὲ ὀνόματα τῶν Πλειάδων εἰσὶ ταῦτα, Κοκκυμώ, Πλαυκία, Πρῶτις, Παρθενία, Μαῖα, Στονυχία, Λαμπαδώ.

27 θεῖος ἄωτος] ἄωτος τὸ ἀπάνθισμα τῶν ἀνθῶν. οἷον, οἱ πρῶτοι τῶν ἡρώων· τὸ θεῖον ἀπάνθισμα τῶν ἡρώων εἴρηται δὲ ἄωτος, ἀπὸ τοῦ ἄειν· ἤγουν, πνεῖν καὶ ὀδωδέναι.

30 Εἴσω δ' ὅρμον ἔθεντο] καθωρμίσθησαν ἐν τῇ Προποντίδι, κατὰ τὴν Κίον τὴν νῦν καλουμένην Προῦσαν. ἔνθα τὰ κατὰ τὸν Ὕλαν. ἢ ἔνθα καὶ Ἡρακλῆς ἀπὸ τῶν ἡρώων κατελείφθη. ἔνθα Κιανοὶ αὔλακας. ¶ εἰς τὸν τόπον τῶν Κιανῶν. Κιανοὶ γὰρ οἱ τὴν Κίον οἰκοῦντες· ἣ τανῦν καλεῖται Προῦσα, ἀπὸ τοῦ τῶν Ἀθηνῶν βασιλέως Προυσίου. Κίος δὲ ἀπὸ Κίου τοῦ υἱοῦ Ὀλύμπου, ἀφ' οὗ τὸ ὄρος ὁ Ὄλυμπος.

34 στιβάδεσσιν ὄνειαρ] ἤγουν ταῖς κοίταις ὠφέλεια. παρ' ὅσον ἐποίουν τὰς στιβάδας ἐκ τῆς ἐν τῷ λειμῶνι φυομένης ὕλης. στιβάδας δὲ καλοῦσι, τὴν ἐξ ὕλης χορτώδη κατάστρωσιν. Ἄλλως. αὐτοῦ δ' εὖ ἔλκων. τὸ πᾶν μέχρι τοῦ, ἔνθα βούτομον ὀξύ. βαθὺ δὲ τάμον κύπειρον, ἔχει οὕτως. ἀγόμενος δὲ ὁ παῖς αὐτοῦ τῷ Ἡρακλεῖ, ἵνα ἀποβαίη εἰς ἀληθινὸν ἄνδρα, τουτέστιν ἀνδρεῖος ἀναφανείη, μὴ ψευδόμενος τὴν ἑαυτοῦ φύσιν δηλονότι ἀλλ' ὅτε ὁ Ἰάσων ἔπλει εἰς τὸ χρύσεον δέρμα, ὁ υἱὸς τοῦ Αἴσωνος, συνέπλεον δὲ μετ' αὐτοῦ καὶ οἱ ἄριστοι τῶν Ἑλλήνων, ἐκλελεγμένοι ἐκ πασῶν τῶν πόλεων, οἵτινες ἦσαν ὠφέλιμοι (τοῦτο γάρ ἐστι τὸ, ὧν ὄφελός τι) ἀφίκετο καὶ ὁ Ἡρακλῆς ὁ υἱὸς τῆς Ἀλκμήνης τῆς Μιδεάτιδος τῆς ἡρωΐνης ὁ ταλαεργὸς, τουτέστιν ὁ καρτερικὸς, ἐς τὴν πόλιν τὴν Ἰαολκὸν τὴν ἀφνειάν· τουτέστι τὴν πλουσίαν. σὺν αὐτῷ δὲ τῷ Ἡρακλεῖ καὶ ὁ Ὕλας εἰσέβαινεν εἰς τὴν νῆα τὴν Ἀργὼ τὴν εὔεδρον, καὶ εὐκάθεδρον, ἥτις ἡ Ἀργὼ ναῦς δηλονότι, οὐχ ἥψατο τῶν πετρῶν τῶν μελαινῶν τῶν συνδρομάδων· τουτέστι, τῶν συγκρουομένων πρὸς ἀλλήλας. ἀλλὰ διέδραμεν αὐτὰς, καὶ ἦλθεν εἰς τὸν Φᾶσιν ποταμὸν τὸν βαθὺν, ὥσπερ ἀετὸς διαπεράσασα τὴν θάλατταν. ἐξ ἐκείνου δὲ τοῦ καιροῦ, ἔμειναν αἱ χοιράδες πέτραι ἀκίνητοι.

25 ἆμος δ' ἀντέλλοντι Πελειάδες] τότε δὲ ἐμνήσθησαν οἱ Ἀργοναῦται πλεύσεως. λέγω τὸ θεῖον

ἀπάν-

ἐπάνθισμα τῶν ἡρώων. τοῦτο γάρ ἐστιν ὁ θεῖος ἄωτος, ὅτε αἱ Πλειάδες ἀνατέλλουσι· ἀνατέλλουσι δὲ ἐν τῇ ἀρχῇ τοῦ ἔαρος, ὅτε καὶ τὰ ζῶα εἰσὶν ἀπολελυμένα πρὸς νομάς. τοῦτο γάρ ἐστι τὸ ἐσχατιαὶ ἄρνα νέον βόσκοντι. καὶ δὴ ἐπιβάντες τῆς Ἀργοῦς. τοῦτο γὰρ ἡ ναῦς ὠνομάζετο. νότου λαμπροῦ πνέοντος μέχρι τρίτης ἡμέρας, εἰς τὴν Ἑλλήσποντον ἵκοντο. ἐντὸς δὲ τῆς Προποντίδος ὥρμησαν εἰς τὸν τόπον τῶν Κιανῶν, ἐν ᾧ οἱ βόες ἀροτριοῦντες εὐρεῖαν τὴν αὔλακα ποιοῦσι, καὶ κατατρίβουσι τὴν γῆν τῷ ἀρότρῳ. ἔστι δὲ τὸ ὅλον περίφρασις. Κίος δὲ, πόλις τῆς Προποντίδος· ἡ Κίος δὲ πόλις πρὸς τὴν ἕω κειμένη. οἱ δὲ τὴν Κίον οἰκοῦντες Κιανοί. ἐκβάντες δὲ τῆς νηὸς δηλονότι, σύνδυο δεῖπνον ἐποιοῦντο ἐπὶ τὸν αἰγιαλὸν κατὰ τὸν καιρὸν τῆς δείλης. κοίτην δὲ ἐποιήσαντο μίαν πολλοί. παρέκειτο γὰρ αὐτοῖς λειμὼν, ὅστις ἦν ὠφέλεια τῶν στρωμνῶν. ἐξ οὗ τινος λειμῶνος ἔκοψαν βούτομον ὀξὺ, κύπερον.

36 Κὤχετο Ὕλας ὁ ξανθός] ὁ νοῦς. καὶ ὁ Ὕλας ὁ ξανθὸς ἐπορεύετο κομίσων ὕδωρ ἐπιδείπνιον, ἕνεκεν τοῦ Ἡρακλέους καὶ τοῦ στερροῦ Τελαμῶνος, καὶ ἐμβριθοῦς τὴν ψυχὴν ἢ ἀκάμπτους καὶ σκληροῦ. τοῦτο γάρ ἐστι τὸ, ἀστεμφεῖ. οἱονεὶ ἀστρεφεῖ, οἵ τινες κοινὴν ἐποιοῦντο τράπεζαν. ᾤχετο δὲ ὁ Ὕλας, κρατῶν ξίφος σιδηροῦν. ταχέως δὲ κρήνην οἶδεν ἔν τινι χώρῳ κοίλῳ καὶ οἱονεὶ καθημένῳ· παραπεφύκασι δὲ ταύτῃ βοτάναι πολλαί· λέγω, θρύα, χελιδόνιον μέλαν, καὶ ἀδίαντον χλωρὸν, καὶ σέλινα θαλερὰ, καὶ ἄγρωστις, ἡ τεινομένη ἅμα καὶ ἑλισσομένη. μέσον δὲ τῆς κρήνης, αἱ νύμφαι ἐχόρευον. τοῦτο γάρ ἐστι τὸ χορὸν ἀρτίζοντο λέγω, αἱ νύμφαι αἱ μηδέπω τοῦ ὕπνου δουλεύουσαι. αἱ φοβεραὶ τοῖς ἀγροίκοις θεαί.

40 θρία πολλὰ] Θρίον κυρίως, τὸ τῆς συκῆς φύλλον· παρὰ τὸ εἰς τρία διεσχισμένον εἶναι, τρίον, καὶ θρίον. ἀπ' αὐτοῦ δὲ καὶ θρίαμβος ὠνόμασται. οἱ γὰρ παλαιοὶ προπομπὴν ποιοῦντες, φύλλα συκῆς ἐκρέμων τῇ προπομπῇ καὶ ἔβαινον.

41 Κυάνεόν τε χελιδόνιον] φυτάριον ἐστὶ πλατύφυλλον, μέλαν, ὥσπερ χελιδὼν, ὃ ἅμα τῷ φανῆναι τῇ χελιδόνι, ἀνθεῖ. ¶ ἀδίαντον] βοτάνη ἐστὶν ἀεὶ καὶ διαπαντὸς ἄβροχον. ὅθεν καὶ τὸ ὄνομα ἀπὸ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ διαίνω, τὸ βρέχω. ἤγουν, τὸ μηδόλως βρεχόμενον, διὰ τὸ εἶναι ὀρθόν τι καὶ ὀξὺ, καὶ γλισχρόν. ἔστι δὲ ὅμοιον πηγάνῳ, τὰ φύλλα ἔχον μικρότερα καὶ μέλανα. καυλὸν δὲ οὐκ ἔχει, οὐδὲ ἄνθος, οὐδὲ καρπὸν, ῥίζαν δὲ μόνην ἄχρηστον, καὶ λεπτήν. καλεῖται δὲ οὕτω, παρὰ τὸ μὴ δεύεσθαι ὕδατι. ἐπεὶ ἐὰν ἐπιχέηται ὕδωρ ἐπὶ τῶν φύλλων, οὐ μένει, ἀλλ' ὀλισθαίνει. δεῦσαι γὰρ τὸ βρέξαι.

42 εἰλιτενὴς ἄγρωστις· ἡ συνεστραμμένη καθὸ εἰλεῖται ἐπὶ μῆκος, καὶ περιπλέκεται τοῖς φυτοῖς κισσοειδῶς· ἤ τις παρὰ τοῖς γεωρ-



© Centre d'Études Supérieures de la Renaissance - Tours

τοῖς καλεῖται ἀγρία. ἄλλοι δὲ τὴν ἄγρωστιν φασὶν εἶναι βοτάνην πρασοειδῆ, ἣν ἰδιωτικῶς φασὶ πολλητζίδιον.

44 Νύμφαι χορὸν ἐρτίζοντο, ἤτοι ἡτοίμαζον, εὐτρέπιζον. συνέβη φησὶ καθ' ὃν καιρὸν ὁ Ὕλας ἦλθεν ἀντλῆσαι, τὰς νύμφας αὐτόθι χορείαν στήσασθαι. ¶ δειναὶ θεαὶ] παρόσον φόβον ἔθ' ὅτε αὐτοῖς ἐγγυῶσί τε καὶ ἐπάγουσιν. ὅθεν καὶ νυμφολήπτους εἶναι φαμέν.

45 ἔαρ θ' ὁρόωσα Νύχεια] ἱλαρὸν καὶ ἡδὺ βλέπουσα. ἀπὸ τῆς περὶ τὸ ἔαρ τερπνότητος.

46 Ἤτοι ὁ κοῦρος ἐπεῖχε ποτῷ] ὁ μὲν δὴ νέος Ὕλας, ἐπὶ τῷ ὕδατι τὸν κρωσσὸν, ἤγουν τὸ ὑδροφόρον ἀγγεῖον εἶχε τὸ πολυχώρητον, ἐπειγόμενος πληρῶσαι αὐτὸ ὕδατος. αἱ δὲ νύμφαι ἐνεπλάκησαν τῇ χειρὶ αὐτοῦ· τὰς γὰρ φρένας αὐτῶν τὰς ἁπαλὰς ἁπασῶν ὁ ἔρως περιέχεν, ἕνεκεν τοῦ παιδὸς τοῦ Ἀργείου. κατέπεσε δὲ εἰς τὸ βαθὺ ὕδωρ δίκην ἀστέρος. ὅστις πυρώδης ὤν, εἰς τὴν θάλατταν κατέπισεν ἐξαίφνης. ὅστις σύμβολον εὐπλοίας ἐστί. συμφωνεῖ δὲ τῇ ἁρπαγῇ καὶ Ἀπολλώνιος ὁ Ῥόδιος, καὶ Νίκανδρος. ὁ δὲ Ὄνατος ἐν τοῖς Ἀμαζονικοῖς φησὶν αὐτὸν εἰς τὴν κρήνην πεσεῖν, καὶ ἀποθανεῖν. κρωσσὸς δὲ διὰ τοῦ ω μεγάλου, ὑδροδόχον ἀγγεῖόν ἐστι διὰ δὲ τοῦ ο μικροῦ, εἶδος ἐμπολεμικοῦ πύργου.

51 Ναύταις δέ τις εἶπεν ἑταῖρος] ἰδὼν γάρ τις αὐτὸν καὶ ἀπεσάντος λέγει πρὸς τοὺς συμπλέοντας· ὦ παῖδες, μετεωρίσατε τὰ ἱστία· ὁ γὰρ ἄνεμος φορὸς καὶ πρὸς πλεῦσιν ἐπιτηδειότατος. Ἄλλως. Κουφότερ' ὦ παῖδες] εὔλυτα καὶ εὐπρεπῆ ποιεῖτε τὰ ἱστία. οὔριον γὰρ ἐπιγενήσεται τὸ πνεῦμα ὡς τοιούτου ὄντος σημείου, ἐπὰν πέσῃ ἀστήρ.

53 Νύμφαι μὲν σφετέροις] αἱ μὲν δὴ νύμφαι τὸν Ὕλαν ἐπὶ τῶν γονάτων ἀνέχουσαι παρεψύχοντο καὶ παρεμυθοῦντο ἱλαροῖς τοῖς λόγοις κλαίοντα. βουκολικῶς δὲ τὸ παρεψύχοντο ὡς ἐπὶ τῶν πηγῶν. ὁ δὲ Ἡρακλῆς ὁ τοῦ Ἀμφιτρύωνος ἕνεκεν τοῦ παιδὸς ταρασσόμενος, ἐπορεύθη κατὰ τοὺς Σκύθας, λαβὼν τὰ τόξα τὰ κυκλοτερῆ.

56 ᾤχετο Μαιωτιστὶ] ἤτοι Σκυθιστί· Μαιῶται γὰρ οἱ Σκύθαι, περιοικοῦντες τὴν Μαιῶτιν λίμνην. ἐχρῆτο δὲ Ἡρακλῆς τοῖς Σκυθικοῖς τόξοις, διδαχθεὶς παρά τινος Σκύθου Τευτάρου, ὡς ἱστορεῖ Ἡρόδοτος, καὶ Καλλίμαχος.

57 τό οἱ αἰὲν ἐχάνδανεν] ἀντὶ τοῦ ἐχώρει. ἀπὸ τοῦ χῶ τὸ, χωρῶ, χάδω· καὶ ἀπὸ τοῦ χάδω, χανδάνω, ὥσπερ ἀπὸ τοῦ ἥδω, τὸ εὐφραίνομαι, ἁνδάνω.

58 Τρὶς μὲν Ὕλαν ἄυσεν] ἐκ τρίτου μὲν ἐφώνησε τὸν Ὕλαν, ὅσον ἤρυγεν. ἤγουν, ἐχώρει ὁ λαιμὸς αὐτοῦ· τουτέστιν, ὅσον ἠδύνατο. ἐκ τρίτου δὲ καὶ ὁ παῖς ἤκουσεν αὐτοῦ βοῶντος.

59 Ἀραιὴ δ' ἵκετο φωνά] οὐχ ὡς κατὰ φύσιν ἀσθενῆ φωνὴν τοῦ Ὕλα ἔχοντος, ἀλλ' ὡς ἐν βάθει

ἔνδοθεν

© Centre d'Études Supérieures de la Renaissance - Tours

ὄντος, καὶ ὑπὸ τῶν νυμφῶν κατεχομένη. ἡ λεπτὴ δὲ καὶ ἀμυδρὰ ἡ φωνὴ αὐτοῦ ἐγίνετο, ἅτε ἐν τῷ ὕδατι ὄντος. καὶ ἐγγὺς ὄντος αὐτοῦ, διὰ τὸ λεπτότατον τῆς φωνῆς.

60 εἴδετο πόρρω] ἤγουν ἐδόκει πόρρω εἶναι.

61 Ὡς δ' ὁπότ' ἠϋγένειος] ὁ δὲ Ἡρακλῆς τῆς φωνῆς τοῦ παιδὸς ἀκούων, ἐκινήθη κατὰ τοῦτον τὸν τρόπον, καθ' ὃν ἂν καὶ λέων χαροπὸς ἐπὶ τῆς ἑαυτοῦ κοίτης ὤν, καὶ πεινῶν, ἀκούσας νεβροῦ φθεγξαμένης, ἐποιήσεν εἰς τροφὴν ἑτοιμοτάτην. ἐκινήθη δὲ, εἰς τὰς ἀκάνθας τὰς ἀδιοδεύτους, καὶ περιήρχετο ποθῶν τὸν παῖδα. ἐπῆλθε δὲ πολλὴν τὴν χώραν.

66 Σχέτλιοι οἱ φιλέοντες] ἐλεεινοὶ οἱ φιλοῦντες. καὶ γὰρ ὁ Ἡρακλῆς πολλὰ ἐκακοπάθησε πλανώμενος εἰς τὰ ὄρη καὶ εἰς τοὺς δρυμούς. περὶ δὲ τοῦ Ἰάσονος ἐν δευτέρῳ λόγῳ ἦν αὐτῷ τουτέστι τὸ ἀκολουθεῖν αὐτῷ οὐδὲν ἡγεῖτο.

68 Ναῦς μὲν ἅρμενα] ἡ μὲν ναῦς τὰ ἅρμενα εἶχε μετέωρα, διὰ τῶν παρόντων· οἱ δὲ νέοι ἐκάθηντο τὰ ἱστία κατὰ τὸ μεσονύκτιον προσμένοντες τὸν Ἡρακλῆν. ὁ δὲ Ἡρακλῆς, ὡς μαινόμενος ἐχώρει, ὅπου οἱ πόδες αὐτὸν ἔφερον. ὁ γὰρ θεὸς, τουτέστιν ὁ ἔρως, τὸ ἧπαρ αὐτοῦ ἔκοπτε. τοῦτο γάρ ἐστι τὸ ἄμυσσεν. ἀμύσσω γὰρ, τὸ διὰ ξηροῦ τὴν σάρκα τέμνω. ὅθεν καὶ ἀμυχαὶ, αἱ τοῦ δέρματος τομαί.

72 Οὕτω μὲν κάλλιστος κατὰ τοῦτον τὸν τρόπον ὁ κάλλιστος Ὕλας, ἐναρίθμιος τοῖς θεοῖς ἐγεγόνει. τὸν δὴ Ἡρακλῆν, οἱ συμπλέοντες ἥρωες ἐλοιδόρουν, λέγοντες δηλονότι λειποναύτην, διότι κατέλιπε τὴν Ἀργὼ τὴν τριακοντάζυγον· τουτέστι τὴν πολυκάθεδρον, ἢ τὴν τριάκοντα ἔχουσαν καθέδρας ἐρετῶν, ὡς ἑξήκοντα εἶναι τοὺς πλέοντας. τὸ δὲ ἠρώησεν, ἀντὶ τοῦ κατέλιπεν, ἐξέφυγεν, ἀπὸ τοῦ ἐρωῆσαι.

75 πεζᾷ δ' ἐς Κόλχως] ἰδίως πεζὸν φησὶν ὁ Θεόκριτος τὸν Ἡρακλέα εἰς Κόλχους ἐλθεῖν· ἡ γὰρ πολλὴ κατέχει δόξα, ὅτι βουλῇ Ἥρας ὑστέρησεν Ἡρακλῆς, ὑπὲρ τοῦ τὸν Ἰάσονα κατορθῶσαι μόνον δοκεῖν τὸν εἰς Κόλχους πλοῦν, καὶ μὴ ἐξιδιοποιήσασθαι τὸν ἆθλον αὐτοῦ. Ἄλλως πεζᾷ δ' ἐς Κόλχως. ὁ δὲ Ἡρακλῆς τῶν Ἀργοναυτῶν ἀποπλευσάντων δηλονότι, πεζῇ ἀπῆλθεν εἰς τοὺς Κόλχους, καὶ εἰς τὸν Φᾶσιν τὸν ἄξενον, τουτέστι τὸν κακόξενον. Μνασέας δὲ Κόλχους φησὶ κληθῆναι, ἀπὸ Κόλχου τοῦ Φάσιδος.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ιδ'.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον, Κυνίσκας ἔρως, ἢ Θυώνιχος. Προλογίζει δὲ Αἰσχίνης.

1 Χαίρειν πολλὰ τὸν ἄνδρα Θυώνιχον. Θυώνιχ. Ἄλλα τοι αὐτῷ Αἰσχίνα. Αἰσχ. Ὡς χρόνιος. Θυώνιχ. Χρόνιος, τί δέ τοι τὸ μέλημα] προλέγει ὁ Αἰσχίνης λέγων, χαίρειν πολλὰ τὸν ἄνδρα Θυώνιχον. λείπει δὲ τῷ λόγῳ, τὸ γένοιτο ἢ τὸ λέγω. Τί δέ τοι τὸ μέλημα. ὁ Θυώνιχος, οἶδα κἀγὼ ὅτι βραδέως ἥκω. τί δέ σοι ἡ φροντίς.



© Centre d'Études Supérieures de la Renaissance - Tours

ὁ ἐρώμενος φησί. πράσσομες οὐχ ὡς λῷστα· ἤγουν, οὐ κατὰ γνώμην.

3 Ταῦτ' ἄρα λεπτὸς] διὰ τοῦτο λεπτὸς ἐγένου ὦ Αἰσχίνα, καὶ ὁ μύσταξ οὗτος πολὺς ὢν, ἐκ τῶν φροντίδων οὐκ ἔτυχεν ἐπιμελείας.

4 αὐαλέοι δὲ κίκιννοι] ἀντὶ τοῦ κομῶντι σοι τὸ γένειον. καὶ οἱ κίκιννοι κατάξηροί εἰσιν, ὡς διὰ τὴν λύπην, καὶ τὸ κείρεσθαι παραιτουμένῳ.

5 Τοιοῦτος πρώαν τις ἀφίκετο Πυθαγοριστάς] τοιοῦτός τις ἧκεν Ἀθήνηθεν εἰς Σικελίαν περὶ τούτου ἐπαγγελλόμενος Πυθαγορικὸν δόγμα. τινὲς δέ φασι τοῦτο λέγειν, εἰς Πλάτωνα τὸν φιλόσοφον, ἀκούσαντες αὐτὸν ἐν Ἰταλίᾳ διαβῆναι εἰς Σικελίαν, συνταξόμενον Διονυσίῳ τῷ τυράννῳ. διαφέρουσι δὲ Πυθαγορικοὶ τῶν Πυθαγοριστῶν. ὅτι οἱ μὲν Πυθαγορικοί, πᾶσαν φροντίδα ποιοῦνται τοῦ σώματος· οἱ δὲ Πυθαγορισταὶ περιεσταλμένῃ καὶ αὐχμηρᾷ διαίτῃ χρῶνται. τινὲς δὲ Πυθαγοριστὰς λέγουσι, τοὺς ἀποδεχομένους τὰ Πυθαγόρου, μὴ ὄντας δὲ τῆς ἐκείνου δόξης. Πυθαγορικοὺς δέ, τοὺς οὕτω φρονοῦντας ὡς ἐκεῖνος, καὶ κατὰ Πυθαγόραν διαιτωμένους. ἐλέγετο δὲ ὁ Πλάτων τὸν Πυθαγόραν οὕτως ἀποδέχεσθαι, ὡς καί τινα νομίζεσθαι λέγειν ἐξ αὐτοῦ, ὥστε Πυθαγοριστὴν τὸν Πλάτωνα εἰρῆσθαι. τῶν δὲ Πυθαγόρου, οἱ μὲν ἦσαν περὶ θεωρίαν καταγινόμενοι· οἵτινες ἐκαλοῦντο σεβαστικοί· οἱ δὲ περὶ τὰ ἀνθρώπινα, οἵτινες ἐκαλοῦντο πολιτικοί· οἱ δὲ περὶ τὰ μαθήματα τὰ γεωμετρικὰ καὶ ἀστρονομικά· οἵτινες ἐκαλοῦντο μαθηματικοί. τούτων οὖν οἱ μὲν αὐτῷ συγγινόμενοι τῷ Πυθαγόρᾳ, ἐκαλοῦντο Πυθαγορικοί· οἱ δὲ τούτων μαθηταί, Πυθαγόρειοι· οἱ δὲ ἄλλως ἔξω ζηλωταί, Πυθαγορισταί.

7 Ἤρατο κἠν τήνος ἐμὶν δοκεῖ] ἐμοί, φησί, δοκεῖ, ὅτι λιμώττων, ἤρατο καὶ ἐκεῖνος, ἤγουν ἐπεθύμει ὀπτοῦ ἀλεύρου. ὅθεν ὠχρός τις ἦν.

8 Παίσδεις ὦ 'γάθ' ἔχων] Ἀττικῶς τὸ ἔχων, παρέλκει. ἤγουν, σὺ μὲν παίζεις. ἐμὲ δὲ ἡ χαρίεσσα Κυνίσκα ἐκμαίνει.

9 λασῶ δὲ μανείς ποκα] λανθάνω, φησίν, ἐμαυτὸν εἰς μανίαν ἐμπεσών. εἶτα διὰ μέσου, τὸ, θρὶξ ἤγουν ὀλίγου δέεται τὸ μεταξύ, τοῦ πάντῃ μεμηνέναι.

10 ἄσυχος, ὀξύς] ἐκ τοῦ παραχρῆμα καὶ τοῦ σιωπᾶν ὀξυνόμενος. ἢ ὅτι μανιώδης εἶ, ἠρέμα οἷον ἔχεις τι καὶ ὀξύτητος, οὐ γὰρ πάντη σιωπηλὸς ὑπάρχεις.

11 Ὅμως δ' εἶπον τί τὸ καινόν] ἀλλ' ὅμως εἰπέ μοι τί τὸ νεώτερον, ἢ τὸ πρᾶγμα τὸ λυποῦν σε.

12 Ὡργεῖος κἠγών] διηγεῖται τὴν τῆς μανίας ὑπόθεσιν. 13 Ἀνῷξα δὲ βύβλινον αὐτοῖς] οἶνον δηλονότι Θρακικόν. ἢ οὕτω καλουμένης τῆς ἀμπέλου ἀπὸ τῆς Θρᾴκης, παλαιὸν μὲν ὄντα ἐκ τεσσάρων ἐτῶν, ἀνίσχυρον δὲ πρὸς τὸ μὴ ὀχλῆσαι τοῖς πίνουσι. σχεδὸν γὰρ τότε ἐδόκει ἀντλεῖσθαι τῆς ληνοῦ.

17 Βολβός τις κοχλίας ἐξῃρέθη] βολβός, εἶδος βοτάνης.

ὁμοίας

© Centre d'Études Supérieures de la Renaissance - Tours

ὁμοίας κρεμαμένα ἠλικίᾳ.

18 Ἤδη δὲ προϊόντος, ἔδοξ' ἐπιχεῖσθαι ἄκρατον, ᾧ τινος ἤθελ' ἕκαστος] ἤγουν, ἤδη δὲ προήκοντος τοῦ πότου ἔδοξεν ἡμῖν ἐπιχεῖσθαι ἄκρατον· ἤτοι, λαμβάνειν καὶ ἐπισπένδειν. οὕτω γὰρ εἰώθασι ποιεῖν ἐν τοῖς συμποσίοις, ἄκρατον λαμβάνειν καὶ ὀνομάζειν τινὰς ἐρωμένους ἢ φίλους, ἐπιχεῖν τῇ γῇ, καὶ φθέγγεσθαι τῶν φιλτάτων τὰ ὀνόματα.

19 Ἔδει μόνον ᾧ τινος εἰπεῖν] ἔδει δέ φησι μόνον εἰπεῖν, οὗ χάριν ὁ οἶνος ἐχεῖτο.

20 Ἄμμες μὲν φωνεῦντες] ἡμεῖς μὲν ὀνομάζοντες ἕνα ἕκαστον ἐπίνομεν.

21 Ἀδ' οὐδὲν παρεόντος ἐμεῦ] αὕτη δὲ ἡ Κυνίσκα δηλονότι, οὐκ ἔπιε παρόντος ἐμοῦ· οὐδὲ ἀποκρίσεώς με ἠξίωσεν ἐν τῷ ἐπιχεῖσθαι αὐτῇ κυάθους. τίνα οὖν με ἔχειν δοκεῖς διάθεσιν τοιαῦτα πάσχοντα;

22 Οὐ φθεγξῇ; λύκον εἶδες] τοῦτο ἀμφιβόλως εἴρηται. ἢ ὅτι λύκου ἐρᾷ ἡ Κυνίσκα· ἢ ὅτι καθὸ οἱ ὀφθέντες ἄφνω ὑπὸ λύκου, δοκοῦσιν ἄφωνοι γίνεσθαι. οὗτος δὲ συνήθως εἶπεν. οὐχὶ μήποτε ὑπὸ λύκου ὤφθης, ἀλλὰ μήτι λύκον εἶδες. ¶ ἔπαιξέ τις, ὡς σοφὸς εἶπεν] ἡ Κυνίσκα φησὶ πρὸς τὸν εἰς αὐτὴν παίξαντα ὡς σοφός τις, καὶ ἅμα ταῦτα εἰποῦσα, καὶ μνησθεῖσα τοῦ λύκου, οὕτως ἐφλέγετο ὡς καὶ λύχνον εὐκόλως ἀπ' αὐτῆς ἅψαι.

28 μάταν ἐς ἄνδρα γενειᾶν] τουτέστι ματαιοπώγων ὑπάρχων, οἷον, μάτην ἀνδρὸς πώγωνα ἔχων, διὰ τὸ μὴ χρῆσθαι τῇ ἀνδρὸς ῥώμῃ.

34 Τᾶμος ἐγώ, τὸν ἴσης τύ τε] ἐγὼ ἰδὼν αὐτὴν κλαίουσαν οἷόν με σὺ Θυώνιχε γινώσκεις ὀργίλον, πυγμῇ τὴν σιαγόνα αὐτῇ ἔπαισα. κόρρην γὰρ τὴν γνάθον καὶ σιαγόνα, οἱ Ἀττικοί.

38 Τήνω τὰ σὰ δάκρυα μᾶλα ῥέοντι] ἐκείνῳ φησὶ τῷ λύκῳ τὰ ῥέοντά σου δάκρυα μῆλα πίπτει· τουτέστιν ἔρως, καὶ ἐπιθυμία. μήλοις γὰρ εἴκασεν τοὺς ἔρωτας διὰ τὸ περὶ αὐτοὺς κάλλος.

39 Μάστακα δ' οἷα τέκνοισιν ὑπωρροφίοισι χελιδὼν] οὐχ οὕτω τις χελιδὼν τροφὴν δοῦσα τοῖς νεοσσοῖς ταχέως, πάλιν ὑποστρέφει ἐπὶ τὴν ἑτέραν κομίσαι, ὡς ἐκείνη λιποῦσα τὸν δίφρον, ἤγουν τὴν καθέδραν ᾤχετο. μαλακοῖς δέ, παρόσον αἱ γυναῖκες μαλακαῖς καὶ κάθηνται καθέδραις, ὡς ἐν Συρακούσαις.

42 Ἰθὺ δι' ἀμφιθύρω] ἤγουν εὐθύ. ἀντικρὺ τοῦ οἴκου τοῦ διθύρου. ἀμφίθυρον γὰρ καὶ δίπτυχον, ταὐτόν ἐστι. δηλοῖ δὲ τὸ δίθυρον. ¶ ᾇ πόδες ἆγον. ὅπου οἱ πόδες ἦγον.

43 ἔβακεν ταῦρος ἀν' ὕλαν] παροιμία ἐστίν, ἐπὶ τῶν μὴ ἀναστρεφόντων. διὰ τό, τοὺς ταύρους ὕλης ἐπιλαμβανομένους ἀλήπτους εἶναι.

44 ταί δ' ὀκτώ] ψηφίζει τὰς ἡμέρας, ἀφ' οὗ ἀπ' ἀλλήλων κεχωρισμένοι εἰσί, καὶ ἀφ' οὗ οὐκ ἐκεῖ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

ρίω κατὰ χώρας τὰ τείχας.

47 Ἀ δὲ λύκω νιῶ πάντα] αὐτὴ δὲ κατὰ τὰ πάντα τῷ λύκῳ ἐστίν. ὥστε καὶ νυκτὸς αὐτῷ τὴν θύραν ἀνεῶχθαι.

48 Ἄμμες δ᾽ οὔτε λόγω τινὸς ἄξιοι, οὔτ᾽ ἀριθμητοί] ἡμεῖς δὲ παρ᾽ αὐτῇ οὐδ᾽ ἐν ἀριθμῷ ἐσμέν. ὥσπερ οὐδὲ οἱ Μεγαρεῖς ὑπὸ τῆς Πυθίας ἐλέχθησαν εἶναι τινὸς ἄξιοι λόγου. Ἱστορεῖ γὰρ Δεινίας, ὅτι οἱ Μεγαρεῖς φρονηματισθέντες ποτὲ, ὅτι κρείττους τῶν Ἑλλήνων εἰσὶν, ἐπύθοντο τοῦ θεοῦ, τίνος κρείττονες τυγχάνοιεν. ὁ δὲ ἔφη·

Γαίης μὲν πάσης τὸ Πελασγικὸν Ἄργος ἄμεινον.
Ἵπποι Θρηΐκιαι, Λακεδαιμόνιαι δὲ γυναῖκες.
Ἄνδρες δ᾽ οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης.
Ἀλλ᾽ ἔτι καὶ τῶνδ᾽ εἰσὶν ἀμείνονες, οἵτε μεσηγὺ
Τίρυνθος ναίουσι, καὶ Ἀρκαδίης πολυμήλου,
Ἀργεῖοι λινοθώρηκες κέντρα πτολέμοιο.
Ὑμεῖς δ᾽ ὦ Μεγαρεῖς, οὔτε τρίτοι, οὔτε τέταρτοι,
Οὔτε δυωδέκατοι, οὔτ᾽ ἐν λόγῳ οὔτ᾽ ἐν ἀριθμῷ.

50 Κείμαν ἀποστέρξαιμι] καὶ μὲν καταφρονήσαιμι αὐτῆς, δεόντως ἄν μοι τὰ πάντα προχωροίη.

51 Νῦν δὲ ποθ᾽ ὡς μῦς φαντὶ Θυώνυχε γεύμεθα πίσσας] παροιμία ἐστὶ τὸ, Μῦς γευόμενος πίσσης. λέγεται δὲ, ἐπὶ τῶν εἰς ἀηδὲς πρᾶγμα ἐμπεσόντων, καὶ δυσεξαλήτως ἀπαλλασσομένων. ὥσπερ γὰρ, φησιν, ὁ πίσσης γευόμενος μῦς ἐνειληθεὶς κρατεῖται, καὶ ζῶν τιμωρεῖται, οὕτω κἀγώ.

68 Ἀ τάχος εἰς Αἴγυπτον] κατὰ τάχος, ἔρχου δηλονότι εἰς Αἴγυπτον. ¶ Ἀπὸ κροτάφων] ἀπὸ τῶν μηνίγγων γινόμεθα πάντες γέροντες· καὶ ἐφεξῆς κατὰ τάξιν εἰς τὴν παρειὰν ἔρχοιτο λευκαίνων ὁ χρόνος.

70 διὸ δεῖ τι ποιεῖν οἷς γόνυ χλωρὸν, αὐτὶ ἕως ἀκμάζομεν.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ιε'.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον, Συρακούσιαι ἢ Ἀδωνιάζουσαι. Προλογίζει δὲ Γοργώ.

1 ἘΝδοῖ Πραξινόα; Ἐυ. Γοργὼ φίλα, ὡς χρόνω ἔνδοι] Ἐνδοῖ ἀντὶ τοῦ ἔνδον ἐστί. τοπικὸν ἐπίρρημα, ὡς τὸ Μεγαροῖ, Πυθοῖ. ἀντίπτωσις δὲ τούτοις τὸ οἴκοι. Ἡ Γοργὼ δὲ φησὶ πρὸς τὴν θεράπαιναν. ἔνδον ἐστὶν ἡ Πραξινόα; πρὸς ἣν ἡ δούλη ὡς χρονίαν λέγει· Γοργὼ φίλα ὡς χρόνω. ἀντὶ τοῦ ὡς διὰ χρόνου. εἶτα μικρὸν διαστήσασα, ἐπάγει, ἔνδοι ἀντὶ τοῦ ἔνδον ἐστί.

4 Μόλις ὔμμιν ἐσώθην] ἤδη ἐπιπόνως, μόλις πρὸς ὑμᾶς ἐσώθην, ἀπὸ τοῦ ὄχλου καὶ τῶν ἁρμάτων.

6 Παντᾶ κρηπῖδες] ἤγουν, πανταχοῦ κεκρηπιδωμένοι ἄνδρες. λέγει δὲ τοὺς ἐν τῇ πόλει στρατιώτας.

7 Ἀδ᾽ ὁδὸς ἄτρυτος] ἡ δὲ ὁδὸς πολλή. σὺ δὲ ἑκαστοτέρω, αὐτὶ τοῦ, πόρρω μοι οἰκεῖς.

8 Ταῦθ᾽

© Centre d'Études Supérieures de la Renaissance - Tours

8 Ταῦθ' ὁ πάραρος] ἡ Πραξινόα ταῦτα φησὶ περὶ τοῦ ἰδίου ἀνδρός· ὅτι μακρὰν ἐμισθώσατο τὴν οἰκίαν. πάραρος δὲ, ὁ παρηρτημένος τὴν γνώμην, ὁ ἀνάρμοστος, ὁ ἄχρηστος καὶ μάταιος. ἐκ μεταφορᾶς τῶν παρηόρων ἵππων, οἳ τοῖς τὸ ζυγὸν οὐ χρησιμεύουσιν. ἄλλοι δὲ λέγουσι τὸν φωλεὸν ἀπὸ τοῦ τὰ ἑρπετὰ ἐν αὐτῷ εἰλεῖσθαι. φθονερὸν δὲ ἀντὶ τοῦ φιλόνεικον.

13 οὐ λέγω ἀπφῦν] οὕτω τὸν πατέρα καλοῦσιν ἀφ' οὗ τις πέφυκεν. λέγεται δὲ ὑποκοριστικῶς. ἤδη δὲ ἀπὸ τούτου καὶ τὸν πρεσβύτην.

14 Ναὶ τὰν πότνιαν καλὸς ἀπφῦς] ναὶ μὰ τὴν θεόν. ναὶ μὰ τὴν κόρην. οὐ δὲ τὸ, τὰς Συρακουσίας ταύτην ὀμνύναι. φασὶ γὰρ τὸν Δία τῇ Περσεφόνῃ τὴν Σικελίαν δωρήσασθαι. ἡ Πραξινόα δέ φησι ταῦτα τὸν ἄνδρα μεμφομένη. ὁ ἀπφῦς οὖν φησὶν ἐκεῖνος ὡς λόγος εἰπεῖν τρισκαιδεκάπηχυς ὑπάρχων ἀνὴρ, πρώην ἐν τῇ πανηγύρει νίτρον θέλων ἀγοράσαι, ἅλας ἡμῖν ἀντὶ νίτρου ἤνεγκεν, ὡς τοῦ πωλοῦντος ἅλας ἀντὶ νίτρου δεδωκότος.

18 Χ' ὡμὸς ταῦτα ἔχει φθόρος] ἡ Γοργὼ ἐπὶ τοῖς ὁμοίοις μεμφομένη τὸν οἰκεῖον ἄνδρα φησί. καὶ ὁ ἐμὸς ἀνὴρ Διοκλείδας, ἑπτὰ δραχμῶν ἠγόρασε ποκέα γεγηρακότων προβάτων.

20 Πέντε πόκους ἔλαβεν ἐχθὲς, ἅπαν ῥύπος. ¶ ἔργον ἐπ' ἔργῳ] οὐκ ἔρια, ἀλλ' ἔργον ἐπὶ ἔργῳ διὰ τὸ δὶς αὐτὸ πληθύνεσθαι.

κυνώδης ἢ οἷον κυνόζα· τραχέα.

21 Ἀλλ' ἴθι τὠμπέχονον] τὸ περιβόλαιον, τὸ ἱμάτιον. Καὶ τὰν περονατρίδαν. τὸ πέπλον καὶ ἔνδυμα ὅπερ περὶ τὸν ὑποζώννυμιτο. εἴρηται δὲ, ἀπὸ τοῦ περονᾶσθαι, καὶ τῆς ἐπωμίδος ἐπιλαμβάνεσθαι, ὡς αἱ Μακεδονίδες.

22 Βᾶμες τῶ βασιλῆος ἐς ἀφνεῶ] εἰς τὰ βασίλεια πορευθῶμεν τοῦ ἀφνειοῦ καὶ πλουσίου Πτολεμαίου, θεασόμεναι τὸν Ἄδωνιν.

25 Ὧν εἴδες χ' ὧν εἶπας] ἀντὶ τοῦ ἐξ ὧν εἶπες, καὶ ἐξ ὧν ἐθεάσω, ἐκ τούτων διηγήσαιο σὺ τῷ μὴ θεασαμένῳ.

27 Εὐνόα αἶρε τὸ νᾶμα] ἡ Πραξινόα φησὶ πρὸς τὴν δούλην ἐν ἤθει· ὦ Εὐνόα, ἄρασα τὸ νᾶμα, εἰς μέσον θὲς αὐτό. θέλει εἰπεῖν, μὴ ἀμελῶς εἰς τὸ μέσον αὐτὸ θήσεις.

32 Παῦσαι. ὁποῖα θεοῖς] ἀντὶ τοῦ, εἴτε καλῶς, εἴτε κακῶς. κλὰξ δὲ, ἡ κλεὶς Δωρικῶς.

34 μάλα τοι τὸ καταπτυχές] Τὸ δίπτυχον ἐμπερόνημα καὶ διπλοῦν. λέγει δὲ τὴν διπλοΐδα ἣν Ὅμηρός φησι, δίπλακα μαρμαρέην.

35 πόσσω κατέβα τοι. ἀφ' ἱστῶ] ἤγουν, διὰ πόσης ἐξόδου σοι κέκοπται ἀπὸ τοῦ ἱστοῦ· ἢ διὰ πόσον σοι ἀπὸ τοῦ ἱστοῦ καθῃρέθη, καὶ οἷον ἐξυφάνθη. Πλέον ἀργυρίω καθαρῶ μνᾶς. πλέον ἢ μνᾶς φησιν. ἢ δυοῖν μναῖν καθαροῦ ἀργυρίου.

38 Ναὶ καλὸν εἶπας] τοῦτο ἀληθὲς εἶπας. λέγει ἡ Πραξινόα, ὅτι κατὰ γνώμην μοι ἐξυφάνθη. εἶτα ἀντιφέρει τὸν λόγον πρὸς

© Centre d'Études Supérieures de la Renaissance - Tours

τὴν θεράπαιναν, καί φησι· φέρε μοι τὸ ἀμπέχονον καὶ τὴν θολίαν, ἤγουν τὸ σκιάδιον τὸ πίτασον εὐκόσμως ἐπίθες. εἴρηται δὲ ἀπὸ τοῦ θόλῳ ἐοικέναι. οἱ δὲ Ἀττικοὶ τὸ σκιάδιον, σκίῤῥον καλοῦσι.

40 Οὐκ ἀξῶ τυ τέκνον] ἀπέστρεψε τὸν λόγον πρὸς τὸ παιδίον τὸ κλαῖον· καί φησιν, οὐκ ἄξω σε τέκνον μετ' ἐμοῦ, ὅτι ἡ μορμὼ ἵππος δάκνει. εἰς κατάπληξιν τοῦτο ἔλεγον, ὅθεν καὶ τὰ προσωπεῖα, μορμολύκια ἔλεγον.

46 Πολλά τοι ὦ Πτολεμαῖε] τὸν Φιλάδελφον λέγει· ἐποιήθησαν καλὰ ἔργα.

47 Ἐξ ὧ ἐν ἀθανάτοις ὁ τεκὼν] ἐξ οὗ ὁ πατήρ σου ἀπεθεώθη ὁ Σωτὴρ Πτολεμαῖος, ὃς ἦν πατὴρ τοῦ Φιλαδέλφου. 48 δαλεῖται] ἤγουν ἀντὶ τοῦ βλάπτει. παρέρπων, παρεισερχόμενος Αἰγυπτιστί. τὸ πᾶν σὺν τοῖς ἄλλοις σου καλοῖς ἔργοις, καὶ τοῦτο. οὐκέτι γὰρ κακοῦργος λυμαίνεται τὸν παριόντα, ἐξαπατήσας Αἰγυπτιστί. ἡ πάντων γὰρ πολυπείρως παίζοντες κακὰ παίγνια παραλογισμοῖς Αἰγυπτιακοῖς. ἀπατηλοὶ γὰρ καὶ Αἰγύπτιοι. κεκροτημένοι δὲ, διαῤῥαπισμένοι, ἐθάδεις πανούργων ἔργων. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν κεκεντρωμένων χαλκῶν.

51 Ἡδίστα Γοργοῖ, τί γενοίμεθα] ὦ γλυκεῖά μοι Γοργώ, τί ἄρα ἡμῖν ἔσται; εὐλαβοῦνται γὰρ θεασάμεναι τοὺς πολεμικοὺς ἵππους πομπεύοντας.

54 Διαχρησεῖται τὸν ἄγοντα] διαφθείρει τὸν ἱπποκόμον, ἢ τὸν ἡνίοχον.

57 Τοὶ δ' ἔβαν ἐς χώραν] οἱ δὲ ἵπποι κεχωρήκασιν εἰς ὃν ἔδει τόπον. τὸ δὲ κατασυναγείρομαι, ἀντὶ τοῦ ἀνακτῶμαι ἐμαυτὴν ἀπὸ τῆς ταραχῆς.

58 καὶ τὸν ψυχρὸν ὄφιν] ἤγουν τὸν ψυχροποιόν.

60 Ἐξαυδᾶς ὦ μᾶτερ] ἔν τισι γράφεται καὶ, Ἐξαυλαῖς ὦ μᾶτερ. ἡ Γοργὼ φησὶ πρὸς γραῦν τινά, λέγε ἡμῖν ὦ μῆτερ, εὐμαρὲς εἰσελθεῖν; ἡ δὲ, φησὶ, πειράθητε καὶ εἰσελεύσεσθε εἰς τὴν τῶν βασιλείων αὐλήν.

63 Χρησμὸς ἁ πρεσβῦτις] ἡ Γοργὼ φησὶν ὅτι χρησμοὺς ἀποφοιβάζουσα ἡ γραῦς ἀπῆλθε.

64 Πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἠγάγεθ' Ἥραν] φησὶν ὅτι τὰ πάντα αἱ γυναῖκες γινώσκουσι, καὶ ὅτι ὁ Ζεὺς λάθρα τῇ Ἥρα συνῆλθε. καὶ Ὅμηρος· Εἰς εὐνὴν φοιτῶντε, φίλους ἐλάθοντε τοκῆας. Ἀριστοτέλης δὲ ἱστορεῖ, ἐν τῷ περὶ Ἑρμιόνης ἱερῶν, ἰδιαίτερον περὶ τοῦ Διὸς καὶ τῆς Ἥρας γάμου. Ἱστορία. τὸν γὰρ Δία μυθολογεῖ ἐπιβουλεύειν τῇ Ἥρα μιγῆναι, ὅτε αὐτὴν ἴδοι χωρισθεῖσαν ἀπὸ τῶν ἄλλων θεῶν. βουλόμενος δὲ ἀφανὴς γενέσθαι, καὶ μὴ ὀφθῆναι ὑπ' αὐτῆς, τὴν ὄψιν μεταβάλλει εἰς κόκκυγα, καὶ καθέζεται εἰς ὄρος ὃ πρῶτον μὲν Θόρναξ ἐκαλεῖτο, νῦν δὲ κόκκυξ. τὸν δὲ Δία χειμῶνα ποιῆσαι δεινὸν τῇ ἡμέρᾳ ἐκείνῃ. τὴν δὲ Ἥραν πορευομένην μόνην, ἀφικέσθαι πρὸς τὸ ὄρος καὶ καθίζεσθαι ἐπ' αὐτὸ ὅπου νῦν ἐστιν ἱερὸν Ἥρας

πλείας

© Centre d'Études Supérieures de la Renaissance - Tours

τελείας. τὸν δὲ κόκκυγα ῥιγῶντα καὶ πεφρικότα διὰ τὸν χειμῶνα, καταπετασθῆναι καὶ καθεσθῆναι ἐπὶ τὰ γόνατα αὐτῆς. τὴν δὲ Ἥραν ἰδοῦσαν αὐτὸν, οἰκτεῖραι καὶ περιβαλεῖν τῇ ἀμπεχόνῃ. τὸν δὲ Δία εὐθέως μεταβαλεῖν τὴν ὄψιν καὶ ἐπιλαβέσθαι τῆς Ἥρας. τῆς δὲ τὴν μίξιν παραιτουμένης διὰ τὴν μητέρα, αὐτὸν ὑποσχέσθαι γυναῖκα ταύτην ποιήσασθαι. καὶ παρ' Ἀργείοις δὲ οἱ μέγιστοι τῶν Ἑλλήνων τιμῶσι τὴν θεόν. τὸ δὲ ἄγαλμα τῆς Ἥρας ἐν τῷ ναῷ καθήμενον ἐν θρόνῳ, τῇ χειρὶ ἔχει σκῆπτρον, καὶ ἐπ' αὐτῷ τῷ σκήπτρῳ, κόκκυξ.

66 λαβὲ καὶ τὺ Εὔνοα Εὐτυχίδος] εἰκὸς τὴν Εὐτυχίδα Γοργοῦς εἶναι θεράπαιναν.

68 ἄπριξ ἔχευ Εὐνόα] ἀντὶ τοῦ ἐμπεφυκότως, ὥστε μὴ διαπρῖσαι τὴν συμφυίαν.

74 Κεἰς ὥρας κἤπειτα] ἀντὶ τοῦ, καὶ εἰς ὥρας καὶ ἐσαεὶ καλῶς εἴης περιστέλλων καὶ τημελούμενος ἡμῶν.

76 ἄγ' ὦ δειλὰ τὺ βιάζευ] ἀντὶ ὦ δειλαία, βιάζου καὶ συνώθει, ὥστε σε εἰσελθεῖν. ἐπεὶ δὲ εἰσελθούσης αὐτῆς φησὶ κάλλιστα ἔνδοι πᾶσαι.

77 Ὁ τὰν νυὸν εἴπ' ἀποκλάξας] ὡς παροιμίας οὔσης, ἀποκλείσας τὴν νύμφην τὶς, καλῶς τὰ γε ἔνδον ἡμῖν ἔχει φησὶ, διὸ καὶ ἡ Γοργὼ οὕτως ἐφρόνησεν. ἔριθοι δὲ οἱ ὑπουργοί ἤγουν, ἱερουργοί.

82 Ὡς ἔτυμ' ἑστάκαντι] ἀντὶ τοῦ, ὡς ἀληθῶς ἑστήκασι, καὶ ὡς ζῶντα ἀληθῶς συστρέφονται, καὶ οὐκ ἐνυφασμένα εἰσίν.

86 Ὁ τριφίλατος Ἄδωνις] ὁ πολυφίλητος, ὡς καὶ παρ' Ὁμήρῳ· Ἀσπασίη τριφίλητος. ἢ ὅτι ὑπὸ τριῶν ἐφιλήθη, Διὸς, Ἀφροδίτης, καὶ Περσεφόνης ἐν ᾅδῃ.

87 Παύσασθ' ὦ δύστανοι] παύσασθε, φησὶν, ὦ ἐπίπονοι ἀνιῶσαι καὶ ἀπέραντα καταλαλοῦσαι ἤγουν πολυλογοῦσαι. κωτίλην γὰρ λέγουσι τὴν χελιδόνα. τοῦτο δέ φησί τις πυρεττόμενος καὶ ἀγανακτῶν ἐπὶ τῇ ἄγαν αὐτῶν ἀδολεσχίᾳ. διὸ καὶ ἐπιλέγει αὐταῖς, ὡς τὰ κατὰ μέρος τῶν εἰκόνων ἀνερευνώσαις. εἶπε πρὸς ἑαυτὸν ἐπιστρέφων.

88 Τρυγόνες ἐκκναισεῦντι πλατυάσδοισαι ἅπαντα] ἤγουν διαφθείρουσι πάντα. τὸ γὰρ πλατυάσδοισαι, τοιοῦτόν ἐστιν. οἱ γὰρ Δωριεῖς πλατυστομοῦσι τὸ α πλεονάζοντες. ἐκκναισεῦντι δὲ, ἀντὶ τοῦ διαλέγουσιν.

91 Κορίνθιαι εἰ μὲν αὔωθεν] Κορινθίων γὰρ ἄποικοι οἱ Συρακούσιοι, ὡς καὶ ὁ Βελλεροφῶν. Κορίνθιος δὲ καὶ ὁ Βελλεροφόντης.

92 Πελοποννασιστὶ λαλεῦμες] ἀντὶ τοῦ κατὰ τοὺς Πελοποννησίους. τὴν γὰρ Πελοπόννησον ᾤκησαν οἱ Δωριεῖς οἱ σὺν Ἡρακλείδαις.

94 Μὴ φυῆ μελιτῶδες] ἀντὶ τοῦ, μηδεὶς γένοιτο ὦ Περσεφόνη ἄλλος ἡμῶν κύριος. μελιτῶδες δὲ τὴν Περσεφόνην φησὶ κατ' ἀντίφρασιν ὡς καὶ κόρην. διὰ τὸ τὰς ἑταίρας αὐτῆς καὶ τῆς Δήμητρος, μελίσσας λέγεσθαι.

95 μή μοι κενεὰν ἀπομάξῃς] μή μοι κενὸν τὸ μέτρον ἀποψήσῃς.

© Centre d'Études Supérieures de la Renaissance - Tours

97 Ἁ τῆς Ἀρχίας θυγάτηρ πολυΐδρις] ἄδηλον τίς ἡ ποιήτρια αὕτη· ἔνιοι δὲ Ἀρχίας αὐτὴν φασὶν εἶναι θυγατέρα, ὁμώνυμον τῇ μητρί. εἶναι δὲ ἐκείνην Σικυωνίαν.

100 Δέσποιν' ἃ Γολγώς τε] Γολγὸς πόλις Κύπρου, ὠνομασμένη ἀπὸ Γολγοῦ τινὸς Ἀδώνιδος καὶ Ἀφροδίτης. Ἰδάλιον δὲ, πόλις καὶ αὐτὴ Κύπρου.

101 Αἰπεινάν τε Ἔρυκα] Ἔρυξ, πόλις Σικελίας, ἀπὸ Ἔρυκος τοῦ Βοιωτοῦ καὶ Ἀφροδίτης. ¶ Χρυσῷ παίζουσ' Ἀφροδίτα] διὰ τούτου δηλοῖ, ὅτι οἱ ἐρῶντες, χρυσῷ πείθουσι τὰς ἐρωμένας.

103 Μῆνι δυωδεκάτῳ] τινὲς δὲ ἑξαμηνιαῖον φασὶν ἀνέρχεσθαι τὸν Ἄδωνιν.

107 ἐποίησας Βερενίκαν] Βερενίκην δὲ λέγει, τὴν τοῦ Σωτῆρος γυναῖκα, μητέρα δὲ τοῦ Φιλαδέλφου καὶ Ἀρσινόης. μαλακοὺς δὲ ἔχειν πόδας ἔφη τὰς ὥρας, ἐπεὶ τὸ ἔαρ μαλακόν.

109 Τὶν δὲ χαριζομένα] ἀντὶ τοῦ, σοὶ φησὶ χαριζομένη ἡ τῆς Βερενίκης θυγάτηρ.

111 Ἀρσινόη πᾶσι καλοῖς ἀτιτάλλει, καὶ δεξιοῦται τὸν Ἄδωνιν. ἀτιτάλλω γὰρ ἐκ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ ταλαίσω τὸ κοπιῶ σημαίνει δὲ τὸ ἀναπαύω, καὶ μὴ διὰ κόπου τελειῶ. ἢ ἀπὸ τοῦ ἄτιλω τὸ ὁρμῶ, καὶ τοῦ ἄλλω τὸ πηδῶ. καὶ σημαίνει τὸ αὐξαίνω.

112 ὅσα δρυὸς ἄκρα φέροντι] πάντα φησὶ τὰ ἀκρόδρυα, παρατίθενται τῷ Ἀδώνιδι, ἀπὸ παντοίας ἰδέας ὀπωρῶν. εἰώθασι γὰρ ἐν τοῖς Ἀδωνίοις, πυροὺς καὶ κριθὰς σπείρειν ἔν τισι προαστείοις καὶ τοὺς φυτευθέντας κήπους, Ἀδωνίους προσαγορεύειν.

114 Συρίῳ δὲ μύρῳ χρύσει' ἀλάβαστρα] ἀλάβαστρα, σκεύη μύρων δεκτικά. πλαθάναι δὲ ἐν αἷς διαπλάττουσι τοὺς ἄρτους αὐτά δὲ τὰ ἐπιπάμματα τῶν ἄρτων. λέγει δὲ τὰ σήσαμα.

117 Ὅσσα τ' ἀπὸ γλυκερῶ μέλιτος] ἀντὶ τοῦ, πλακοῦντες διάφοροι.

119 Χλωραὶ δὲ σκιάδες] ἀντὶ τοῦ χλωραὶ σκηναὶ καὶ καλύβαι ἀνήθων σὺν αὐτῷ τῷ καρπῷ καὶ ἐμβεβριθόμεναι γεγόνασιν.

120 οἱ δέ τε κῶροι] τὰς καλύβας φησὶν ὑπερπέτονται οἱ ἔρωτες, ὡς οἱ νεοσσοὶ τῶν ἀηδόνων.

123 Ὦ ἔβενος] τὴν λοιπὴν κόσμησιν τὴν βασιλικὴν θαυμάζει.

124 Αἰετώ] ὡς πεποικιλμένων ἀετῶν ἐλεφαντίνων, καὶ βασταζόντων τὸν Γανυμήδην.

125 Πορφύρεοι δὲ τάπητες] ὡς μαλακῶν ταπήτων ὑπεστρωμένων τῇ κλίνῃ τῆς Ἀφροδίτης. οὓς φησὶν ὑπὸ τῆς Μιλήτου καὶ Σάμου ῥηθήσεσθαι μαλακωτέρους ὕπνου, διὰ τὸ παρ' αὐτοῖς εἰς κάλλος τὰ στρώματα γίνεσθαι.

130 Οὐ κεντεῖ τὸ φίλαμ' ἔτι] τὸ τοῦ Ἀδώνιδος δηλαδή. οὐδέπω γὰρ κέκαρται τὰ γένεια ὡς κεντῶσιν, ἀλλ' ἐπιχνοάζει.

132 ἅμα δρόσῳ] ἀντὶ τοῦ ἅμα ἡμέρᾳ. τότε γὰρ πίπτει ἡ δρόσος ἐν τῇ γῇ.

© Centre d'Études Supérieures de la Renaissance - Tours

133 Οἰστεῦμες] ἐπὶ γὰρ τὴν θάλασσαν ἐκφέροντες τὸν Ἄδωνιν, ἔρριπτον ἐπ' αὐτήν.

139 Εἴκατι παίδων] εἴκοσι παίδων. τῷ γὰρ ἀρτίῳ ἀριθμῷ ἀποκέχρηται ὡς καὶ Σιμωνίδης. Ὅμηρος δὲ, ἐννεακαίδεκα λέγει.

141 Δευκαλίωνες] αὐτὶ τοῦ Δευκαλίδαι. ἀπὸ Δευκαλίωνος Θεσσαλοῦ. τούτων γὰρ ἐβασίλευσεν ὁ Δευκαλίων ἢ οἱ Λοκροί. Δευκαλίων γὰρ, ἐν Κύνῳ τῆς Λοκρίδος ᾤκησεν.

143 Ἵλαθι νῦν φίλ' Ἄδωνι] αὐτὶ τοῦ ἱλάσθητι, κατὰ ἀποκοπὴν Δωρικῶς.

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ιϛ΄.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον, Χάριτες, ἢ Ἱέρων.

1 Αἰεὶ τοῦτο Διὸς κούραις μέλει αἰὲν ἀοιδοῖς, ὑμνεῖν ἀθανάτους, ὑμνεῖν ἀγαθῶν κλέα ἀνδρῶν] ἡμετέρας Χάριτας· τὰ οἰκεῖα ποιήματα.

8 σκυζόμεναι γυμνοῖς ποσί] λοιδορούμεναι. τὸ σκύζειν κυρίως ἐπὶ λέοντος, ὅταν τὸ ἐπισκύνιον χαλάσῃ ὀργιζόμενος. λέγεται δὲ ἡ τῶν ὀφρύων κάθεσις, ἐπισκύνιον. τοῦτο δὲ ποιεῖ ὁ λέων, ὅταν κυσὶ κυκλωθῇ, καὶ μέλλει πολεμεῖν αὐτοῖς.

9 ὅτ' ἀλιθίαν ὁδὸν ἦνθον] ἤγουν ματαίαν ὁδὸν, ἀλλοτρίαν, πεπλανημένην. ἀπὸ τοῦ ἀλῶ, τὸ πλανῶ.

18 ἀπωτέρω, ἢ γόνυ κνήμα] παροιμία ἐστὶ τὸ, πορρωτέρω ἡ κνήμη τοῦ γόνατος. τίθεται δὲ αὕτη, ἐπὶ τῶν ἀγαπώντων ἑαυτοὺς, καὶ λεγόντων προτιμοτέρους εἶναι αὐτοὺς τῶν ξένων· οἱ γὰρ πορρωτέρω οὐδὲν πρὸς ἡμᾶς εἰσίν. ἐνήλλακται δὲ ἡ παροιμία, εἰ λεχθήσεται χωρὶς ὑποδιαστολῆς. ἔδει γὰρ οὕτως εἰπεῖν· πορρωτέρω κνήμη γόνυος. εἰ δὲ μετὰ ὑποδιαστολῆς οὐκ ἐνήλλακται.

34 ἐν Ἀντιόχοιο δόμοις] αὐτὶ τοῦ ἄγαν πλούσιος, ὥς τε πολλοῖς παρέχειν τροφήν. ἀλλ' οὐδὲν ὤνησεν ὁ πλοῦτος αὐτῶν πρὸς τὴν νῦν δόξαν, εἰ μὴ ὑπὸ Σιμωνίδου ἐμνήσθησαν. Ἀντίοχος δὲ βασιλεὺς Συρίας. τὰ δὲ περὶ Ἀλεύαν τὸν Σιμίου πάντα ἀνείλετο Εὐφορίων. ὁ δὲ Ἀντίοχος, Ἐχεκρατίδου καὶ Συρίδος υἱὸς ἦν, ὥς φησι Σιμωνίδης.

35 Ἐμετρήσαντο πενέσται] Θεόπομπός φησι τοὺς δουλεύοντας τῶν ἐλευθέρων, πενέστας καλεῖσθαι παρὰ Θεσσαλοῖς, ὡς παρὰ Λακεδαιμονίοις εἵλωτας.

36 Πολλοὶ δὲ Σκοπάδαισιν] ἐκ τούτου πολὺν τὸν πλοῦτον δηλοῖ. οἱ δὲ Σκοπάδαι, Κραννώνιοι τὸ γένος.

38 Κράννωνα δὲ πόλις Θεσσαλίας, ὅθεν Σκόπας ὁ Κραννώνιος Κρέοντος καὶ Ἐχεκρατίας υἱός. καὶ Σιμωνίδης ἐν θρήνοις. Σκοπάδαι οὖν οἱ Θεσσαλοί.

39 Κρεόντιδας δὲ ὁ Σκόπας. Ἀοιδὸς ὁ Κήιος αἰόλα φωνέων. τὸν Σιμωνίδην φησί. παρόσον ἐκεῖνος τοῖς προειρημένοις ἐνδόξοις ἀνδράσι τῶν Θεσσαλῶν, ἐπινίκια ἔγραψε, καὶ θρήνους.

49 Κύκνον ἔγνω] Κύκνον λέγει τὸν Ποσειδῶνος καὶ Καλύκης, τὸν ἀνῃρημένον ὑπὸ Ἀχιλλέως. λευκὸς

© Centre d'Études Supérieures de la Renaissance - Tours

γὰρ ἦν τὴν χροιὰν ἐκ γενετῆς, ὥς φησιν Ἑλλάνικος. διὸ καὶ θῆλυν αὐτὸν εἶπεν ὁ Θεόκριτος διὰ τὴν χροιάν. Ἡσίοδος δέ φησιν αὐτὸν τὴν κεφαλὴν ἔχειν λευκήν, διὸ καὶ ταύτης τῆς κλήσεως ἔτυχεν.

71 Οὔπω μνάμας ἄγων ἔκραμ᾽ ἐρανὸς] οὔπω φησὶν ὁ πᾶς διῆλθεν ἀγών, ἔτι ἔσονται πολλοὶ νικηφόροι, ποιητῶν χρείαν ἔχοντες. ἐκ γὰρ τῶν ἵππων καὶ τῶν τροχῶν, τοὺς ἱερονίκας δηλοῖ. ἢ τροχὸν ἅρματος τὸν τῆδε λέγει, ἀντὶ τοῦ πολλαὶ ἔσονται μεταβολαί.

76 Ἤδη νῦν Φοίνικες ὑπ᾽ ἠελίῳ δύοντι] τοὺς Καρχηδονίους οἰκοῦντας φησὶ Φοίνικας. οὗτοι γὰρ συνεχῶς ἐστράτευσαν Συρακουσίοις, ὡς λέγεται καὶ παρὰ Πινδάρῳ. οἱ γὰρ Φοίνικες, ἄποικοι Τυρίων.

82 καὶ πότνι᾽ Ἀθάνα κούρη θ᾽ ἃ σὺν τῇ μητρί] τὴν Δήμητραν λέγει καὶ τὴν Περσεφόνην εἰληφέναι τὸ τῶν Συρακουσίων ἄστυ. οἷον, τὰς Συρακούσας. πυρέσσον Κορινθίων ἄποικοι οἱ Συρακούσιοι.

84 Πὰρ ὕδασι Λυσιμελείας] ὡς Θουκυδίδης φησὶ, Λυσιμελείας λίμνη ἐν Συρακούσαις.

85 Ἐχθροὺς ἐκ νάσοιο] τοὺς Καρχηδονίους ἐκ τῆς Σικελίας.

86 Σαρδόνιον κατὰ κῦμα] διὰ τούτου γάρ ἐστιν ὁ εἰς Καρχηδόνας πλοῦς ὁ κατὰ τὴν νῆσον Σαρδώ. ὃ καλεῖται Σαρδῷον.

93 σκιπναῖον δὲ ἑσπερινόν. ἢ παρὰ τὴν σκίπαν, ἢ παρὰ τὸ κνέφας πεποίηται. κνίψ γὰρ ζῶον ἐστὶ βραδυκίνητον.

94 Νειοὶ δὲ νέοιντο] τουτέστιν, αἱ κεχερσωμέναι χῶραι νεάζοιντο πρὸς τὸν σπόρον· τουτέστιν, ἀροτριοῖντο. ¶ ἡνίκα τέττιξ ποιμένας ἐνδείους πεφυλαγμένος] ἡνίκα ὁ τέττιξ ἐπὶ τῶν ὑψηλῶν κλάδων ἠχεῖ κατὰ τὴν μεσημβρίαν, τοὺς ποιμένας φυλασσόμενος. ἐλαύνοντες γὰρ οὗτοι ὑπὸ τὴν σκιὰν τὰ θρέμματα ἐν τῇ μεσημβρίᾳ, θηρῶσι τοὺς τέττιγας. τὸ δὲ διαστήσαιντο, ἀντὶ τοῦ διυφήνειαν.

99 Καὶ πόντου Σκυθικοῖο] τοῦ λεγομένου Εὐξείνου 100 Ἀσφάλτῳ δήσασα. Ἡρόδοτος ἱστορεῖ, ὅτι ἀσφάλτῳ ἔδησεν ἡ Σεμίραμις τὸ τεῖχος ἀντὶ πηλοῦ 101 Εἰς μὲν ἐγώ. ὁ ἐγκωμιάζων δηλονότι.

104 Ἐτεόκλειοι] θυγατέρες. Ἐτεοκλέους θυγατέρας ἔφη τὰς Χάριτας, διὰ τὸ Ἐτεοκλέα τὸν Κηφισοῦ πρῶτον ἀποθῦσαι Χάρισιν ἐν Ὀρχομενῷ τῷ Μινυείῳ. 105 ἀπεχθόμενόν ποτε Θήβαις] ἀπεχθόμενον δὲ αὐτὸν ἔφη ταῖς Θήβαις, διὰ τὰ τεθρυλλημένα ἐπὶ ὀργίλῳ τῷ Ὀρχομενίῳ. οὗτος γὰρ ἀναιρεθέντος τοῦ πατρὸς αὐτοῦ Κλυμένου ὑπὸ Θηβαίων εἷλε τὰς Θήβας, καὶ φόρους ἔταξεν, ἕως οὗ Ἡρακλῆς τοῦ δεσμοῦ τοὺς Θηβαίους ἀπέλυσε, μάχῃ νικήσας τοὺς Ὀρχομενίους.

106 Ἄκλητος μὲν ἐγὼ μίμνοιμί κεν] οὐκ ἂν ἐπέλθοιμι. καλούμενος δὲ, μεθ᾽ ὑμῶν ὦ Χάριτες καὶ τῶν Μουσῶν, πορεύσομαι θαρρῶν.

ΣΧΟ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

## ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ιζ'.

Τὸ παρὸν εἰδύλλιον εἰς Πτολεμαῖον τὸν φιλάδελφον γέγραπται. ἀρατείᾳ δὲ κέχρηται εἰσβολῇ.

1 ΕΚ Διὸς ἀρχώμεσθα, καὶ εἰς Δία λήγετε μοῖσαι,
Ἀθανάτων τὸν ἄριστον, ἐπὴν ἀείδωμεν ἀοιδαῖς·
Ἀνδρῶν δ' αὖ Πτολεμαῖος ἐνὶ πρώτοισι λεγέσθω,
Καὶ πύματος καὶ μέσσος. ὁ γὰρ προφερέστατος ἀνδρῶν] ὁ νοῦς. πᾶν φησὶ ποίημα ὅταν γράφωμεν, ὑμνοῦμεν τὸν Δία ἐν πρώτοις, καὶ πυμάτοις, καὶ μέσοις. καὶ Πτολεμαίου οὖν μνησθῶμεν ἐν ἀρχῇ, καὶ μέσῳ, καὶ ἐν τέλει τοῦ ποιήματος.

9 Ἴδαν ἐς πολύδενδρον] ὡς περὶ τὴν Ἴδην τὴν πολύδενδρον ὑλοτόμος ἐλθὼν, ἔργου πολλοῦ προκειμένου σκοπεῖ πόθεν ἄρξεται· οὕτω δὴ κἀγὼ ἀπορῶ, πόθεν πρὸς ὕμνον εἰσβάλλω. Ἴδας δὲ φασὶ πάντα τὰ ὑψηλὰ ὄρη, ἀπὸ τοῦ ἐπ' αὐτῶν δύνασθαι ἰδεῖν πάντα.

14 Λαγίδας Πτολεμαῖος] τοῦ Πτολεμαίου τοῦ Λάγου φησὶν, ὃς ἦν πατὴρ τοῦ Φιλαδέλφου.

¶ Ὅκα φρεσὶν] ἀντὶ τοῦ ὅταν βουλεύσηται.

16 Τῆνον καὶ μακάρεσσι] τὸν Σωτῆρα φησὶ Πτολεμαῖον τοῦ Λάγου, καθὸ ἐξεθεώθη ὑπὸ τοῦ υἱοῦ.

23 Χαίρων υἱωνῶν περιώσιον υἱωνοῖσι] χαίρων ὁ Ἡρακλῆς, ἐπὶ τοῖς τῶν ἐκγόνων υἱοῖς καὶ ἀπογόνοις ἀπαθανατισθεῖσιν. ἀποτείνει δὲ τὸν λόγον εἴς τε τὸν μέγαν Ἀλέξανδρον, καὶ εἰς τὸν Πτολεμαῖον. ἀμφότεροι γὰρ ἦσαν ἀφ' Ἡρακλέους. τὸ δὲ ἀμφοῖν, ἀντὶ τοῦ τοῖς δυσὶ, τῷ Πτολεμαίῳ, καὶ τῷ Ἀλεξάνδρῳ. ὑπωλένιον δὲ τὴν ὑπὸ μασχάλην οὖσαν.

34 Περικλειτὰ Βερενίκα] Βερενίκην λέγει τὴν Λάγου μὲν θυγατέρα, γυναῖκα δὲ Πτολεμαίου τοῦ Σωτῆρος. αὕτη ἐν ταῖς σώφροσι γυναιξὶν εὔδηλος ἦν.

36 Τῆς μὲν Κύπρον ἔχοισα] ἡ Ἀφροδίτη φησὶν αὐτῆς εἰς τὸν κόλπον ἀπεμάξατο τὰς χεῖρας, τουτέστιν ἐπαφρόδιτον ἐποίησεν αὐτὴν, διὸ καὶ ἠγαπᾶτο ὑπὸ τοῦ ἀνδρός.

41 Θαρσήσας, σφετέροισιν ἐπιτρέπει οἶκον ἅπαντα] ζῶν γὰρ ἔτι ὁ Σωτὴρ, ἐκοινοποίησε τῷ Φιλαδέλφῳ τὴν βασιλείαν. τρεῖς δὲ ἐγένοντο Πτολεμαῖοι. ὁ Λαγωὸς, ἐγέννησε δὲ οὗτος τὸν Πτολεμαῖον τὸν Σωτῆρα, ὅστις εἶχε τὴν Βερενίκην γυναῖκα. οὗτος δὲ πάλιν ἐγέννησε Πτολεμαῖον τὸν Φιλάδελφον, ὅστις εἶχε γυναῖκα τὴν Ἀρσινόην.

46 Σοὶ τήνα μεμέλητο] ἤγουν ἐν ἐπιμελείᾳ καὶ φροντίδι ἦν.

50 Τεὰς δ' ἀπεδάσσαο τιμάς] Ἀπεμερίσω. τὰς σὰς τιμὰς ἀπένειμας αὐτῇ.

52 κοῦφαι δὲ δίδοι ποθέοντι μερίμνας] τοῦτο δὲ ποιεῖ φησὶν, ἐπεὶ ἡ Ἀφροδίτη ἀπαθανατίσασα αὐτὴν, τῶν δυνάμεων καὶ τιμῶν ἐκοινώνησεν.

53 Ἀργεία κυανόφρυ, σὺ λαοφόνον Διομήδεα] Ἀργείαν εἶπε



© Centre d'Études Supérieures de la Renaissance - Tours

τὴν τοῦ Διομήδους μητέρα Δηϊπύλην, καθὰ ἐξ Ἄργους ἦν, Ἀδράστου θυγάτηρ. ἦν δὲ ὀνομαστικῶς καὶ Ἀργεία καλουμένη.

54 Καλυδώνιον δέ φησι τὸν Διομήδην, ὅτι ὁ Τυδεὺς ἦν ἐκεῖθεν.

58 Καί σε Χόως ἀτίταλλε] ὅτι ὁ Φιλάδελφος ἐν Κῷ τῇ νήσῳ ἐγεννήθη ὑπὸ Βερενίκης.

61 Ἀντιγόνας θυγάτηρ βεβαρημένα ὠδίνεσσιν] ἡ γὰρ Βερενίκη θυγάτηρ Ἀντιγόνης τῆς Κασσάνδρου τοῦ Ἀντιπάτρου ἀδελφιδοῦ ἐσπουδακότος τὴν ἐν τῷ περὶ Τριόπιον τῶν Δωριέων σύνοδον, καὶ τὴν αὐτόθι δρωμένην πανήγυριν, καὶ τὸν ἀγῶνα τὸν ἀγόμενον ἢ ἀγωνιζόμενον Ποσειδῶνι καὶ νύμφαις.

68 Ἐν μιᾷ τιμῇ, Τριόπιον καταθεῖο κολώναν] Τριόψ γὰρ βασιλεὺς τῆς Κῶ, ἀφ᾽ οὗ τὸ ἀκρωτήριον ὠνόμασται τῆς Κνίδου. 69 Ἴσον Δωριέεσσι νέμων γέρας] ἡ τῶν Δωριέων πεντάπολις, Λίνδος, Ἄλυσος, Κάμειρος, Κῶς, Κνίδος. ἄγεται δὲ κοινῇ ὑπὸ τῶν Δωριέων ἀγὼν ἐν Τριόπῳ, νύμφαις, Ἀπόλλωνι, Ποσειδῶνι. καλεῖται δὲ Δώριος ὁ ἀγών, ὡς Ἀριστείδης φησί. τὸ δὲ Τριόπιον, ἀκρωτήριον τῆς Κνίδου, ἀπὸ Τριόπου τοῦ Ἀβάντος, ὡς ἐν τοῖς περὶ Κνίδου Ἰάσων φησίν.

70 Ἴσον καὶ Ῥήναιαν] νῆσος οὕτω λεγομένη ἦν καὶ Δήλου φασί. τὴν δὲ Ῥήναιαν προσῆψε τῇ Δήλῳ Πολυκράτης ὁ Σαμίων βασιλεύς.

81 οὐδέ τις ἄστεα τόσσα βροτῶν ἔχει] ὅμοιον γὰρ πᾶσαι αἱ πόλεις, τρισμύριαι, τρισχίλιαι, τριακοντατρεῖς.

105 τὰ δὲ κτεάτεσσι] καρποῦται ἀφόβως τὰ ἑαυτοῦ. 107 Μυρμάκων] περὶ τῶν μυρμήκων τῶν μεταλλευόντων χρυσὸν ἐν Ἰνδοῖς, πολλοὶ ἱστορήκασι.

121 Μοῦνος ὅδε προτέρων] οὗτος δὲ μόνος τῶν ἐκ πάλαι θανόντων καὶ περὶ μικροῦ, τῇ μητρὶ καὶ τῷ πατρὶ ναοὺς ἔκτισεν.

128 Αὐτός τ᾽ ἰφθίμα τ᾽ ἄλοχος] Πτολεμαίῳ τῷ Φιλαδέλφῳ συνῴκει προτέρα Ἀρσινόη ἡ Λυσιμάχου. ἀφ᾽ ἧς καὶ τοὺς παῖδας ἐγέννησεν, Πτολεμαῖον, καὶ Λυσίμαχον, καὶ Βερενίκην. ἐπιβουλεύουσαν δὲ ταύτην εὑρών, καὶ σὺν αὐτῇ Ἀμύνταν καὶ Χρύσιππον τὸν Ῥόδιον ἰατρόν, τούτους μὲν ἀνεῖλεν· αὐτὴν δὲ ἐξέπεμψεν εἰς Κοπτόν, ἢ εἰς τόπον τῆς Θηβαΐδος. καὶ τὴν οἰκείαν ἀδελφὴν Ἀρσινόην ἔγημε. καὶ εἰσποιήσατο αὐτῇ τοὺς ἐκ τῆς προτέρας Ἀρσινόης γεννηθέντας παῖδας. ἡ γὰρ ἀδελφὴ καὶ γυνὴ αὐτοῦ, ἄτεκνος ἀπέθανεν.

ΙΛΕΡ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

# ΓΙΛΕΡΜΟΥ ΞΥΛΑΝΔΡΟΥ ΣΕΒΑΣΤΟΠΟΛΙΤΟΥ

## Εἰς τὸ ιθ', καὶ τὰ λοιπὰ Θεοκρίτου εἰδύλλια, ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ.

Σίμβλων. τῶν κυψέλων, τῶν σμηνῶν. συλλαβόμενον. κλέπτοντα λέγει.

3 ὑπένυξεν. νύττω τὸ κεντῶ.

χέρ' ἐφύσητο. τὴν ὀδύνην καταπαύσων δηλονότι.

## ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ εἰς τὸ κ'.

ΕΝυβρισθεὶς βουκόλος τις ὑπὸ κόρης ἀστικῆς, Εὐνίκης τοὔνομα, τὸ ὑπερήφανον αὐτῆς, καὶ τὴν ἑαυτοῦ ὑπερφρόνησιν διηγεῖται, καὶ ὡς ἀνάξια εἴη πεπονθώς.

2 Ἔρρ' ἀπ' ἐμεῖο. φθείρου ἀπ' ἐμοῦ. μετὰ φθορᾶς ἄπιθι. ἐπιπληκτικὸν γάρ, καὶ τοῦ ἄπαγε σφοδρότερον, ὃ παρ' Ὁμήρῳ,

Ἔρρε κακὴ γλήνη. Ἔρρ' ἐκ νήσου θᾶσσον.

7 Κωτίλα. φλύαρα· λαλὸν δηλοῖ. Ἡσίοδος· Αἱμύλα κωτίλλουσα, ἤγουν κολακεύουσα λαλιὰ πινικὴ φλυάρεις.

11 τρὶς εἰς ἑὸν ἔπτυσε κόλπον. ὡς καὶ ὁ Κύκλωψ ἐν τοῖς ἄνω, ὡς μὴ βασκανθῇ. ἐνταῦθα δ' ἴσως εἴη ἀφοσιωμένης αὐτὸν, καὶ τὴν Νέμεσιν ἐμοῦ ἀποτρεπούσης.

12 Καί μ' ἀπὸ τᾶς κεφαλᾶς. τοῦτο καταφρονούντων, ὥστε εἰ φαίη· καὶ μὴν οὐδὲν ἐν σοὶ καλὸν εὑρίσκω.

16 ὡς ῥόδον ἔρσαι. λείπει τὸ, φοινίζουσιν.

19 τὸ κρήγυον. τὸ ἀληθὲς καὶ ἔτυμον. Ὅμηρος· μάντι κακῶν, οὔπω ποτέ μοι τὸ κρήγυον εἶπες.

22 ἐπύκαζεν. ἐκόσμει.

26 Πακτᾶς. πηκτῆς, τουτέστι τυροῦ νεωστὶ πηγνυμένου.

29 Παυναύλῳ. τοῦ ἐκ πολλῶν, οἶμαι, καὶ ποικίλων δονάκων συγκειμένῳ αὐλῷ.

34 ὅτ' αὖτ' ἐμ' ἐμάνατο βούτα. Ἀγχίση, ὡς ἐν τῷ α εἰδυλλίῳ δέδεικται.

40 Καὶ τὺ Ῥέα κλαίεις τὸν βουκόλον. τὸν Ἄττιν, ὡς ἔοικε.

41 παῖδα βουνόμον. τὸν Γανυμήδην.

## ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ εἰς τὸ κα'.

1 ΑΠενία Διόφαντε. γνώμη· Πενία τὴν σοφίαν ἔλαχε. Ἀρξάμενος δὲ ἐκεῖθεν χαριέντως τὰς κενὰς ἐλπίσιν ἐπιθυμίας, καὶ βίον ἡδίω, τύχην τε λαμπροτέραν ὀνειρώττοντας διασύρει ὥστε ὑπερδοκιμεῖν δόξειεν ἂν πολλὰ τῶν ἄλλων ἠθικῇ ταύτῃ διδασκαλία.



© Centre d'Études Supérieures de la Renaissance - Tours

10 λῆδα. τριβώνια, ἄλλως εὐτελῆ, νυνὶ δὲ δίκτυα ἴσως.

11 Ὁρμιαὶ δέ, οἱ τῶν ἀγκίστρων σχοῖνοι· ἐκ σχοίνων λαβύρινθοι· περίφρασις, τὰ ἀμφίβληστρα.

15 οὐχ ἑνά. χαίρεται δὲ ἵνα. ἓν δὲ μέτρου γένος, διπλὸν τῆς ἡμίνας. ὡς Εὐστάθ. Ιλ. χ. ὥστε εἴη ἐνταῦθα ποτήριον.

17 Πενία δὲ παρ' αὐτοῖς. αὐτὴ καθ' ἑαυτὴν ἐκεῖ καὶ μόνη διέτριβε ἡ Πενία.

21 ἤρεθον. ἤγειρον.

26 Ἀσφαλίων. διάλογος ἐστι. ὁ μὲν οὖν περὶ τῶνδε, Ἀσφαλίων (τοῦτο γὰρ ἐξηγημάτιζε ὁ ἁλιεὺς) εἴρηκε· ἀποκρίνεται δὲ ὁ δὲ ἕτερος τις ἁλιεύς.

32 οὗτος ἄριστος. ὅμοιόν πως τῷ Μάντις ἄριστος, ὅστις εἰκάζει καλῶς.

36 τὸ δὲ λύχνειον ἐν Πρυτανείῳ. ταῦτα ἀσαφείας ἔχουσιν οὐκ ὀλίγον, ἐμοί γε δοκοῦν. εἰκάσειε μέν τις, ταύτην εἶναι τὴν γνώμην, Τίς φθόνος ἡμᾶς πενητάς τε καὶ ἁλιεῖς, κατὰ τὴν νύκτα οὐκ ἀπομεριμνίζειν, ἀλλὰ περὶ τῶν ἰχθύων ἄγρας μελετᾶν, ὁπότε οἱ Ἀθηναῖοι συνεχῶς περὶ ἄγρας τινὸς διασκοποῦσι, καὶ πλεονεκτοῦσι. Πρυτανεῖον γὰρ ἦν παρ' Ἀθηναίοις δημόσιον δῶμα, ἐν ᾧ λύχνος ἄσβεστος· ὅτι δὲ τοῖς Ἀθηναίοις δυσμενῶς εἶχεν ὁ Θεόκριτος, οἷον πόλεμον κατὰ τῶν Σικελιωτῶν ἐξενηνοχόσι, σὺν ἄλλοις καὶ τὸ εἰς Λαμπριάδας σκῶμμα δείκνυσι. φυλὴ Ἀθηναίων. Εἰδ. δ'.

40 Οὐκ ἦν μὲν πολύσιτος. δηλονότι, ὥστε καὶ ἐνοχλεῖν ἐκ τῆς πολυφαγίας τὰ ἐνύπνια.

48 περὶ κνώδαλον. Κνώδαλον, θηρίον σημαίνει θαλάσσιόν τε καὶ χερσαῖον, ὥστε διεσφαλμένως ἀναγινώσκοντες περὶ κνώδαλον περὶ τὸν ἰχθὺν ἀκούσομεν. εἰ δὲ, ὑφὲν, ἴσως τὸ σφοδρὸν καὶ δεινὸν, οἷον κατὰ θηρίου, ἐννοεῖν ἐστί.

49 ἀφαυροτέροισι. ἀσθενεστέροις πιστῆρσι· λινοῖς, μηρίνθοις.

## ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ εἰς τὸ κβ'.

Ἀπολλώνιος β'. Ἀργοναυτικῶν διηγεῖται τὴν Πολυδεύκους καὶ Ἀμύκου τοῦ Βέβρυκος μάχην.

5 Θεστιάδος. Θέστιος πατὴρ τῆς Λήδας.

6 ἐπὶ ξυροῦ. Παροιμία, ἐπὶ ξυροῦ ἀκμῆς, περὶ τῶν τὰ ἔσχατα κινδυνευόντων. Ὅμηρος Νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς. Ἰλιάδ. κ'.

19 Αἶψα δ' ἀπολήγοντ' ἄνεμοι. Ἐν τῷ ἀπολήγονται, ἡ πρό ἐκτείνεται, ὡς ἐν τῷ Ὁμηρικῷ ἐκείνῳ Μῆνιν ἀποειπὼν Ἀγαμέμνονι ποιμένι λαῶν. Ιλ. τ.

20 Ἀμπέλαγος δέ, ἀνὰ πέλαγος. οἷον τὸ ἀμπέδιον, ἀνδύνακος παρ' Ὁμήρῳ. 21 Ὄνων τ' ἀνὰ μέσσον ἀμαυρὴ Φάτνη. Ἄρατος Καί τοι μὲν καλέονται ὄνοι, μέσση δέ τε φάτνη καὶ τὰ λοιπά.

27 πέτρας εἰς ἓν ξυνιούσας. τὰς Κυανέας, τὰς καὶ Συμπληγάδας.

28 Ἀζηρότερον. βλαβερόν, ἀτηρόν, κατὰ ἐπένθεσιν.

34 Οἰνω-

© Centre d'Études Supérieures de la Renaissance - Tours

34 Οἰνωπός. πυῤῥός.

37 λισσάδι πέτρῃ. τῇ ὑψηλῇ καὶ ἐρυμνῇ.

39 Ινδάλλοντο. ὅμοιαι ἐφαίνοντο.

49 Ολοοίτροχοι. κυλινδροειδεῖς.

63 Τέρσεν. ἐξήρανεν.

85 Ιδρείῃ. τῇ ἐμπειρίᾳ.

88 Χερσὶ πιτυσκόμενος. κατασχαζόμενος.

94 Τιτυοῦ ἐναλίγκιος. δηλονότι ὑπερμεγέθη καὶ πελώριον. τοιοῦτος γὰρ ὁ Τιτυός.

97 Παῖδα Ποσειδάωνος. Αμυκον. Ποσειδῶνος γὰρ λέγεται, καὶ Μελίης Βιθυνίδος Νύμφης. ὃν ποτε Νύμφη Τίκτε Ποσειδάωνι γενεθλίῳ εὐνηθεῖσα Βιθυνὶς Μελίη. Απολλώνιος. β. Αργον.

113 Μάσσονα γυῖα. μείζονα.

115 Αδήφαγον. ἴσως διὰ τὸ εἶναι ἀθλητικόν.

118 Λιλαιόμενος. ἐφιέμενος, ποθῶν.

120 Δοχμός. πλάγιος.

139 Εσσυμένως. σπουδῇ.

158 Σισυφὶς ἀκτή. Ισθμὸς, ὃν ᾤκησεν ὁ τοῦ Αἰόλου υἱὸς Σίσυφος. καὶ αὐτόθεν ἅμα πατρώιον αἷμα.

175 Αφάρεως υἱοὶ μὲν Λυγκεὺς καὶ Ιδας, γυνὴ δὲ Αρήνη, ἀδελφὴ Τυνδάρεω, οὗ Πολυδεύκης καὶ Κάστωρ. ἦσαν οὖν ἀνεψιοί.

181 μεταμώλια. κενὰ, μάταια, μηδὲν ὠφελοῦντα, οἷον μηδὲν ὀνοῦντα.

192 μάχης δ' οὐ γίνετ' ἐρωή. ἀνάπαυσις καὶ ἐνδῶθαι.

194 Ακριβὴς ὄμμασι Λυγκεύς. διώνυμος γὰρ οὗτος ἐπὶ ὀξυδερκείᾳ. ὃς -- Οξυτάτοις ἐκέκαστο
Ομμασιν, εἰ ἐτεόν γε πέλει κλέος ἀνέρα κεῖνον
Ρηϊδίως καὶ νέρθε κατὰ χθονὸς αὐγάζεσθαι. Απολλώνιος.

199 Τόθι. ὅπου.

206 Λαοκόωσα. τοῦτο κέκληται ἡ Λυγκέως μήτηρ. ἄλλοι δὲ Αρήνην αὐτὴν ἀναγράφουσι.

208 Μεσσάνιος Ιδας. Ο γὰρ αὐτοῦ πατὴρ Αφαρεὺς τὴν Ηλιδα καὶ Μεσσήνην κατεῖχε.

218 Χῖος ἀοιδός. οὕτως καὶ Θαλυσίοις τὸν Ομηρον ἐκάλεσεν.

## ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ εἰς τὸ κγ'.

2 Τὰν μορφὰν ἀγαθῶ. ὅμοιον τῷ Ομήρου· Δαιμόνι, οὐ μὲν σοί γε ἐπ' εἴδει καὶ φρένες ἐσθλαί.

8 ῥοδόμαλον. ῥοδέα παρειά.

12 εἶχεν αὐάδειαν. σκληρότητα ἀπαρηγόρητον.

15 Ἦ καλὸς ἐξόρπαξ. ἄλλως ἐξάρπαξ', ὃ καὶ ἄμεινον, ἵνα ᾖ· ἀλλὰ καὶ οὕτως, ἡ ὁ καλὸς ἐξάρπαξε, δηλονότι τὴν τοῦ τυχεῖν ἐλπίδα, μᾶλλον αὐτοῦ ἐκείνῳ ἐρεθίζετο ὁ ἐραστής.

21 Λοίσθια. ὕστατα.

33 Ὁππανίκα. Δωρικῶς, ἀντὶ τοῦ ὁπότε.

54 οὐδ' ἐτυλίχθη. οὐδὲ ἐκινήθη τὴν ψυχήν.

63 αἴτας. τοὺς ἐραστὰς, ὡς ἐν τῷ ιβ'. Εἰδυλ.



© Centre d'Études Supérieures de la Renaissance - Tours

## ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ εἰς τὸ κδ΄.

Τοῦτο εἰδύλλιον τὴν ἐν παισὶν ἔτι ἐξεταζομένου Ἡρακλέους ἀγωγὴν καὶ ἐπιτηδεύματα περιέχει· χαριέστατον μὲν καὶ τῶν εὐδοκίμων ὅτι μάλιστα, οὐ μὴν ὁλοσχερές, ἀλλὰ κολοβόν, καὶ τοῦ τέλους ἐστερημένον.

1 Ἁ Μιδεᾶτις Ἀλκμήνη Ἠλεκτρύωνος ἦν, τοῦ Περσέως. ἡ δὲ Μιδεία τῆς Ἀλωέος.

2 νυκτὶ νεώτερον. φασὶ γὰρ αὐτὸν καὶ συλληφθῆναι καὶ τεχθῆναι νυκτὶ μιᾷ ὕστερον τοῦ Ἡρακλέους.

4 τὸν Πτερελάου. Πτερέλας υἱὸς Ἱπποθόης, τῆς Μήστορος, τοῦ Περσέως καὶ Ἀνδρομέδας, ὧν καὶ Ἠλεκτρύων ἦν υἱός. τούτου δὲ Πτερέλα υἱοὶ Τηλεβόας καὶ Τάφιος. οὗτοι ἀπῄτουν Ἠλεκτρύωνα τὴν τῆς μάμμης προσήκουσαν αὐτοῖς κληρονομίαν, καὶ ἀντιστάντας αὐτοῖς τὸν Ἠλεκτρύωνα, καὶ τοὺς σὺν αὐτῷ ἀνῄρουν. ἡ μὲν οὖν Ἀλκμήνη τῷ τιμωρησαμένῳ τὸν τοῦ πατρὸς ἑαυτῆς Ἠλεκτρύωνος φόνον, τὸν γάμον ἑαυτῆς ὑπέσχετο. Ἀμφιτρύων δὲ κτείνας τὸν Πτερέλαον καὶ τοὺς περὶ Τηλεβόαν, αὐτὴν ἔγημεν. τοῦ γοῦν Πτερέλα ἀσπίδα μάχῃ κτηθεῖσαν ὑπ' Ἀμφιτρύωνος ὧδε λέγει.

11 Ἆμος δὲ στρέφεται ἦμος, ὅτε. σημαίνει δὲ χρόνον, καθ' ὃν (ὥστε ταῦτα τῷ Θηβαίων ὁρίζοντί τις οἰκειώσειεν) Ὠρίων κατὰ μέσην τὴν νύκτα ἡμίτομος περὶ τὸν ἧῶον ὁρίζοντα φαίνεται· δηλονότι τοῦ ἡλίου κατὰ τὸ τοῦ λέοντος δωδεκατημόριον φερομένου.

28 Δραξάμενος φάρυγος. τῇ φάρυγγι ξυμμάρψας, ὅθεν δράγματα. τὸ δὲ φάρυγος, ἐκβολῇ τοῦ ἑνὸς γ, συγκοπῇ.

31 Ὀψίγονον. δηλονότι διὰ τὸ τὴν Ἥραν μητρὶ αὐτοῦ ὠδῖσι κατεχομένῃ ἐμποδὼν γεγονέναι διὰ τῶν φαρμακίδων, ὥστε μόλις καὶ ὀψὲ αὐτὸν τεχθῆναι.

36 μηδὲ πόδεσσι. τοῦτο λέγει, πᾶσαν ἀναβολὴν καὶ διατριβὴν ἐν τῷ ἐνδύσασθαι ἀποκόπτουσα.

44 ὠρίγνατο. ὤρεξεν.

45 Λώτινον. ἐκ γὰρ λωτοῦ τὸ πάλαι καὶ ξιφῶν θῆκαι, καὶ αὐλοὶ ἐσκευάσθησαν. ὅθεν πολλάκις παρ' Εὐριπίδῃ λωτὸς ἀντὶ αὐλοῦ τίθεται.

53 Ἐπιτύτθιον. σμικρόν, οἷον ἐν βρέφος.

56 Δεικανάασκεν. ἔδειξεν, προὔτεινεν.

60 Ξηρὸν ὑπαὶ δείους. ἤσσω τοῦ αἵματος συλλεγομένου. ¶ Ἀκράχολον. προπετῆ εἰς ὀργήν.

65 χρέος. τὴν συμφοράν, τὸ συμβεβηκός.

69 κατὰ κλωστῆρος. ὡς παρ' Ὁμήρῳ ὅσσα οἱ αἶσα γιγνομένῳ ἐπένησε λίνῳ.

72 Περσήϊον αἷμα Ἠλεκτρύων γὰρ αὐτῆς πατήρ, υἱὸς ἦν Περσέως.

82 Γαμβρὸς δ' ἀθανάτων. τὴν Ἥραν σημαίνει, ἧς θυγατέρα ἔγημε τὴν Ἥβην.

87 Κάγκανα. αὖα, ξηρά.

88 ἀχερ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

88 ἀχέρδον. ἀκανθῶδες φυτὸν, ἐξ οὗ τὰς αἱμασιὰς ποιοῦσι. ἤγουν ἡ ἄπιος ἡ ἀγρία παρ' Ὁμήρῳ δὲ κεῖται Ὀδ. ξ.

94 Καθαρῷ δὲ πυρώσατε δῶμα θεείῳ. οὕτως καὶ Ὅμηρος καθαρτικὸν τὸ θεῖον ποιεῖ οἶσε θέειον γρηῢ κακῶν ἄκος.

108 Φιλαμμονίδης υἱὸς Φιλάμμονος, τοῦ Φοίβου καὶ Χιόνης, τῆς Βορρᾶ καὶ Ὠρειθυίας. Φανοπῆος· τοῦ Φανόπης υἱοῦ τῆς νύμφης.

127 Ἱππαλίδος ἱππότης.

137 Τυτθόν. μικρόν.

## ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ εἰς τὸ κε'.

Ἀκέφαλον τουτὶ τὸ εἰδύλλιον. ὅσα δ' ἐν ἀρχῇ κεῖται, ἀπόκρισίς ἐστι βουκόλου πρὸς Ἡρακλῆν, ζητοῦντα περὶ τοῦ Αὐγείου.

9 Ἐλισσοῦντος. τόπος ἐν Ἤλιδι, ὀνομασθεὶς οὕτω, ἀπὸ τοῦ ταῖς ποίμναις εὐχαίρων.

16 εἰαρθμαί τε. τοὺς καθύγρους τόπους οὕτω καλοῦσι.

21 Ἀπόλλωνος νομίοιο. ὅτι καὶ αὐτὸς τὰς βοῦς ἔνεμε τοῦ Ἀδμήτου ὡς Εὐριπίδης Ἀλκήστιδι.

48 αἰσυμνητής. παρὰ τὸ αἴσιον, οἰκονόμος, ὥς που καὶ βασιλεῦσι. παροιμιῶδες τοῦτο. Αἰσχύλος Πέρσαις ὁμοίως ἔλεξεν· Ὄμμα γὰρ δόμων νομίζω δεσπότου παρουσίαν.

61 τέτμηται μὲν. εὕρηται μέν.

83 ἀρρηνές. ἄγριον, δυσχερές. τὸ δὲ ζάκοτον, ὀργίλον, παρὰ τὸ κότος. ἡ δὲ ζα ἐν τῇ συνθέσει ἐπιτείνει καὶ αὔξησιν παρέχει.

86 πίονα χάρρον. οὕτως ἀναγινώσκειν δεῖ, ἵνα καὶ τὸ μέτρον σωθείη. ἔστι δὲ ἥδυσμα χάλακτος πηγνυμένου.

131 Ἀργῆσται. λευκοί.

151 βουσὶ κορωνίσι. κεραοῖς, κερασφόροις.

165 Ἑλίκηθεν ἐξ Ἑλίκης. Ἑλίκη Ἀχαΐας πόλις.

174 Αἰγιαλήων. Πελοποννησίων. Αἰγιαλεὺς γὰρ τῆς Πελοποννήσου ποτὲ ἦν βασιλεὺς, ὅθεν τοὔνομα τῇ χώρᾳ.

183 κατ' Ἀπίδα. κατὰ τὴν Ἀχαΐαν. Ἄπις βασιλεὺς ἦν τῶν Ἀργείων, ἀφ' οὗ ἡ Πελοπόννησος Ἀπία. ὡς καὶ Σοφοκλῆς αὐτὴν καλεῖ Οἰδίπ. Κολ.

200 Φορωνήεσσιν Φορωνεὺς ὁ Ἰνάχου, βασιλεὺς Ἀργείων. ὅθεν τὸ τῇ χώρᾳ ὄνομα.

206 κέρας ὑγρόν. ἤγουν εὐκαμπές.

213 εἶθαρ. ταχέως.

223 σήραγγα. φωλεόν.

230 Τηΰσιος. μάταιος. οὐδὲ τηϋσίην ὁδὸν ἔλθοις, ματαίαν. Ὅμηρος.

240 ἀσχαλόων. δυσφορῶν.

241 Περιγλαυκιόωντα. περιβλέπων, περισκοπῶν. γλήνη γὰρ ὁ ὀφθαλμός.

263 Νωσάμενος. νοήσας.

## ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ εἰς τὸ κϛ'.

Περὶ ταύτης ἱστορίας τὰς Εὐριπίδου Βάκχας ἀναγίνωσκε.

1 Μαλοπάρηος. λευκοπάρειος.

26 Ἐξ ὄρεος πένθημα. ἐπώνυμος γὰρ τῷ πένθει ὁ Πενθεύς, εἰς ὃ καὶ ἡ αὐτὴ ἀνάκλασις τοῦ ὀνόματος ἤδε.

33 Δρακάνῳ. Ἰκαρίας ὄρος.

ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ
εἰς τὸ κη'.

Χοριαμβικὸν τοῦτο τὸ μέτρον. Συστατικὸν δὲ ἠλακάτης τῇ Νικίᾳ γυναικὶ Θευγενίδι ὑπ' αὐτοῦ δωρηθείσης.

3 πόλιν Νείλεω. Μίλητον.

ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ
εἰς τὸ κθ'.

Πεντάμετρον δακτυλικόν.

3 τὰ κέατ'. ὅσα κεῖνται.

ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ
εἰς τὸ λ'.

Τοῖς Ἀνακρέοντος λυρικοῖς παρόμοιόν ἐστι τοῦτο, ὅσον τό τε μέτρον, καὶ τὸ σχῆμα.

7 Πώγωνοι. ψίλωοι. τινοῦνται γὰρ πλάττονται.

19 Ἴψω. ἴπτω τὸ βλάπτω. ἐκακούργεις τὸν μηρόν.

32 Καπσίναζε. βλάβην μοι τοῦτο ἔφερε. σινάζω, τὸ βλάπτειν. ὡς ἐν τῷ· φοιτᾷ σινομώρα τὸν τράξιμον.

## Τοῦ αὐτοῦ
## ΕΙΣ ΤΑ ΤΟΥ ΜΟΣΧΟΥ Εἰδύλλια
### ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ.

ΕΙΣ Μόσχον τοῦτο ἀναφέρουσι. Δωρίδι δὲ γέγραφθαι. ἦν δὲ Συρακούσιος καὶ ὁ Μόσχος.

1 ἐβώστρει. ἔκραζε καλοῦσα.

3 μανυτάς. ὁ μηνυτής, ὁ ἐνδείκτης.

6 περίσαμος. περίσημος, ὥστε γνωσθῆναι δυσχερής. Ἔστι δὲ περιγραφὴ καὶ ὑποτύπωσις τοῦ Ἔρωτος χαριεστάτη τε καὶ ὅτι μάλιστα φυσική.

8 Δριμύλαι. παροξύνεται αι· καὶ τὰ ἄλλα τὰ ὑποκοριστικῶς [illegible] τι ἐκφερόμενα, ὡς τὸ ἐρωτύ[λ]ος, μι[κκ]ύλος.

10 Ἠπεροπευτάς. ἀπατεών. ἠπεροπεύω γὰρ τὸ ἀπατῶ. Ὅμηρος, ἦ οὐχ ἅλις, ὅτι γυναῖκας ἀναλκίδας ἠπεροπεύεις;

13 Μικκύλα. μικρά.

15 Νόος δέ οἱ ἐμπεπύκασται. δολίφρων ἐστί, καὶ τὸν νοῦν πυκινὸν καὶ ὀξὺν ἔχων;

24 δαΐζεις. ἀγαδίζεις.

ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ
εἰς τὸ β'.

Τῶν διηγηματικῶν τοῦτο ἐστί. Εὐρώπης ὄνειρον καὶ ἁρπαγὴν ὑπὸ τοῦ Διὸς μηχανηθεῖσαν διεξιόν.

ἴσως

© Centre d'Études Supérieures de la Renaissance - Tours

Ἴσως δὲ καὶ τοῦτο ἄλλου τινός ἐστι, οὐ Θεοκρίτου, εἴπερ τῇ διαλέκτῳ εἰκάζειν ἔξεστι· ἥκιστα γὰρ Δωρίζει.

2 Τρίτον λάχος. μέρος.

3 Ὕπνῳ ὅτε γλυκίων· οὕτως καὶ Εὐριπίδης· Ὕπνος ἄδιστος ἔβα βλεφάροισι πρὸς ἀοῦς ῥῆσιν.

4 πεδία μαλακὰ καὶ τὰ. ἀντὶ τοῦ καὶ τὰ πεδία. τμῆσις καὶ ἀναστροφή.

5 Εὖτε καὶ ἀτρεκέων. οἷον ἥκιστα ὅτε τῆς ψυχῆς ὑπὸ τῶν ἀπὸ τῆς τροφῆς ἀναθυμιάσεων ἐνοχλουμένης.

7 Φοίνικος θυγάτηρ. Ἀγήνορος μὲν οὖν. τῆς Φοινίκης δὲ οὗτος βασιλεύς. ¶ Εὐρώπεια. Εὐρώπη, ὡς Πηνελόπη, Πηνελόπεια.

17 ὡς ὕπαρ εἶδεν ὄνειρον. ὕπαρ τὸ ὄντως ὑπάρχον, τῷ φανταζομένῳ καὶ ὀνείρῳ ἀντίκειται.

18 ἀκήν. σιωπῇ. Ὅμηρος, ἀκὴν ἐγένοντο σιωπῇ.

29 οἰετέας. ἰσοετεῖς, τουτέστιν, ὁμήλικας.

31 προχοῇσιν Ἀναύρω. Ἄναυρος ποταμός ἐστι Θετταλίας ὡς ἄλλοι τε, καὶ Ἀπολλώνιος α. Ἀργοναυτ. περὶ δὲ αὐτοῦ οὐκ οἶμαι ἐνταῦθα λέγειν τὸν ποιητὴν, ἀλλὰ ἢ Φοινίκης τις εἴη ὁμώνυμος ἐκείνῳ ποταμὸς, ἢ γενικῶς τὸ ὄνομα μεταληφθῆναι δόξει. προχοαὶ δὲ, αἱ τῶν ποταμῶν εἰς τὴν θάλασσαν ἐκβολαί.

33 φάανθεν. ἐφάνησαν, Βοιωτικῶς.

34 Ποτὶ δὲ λειμῶνας ἔβαινον. ἡ, δὲ, ἐκτείνεται, οὖσα ἄλλως βραχεῖα, διὰ τὸ λ ἑπόμενον. ὡς παρ' Ὁμήρῳ, ὁ δ' ἐλιτάνευσεν Ὀδυσσεύς. καὶ, Γουνῶν ἐλιτάνευσα. καὶ ἄλλως δέ.

39 Ἐννοσιγαίου. ἔνοσις, σεισμὸν σημαίνει, ὅθεν ἐνοσίγαιος· καὶ διπλασιασμῷ ἐννοσίγαιος, ὁ τὴν γῆν σείων, Ποσειδῶν.

49 Θηεῦντο. ἐθηεῦντο, ἤγουν μετὰ θάμβους ἐθεώρουν.

55 στεφάνην. στεφάνη τὸ ἄκρον σημαίνει, καὶ κορυφήν.

59 Ὄρνις ἀγαλλόμενος. ταῶς δηλονότι. ταρσὸς δὲ τὸ τοῦ ἐρετμοῦ πλάτος, ὡς καὶ ποδὸς, καὶ ἀναλόγως καὶ ἐπ' ἄλλους.

71 Ἀφρογένεια. τὴν Ἀφροδίτην οὕτως καλεῖ, οἷον ἐξ ἀφροῦ γεγενημένην, ἤγουν τεθραμμένην, τοῦ περὶ τὸ ἐκτμηθὲν Κρόνου αἰδοῖον ἐν τῇ θαλάσσῃ συλλεγομένου, -- οὕνεκ' ἐν ἀφρῷ Θρέφθη, ὡς παρ' Ἡσιόδῳ μαθεῖν.

75 ἀνωΐστοισι. ἀπροσδοκήτοις.

92 ἐκαίνυτο λαρὸν ἀϋτμήν. ἐνίκα τὴν γλυκεῖαν ὀδμήν.

97 αὐλοῦ Μυγδονίου. Μύγδονες Φρυγίας ἔθνος τῆς μείζονος. ἐπεὶ δὲ τῇ τῶν θεῶν μητρὶ ἀνακεῖσθαι, καὶ αὐτῇ αὐλοῖς καὶ τυμπάνοις ὀργιάζειν εἰώθεσαν αὐτοὶ, τεθρύλληται.

99 Ὤκλασε. γνὺξ, τουτέστιν ἐπὶ τὰ γόνατα κατέστελεν ἑαυτόν.

109 Ἀνεπάλλετο. ἀνήλατο.

115 αὐτοχέοντα ἀπλώτων Διὸς κήποις ὀχετευομένοις ἐγκαθημέναι.

120 Κόχλοισι πυκνοῖς. μακροῖς. ἢ πνέοντες δὲ, ἠχοῦντες.

141 Ἴκελος αἰψηροῖσι. ταῖς

χέσι. αἶψα, τὸ ὦκυ. αἰψηρὸς, ὠκύς.

159 Ἀνελάζετο. ἀνελάμβανεν. Λάζυμαι καὶ λάζομαι, τὸ λαμβάνω.

## ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ εἰς τὸ γ΄.

Ἐπιτάφιος Βίωνος. οὗτος ὁ Βίων εἷς ἦν τῶν τριῶν τῶν τὰ βουκολικὰ γεγραφότων, Σμυρναῖος τὴν πατρίδα, ὥς φασι. τινὲς δὲ τὸ παρὸν εἰδύλλιον Μόσχῳ τῷ τῶν βουκολικῶν τρίτῳ ἀναγράφουσι.

1 Αἰλινά: θρηνητικά. ἴσως παρὰ τὸ αἶ, ὅθεν καὶ τὸ αἰάζειν.

6 Νῦν ὑάκινθε λάλει τὰ σὰ γράμματα. Ὑάκινθον μυθεύονται ἐρώμενον γεγονέναι τοῦ Ἀπόλλωνος, καὶ δίσκῳ ἀκουσίως ὑπ' αὐτοῦ βληθέντα, καὶ θανόντα, εἰς ἄνθος ὁμώνυμον μεταβεβληκέναι, τῷ δὲ ἄνθει ἐγγεγράφθαι τὸ αἶ, δηλονότι τῶν τοῦ ἐραστοῦ ὀδυρμῶν μνημόσυνον.

9 Ἀδόνες. ἀντὶ τοῦ ἀηδόνες.

14 Στρυμόνιοι. Θράκης ποταμὸς ὁ Στρύμων, ὃς καὶ Οἴαγρος. ταῦτα δὲ διὰ τὸν Ὀρφέα, υἱὸν Οἰάγρου καὶ Καλλιόπης.

22 Πλουτῆϊ. τῷ Πλούτωνι, ἤγουν ᾅδη.

27 μελάγχλαινοι. οἷον ἐπ' οἴκτῳ καὶ θρήνῳ. 29 γέντο. ἀντὶ τοῦ ἐγένετο. ἀλλαχοῦ, ἀντὶ τοῦ ἔλαβες. Ὅμηρος Ιλ. σ. γέντο δὲ χειρὶ ῥαιστῆρα. καὶ παρ' Ἀπολλωνίῳ γ. Ἀργον. γέντο θυῶν ἔμπλεον ὀδόντων Πήληκα.

40 Ἀλκύονος. περιβόητος οὗτος, καὶ παρὰ πολλοῖς ἀνακείμενος ὁ μῦθος.

42 Κήρυλος. ὁ ἄρρην ἀλκυόνων κατά τινας.

44 Μέμνονος ὄρνις. Μέμνονος, τοῦ Ἠοῦς, περὶ τὸ Ἴλιον ὑπ' Ἀχιλλέως ἀναιρεθέντος, οἱ ἑταῖροι εἰς ὄρνιθας Μεμνονίους μεταστῆναι λέγονται, καὶ περὶ τὸν αὐτοῦ τύμβον μινυρίζειν.

71 τοῦτό τοι ὦ ποταμῶν λιγυρώτατε. τὸν Μέλητα λέγει, ὃς τὴν Σμύρναν παραρρεῖ, πατὴρ καὶ Ὁμήρου (ὡς παρ' Ἡροδότῳ) καὶ Βίωνος τανῦν νομισθείς.

80 χ' ὁ μὲν Τυνδαρέοιο] ὁ Ὅμηρος, τὴν Ἑλένην.

89 Βοιωτίδες ὕλαι. ἦν γὰρ Θηβαῖος ὁ Πίνδαρος.

91 οὐδὲ τόσον τὸν ἀοιδὸν ἐμύρατο Κήϊον ἄστυ. δηλονότι τὸν Σιμωνίδην, ὃς τὴν εἶχε πατρίδα τὴν Κέω, μίαν οὖσαν τῶν Κυκλάδων νήσων. ἄλλοι δὲ ἀναγινώσκουσι Τήϊον. Ἀνακρέοντα γοῦν εἶπεν ὁ Θεόκριτος, ὄντα Τήϊον ἐκ Τέω πόλεως Ἰωνικῆς. ὡς ἄλλοι τε καὶ Στράβων ιδ΄.

92 Πάρος. μία καὶ αὕτη Κυκλάδων.

93 Μιτυλήνη δὲ Λέσβου μητρόπολις. Κλαίει Σικελίδας. τὸ Σαμίου κλέος. Ἀσκληπιάδην λέγει τὸν Σάμιον ποιητὴν, Σικελίδα υἱὸν, ὡς καὶ περὶ τὸ ζ εἰδύλλιον εἴρηται. ὡσαύτως δὲ καὶ περὶ Λυκίδα τοῦ Κύδωνος, ἤγουν Κρητός. Τελοπύδασι φυλῆς ἐν Κῷ ὄνομα, ὡς οἶμαι. περὶ τοῦ Ἀλέντος λέλεκται ἐν τῷ ζ. εἰδυλλίῳ.

99 ἐν δὲ Συρακοσίοισι. εἰ ταῦτα τοῦ ποιητοῦ ἐστι γνήσια.

οὐκ

© Centre d'Études Supérieures de la Renaissance - Tours

καὶ ὑπὸ τοῦ Μησσύρου ὑποβεβλημένα (τοῦτο γὰρ φαίνεται) σύγκειται οὗτος τὸ εἰδύλλιον συγγεγραφὼς, ἢ Θεόκριτος, ἀλλὰ Μόσχος, ἤ τις ἄλλος.

100 Αὐσονικᾶς Σικελικῆς. Αὐσονία γὰρ (ὅθεν ἡ Ἰταλία Αὐσονία ὠνομάσθαι) καὶ τῆς νήσου τὴν παραλίαν κεκτῆσθαι μνημονεύεται.

106 Οὖλον ἄνηθον. ἐνταῦθα δοκεῖ τὸ μέγεθος καὶ καλὸν σημαίνειν. ἔστι γὰρ πολύσημον. ἡ δὲ γνώμη ἐμφερὴς τῇ παρ' Ὁμήρῳ ὑπ' Ἀχιλλέως ῥηθείσῃ, Ιλ. ι. ληϊστοὶ μὲν γάρ τε βόες, καὶ τὰ λοιπά. ἀλλ' ἐπὶ Κώρᾳ. τῇ Περσεφόνῃ.

128 Αἰόσι. συνίζησις, ὄφρα ᾖ τρισύλλαβον· ἠϊόσι, ταῖς αἰγιαλοῖς.

## ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ εἰς τὸ δ'.

Μεγάρα Κρέοντος θυγάτηρ, τοῦ τῶν Θηβαίων βασιλέως, γυνὴ δὲ Ἡρακλέους, πρὸς τὴν ἑκυρὰν Ἀλκμήνην περὶ τῶν τοῦ ἀνδρὸς πόνων, καὶ οἰκείων συμφορῶν διαλέγεται.

5 Ἀνδρὸς ὑπ' οὐτιδανοῖο. Εὐρυσθέως, τοῦ τῶν Ἀργείων βασιλέως, ὃς τὸν Ἡρακλῆ πολλοῖς καὶ βαρυτάτοις κινδύνοις καὶ ἀγῶσι περιέβαλλεν Ἥρας προστάγματι. μέμνηται δὲ καὶ Ὅμηρος ἐν τῇ τ. Ἰλιάδι πῶς ἡ Ἥρα παρακεκρουμένη τὸν Δία, Εὐρυσθεῖ ἀντὶ Ἡρακλέους τὸ κράτος περιεποίησαν.

13 ὃς τόξοισιν. εἰς μανίαν γὰρ τραπεὶς ὁ Ἡρακλῆς, τὰ ἑαυτοῦ καὶ Μεγάρας τέκνα τόξοις ἀνεῖλεν.

26 ἀμειλίκτοιο πελώρου. τοῦ δράκοντος. πέλωρ καὶ πέλωρον, τέρας ἐξαίσιόν τι καὶ δεινόν.

32 Τὼ χ' ἡμᾶς κλαύσαντε φίλαις ἐπὶ χερσὶ τυχῆς. δυϊκῶς κλαύσαντε τὸ πληθυντικὸν τοκῆες συνεζεύχθη. τοῦτο δὲ Ὅμηρος εἴωθε ποιεῖν. Ιλ. ε. μή πως ὡς ἀψῖσι λίνου ἁλόντε πανάγρου Ἀνδράσι δυσμενέεσσιν ἕλωρ καὶ κύρμα γένησθε. καὶ ἐν ἄλλοις μὴ νῦν μοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ Ἆσσον ἰόντε. καὶ Ιλ. δ. μιαίνθην αἵματι μηροί.

34 Κρωσσόν. καλπίδα.

40 Δακρύων δὲ πάρεστί μοι οὐδ' ἱ' ἐρωή. Ἰα, μία. ἐρωὴ δὲ, νῦν κατάπαυσις, ἀνάπαυσις. οὕτως καὶ ἐρωεῖν τὸ καταπαύειν εἶπεν ὕλα. Οὕνεκεν ἠρώησε τελευτῶν ζυγὸν Ἀργώ. Ὅμηρος Ἰλιάδι β. μήπω τις ἐρωείτω πολέμοιο· τουτέστιν, ἀναχωρείτω.

52 Πύρρης συνομαίμονος. ἀδελφῆς, ἣν τις ἦν γυνὴ Ἰφίκλου. Θεῷ τε καὶ ἀνέρι. Ἡρακλῆς γὰρ Διὸς, Ἴφικλος Ἀμφιτρύωνος, ἄμφω Ἀλκμήνης φέρον.

70 ἐπιγνώμων. συγγνώμην φησὶ, ἔχωσι. 73 μετὰ δαίμονος ἔχες· μετέχες.

75 δίεινος. εὔπεπλος.

78 ὑπ' ἐκ νηδύοφιν ἤλθες. σὲ ἔτεκον.

82 Νιόβης. καὶ ὁ περὶ ταύτης δὲ ὁ μῦθος τῶν τεθρυλλημένων ὁ πάνυ.

87 Ὧδε ἐ δυσπείσαισι. φαρμακίδες ὑφ' Ἥρας πεμ-

© Centre d'Études Supérieures de la Renaissance - Tours

φθεῖσαι, τὰς Ἀλκμήνης ὠδῖνας μαγγανεύμασιν ἐπέχον, ὥστε αὐτὴν ἐπὶ πολὺ χρόνους οὐ δύνασθαι τίκτειν, ἕως οὐ Τειρεσίου θυγάτηρ Ἱστορὶς ἀπάτῃ αὐτὰς μετῆλθε, φάσκουσα ἐπήκοον αὐτῆς, τετοκέναι τὴν Ἀλκμήνην. οὕτως αἱ μὲν συγχυθεῖσαι ἀπῆλθον. ἡ δὲ Ἀλκμήνη ἀπαλλαχθεῖσα τῆς φαρμακείας, ἔτεκεν. ὁ μῦθος παρὰ πολλοῖς.

101 λίστρον. τὴν σκαπάνην, δίκελλαν.

107 γέρρον. ἀσπίδα.

108 Νώμασκεν. ἐνώμα, περιέστρεφε.

113 ἄστεμφές. ἀκινήτως.

115 Κάππεσεν. κατέπιπτεν.

118 λελίαστο. Λιάζω ἐκκλίνω ἐστί, καὶ φεύγω. λιάζομαι δὲ, κυλινδοῦμαι.

---

## Τοῦ αὐτοῦ

## ΕΙΣ ΤΟ ΤΟΥ ΒΙΩΝΟΣ Εἰδύλλιον α'

## ΑΠΟΣΗΜΕΙΩΣΕΙΣ.

21 Νήπλεκτος. ἄπλεκτος. ἡ γὰρ νη στέρησιν ἐν τῇ συνθέσει ἐμφαίνει, ὡς τὸ νήριθμος, ἀντὶ τοῦ ἀνάριθμος· νήγρετος, ἀνάγρετος.

24 Ἀσσύριον. υἱὸς γὰρ ἦν ὁ Ἄδωνις Κινύρου καὶ Μύρρας τῆς αὐτοῦ θυγατέρος. ὁ δὲ Κινύρας Ἀραβίας τῆς εὐδαίμονος ἔοικε καὶ τῶν ὁμόρων βασιλεὺς γεγονέναι, ὥστε Ἀσσύριον κεκλῆσθαι τὸν Ἄδωνιν διὰ τὴν Ἀσσυρίας γειτνίασιν.

25 ἠρώειτο. ὥρμα, ἀνεπήδα. ἐστὶ δὲ πολύσημος ἥδε ἡ φωνή. ἐρωὴ δὲ, ὁρμή. γράφεται καὶ ἠωρεῖτο, ὅπερ ἐστὶ ἐμετεωρίσθη, ἤγουν ἐκύμαινε.

26 ὑπομαζοί. τὸ ὑπὸ τοὺς μαζούς, τὸ στέρνον δηλονότι.

55 ἐς σὲ καὶ Ἄρη. ἄδη τινὲς ἀναγινώσκουσι, ὃ καὶ βέλτιον, κατά γε τὴν ἐμήν. τί γὰρ εἶεν ἐνταῦθα τὸ ἄρη. λέγουσιν, εἰς σέ, πρὸς σὲ δηλονότι, πᾶν τὸ καλὸν ἔρχεται· καὶ ἄδη τῷ σῷ πόσει πᾶν τὸ καλὸν ὀφείλεται.

61 ἔμεινας θηρσὶ παλαίειν. ἐτόλμησας, ὑπέστης τὴν πρὸς θῆρας μάχην.

64 ἁ Παφίη. Ἀφροδίτη. Πάφος Κύπρου (ἥτις μάλιστα ἀνέκειτο τῇ θεᾷ) πόλις.

91 Ἦ τὺ Διώνα. Διώνη μήτηρ τῆς Ἀφροδίτης· νῦν δ' αὐτὴ ἡ Ἀφροδίτη, ὡς καὶ παρ' ἄλλοις.

© Centre d'Études Supérieures de la Renaissance - Tours

# ΕΙΣ ΣΙΜΜΙΟΥ ΤΟΥ ΡΟΔΙΟΥ ΠΤΕΡΥΓΙΟΝ καὶ ΠΕΛΕΚΥΝ ΣΧΟΛΙΑ.

## ΠΕΡΙ ΤΟΥ ΠΤΕΡΥΓΙΟΥ.

Τοῦτο ἡ ἀνάγνωσις δύναται ὡς γέγραπται γίνεσθαι, ἕνεκά γε τοῦ νοῦ. ἀλλὰ καὶ διὰ τὰ μέτρα, ἀπὸ τοῦ πρώτου ἐπὶ τὸ ἔσχατον ἔρχῃ, ἵνα τὰ ἀλλήλοις ἀντίστροφα ᾖ μετ' ἀλλήλων. τοῦτο γὰρ κελεύει τὸ πρῶτον ἀναγνόντας, εἶτα τὸ πανύστατον προφέρεσθαι. καὶ ἀναλόγως ἄνωθεν τὸ δεύτερον. καὶ οὗτος ὁ τρόπος, ἕως ἂν ἀφίκῃ ἐπὶ βραχύ. ὁ δὲ λόγος, λέγων μὲν ὁ ἔρως ὁ δὲ νοῦς, οὕτως ἅπας ἔχει· ὁρᾷς με τὸν γῆς τε ἄνακτα, καὶ τὸν οὐρανοῦ ἄλλα ἑδράσαντα. μὴ φροντίσῃς εἰ τηλικόσδε ὤν, τελείου ἔργον ποιῶ· τότε γὰρ ἐγενόμην, ὅτε ἡ ἀνάγκη ἦρχε, καὶ πάντα ὑπείκει ταῖς αὐτῆς γνώμαις, ὅσα ἕρπει δι' ἀέρος καὶ αἰθέρος. οὐκ εἰμὶ ὁ Ἀφροδίτης υἱὸς, ἀλλὰ καλοῦμαι Ἔρως. καὶ οὐδὲν ἔπραξα βίᾳ, ἀλλὰ τὰ πάντα πρᾳΰτῳ πειθοῖ. ὑπέπληξαν δέ μοι οἱ γῆς καὶ θαλάσσης μυχοὶ, καὶ οὐρανὸς, τῶν ἐγὼ τὸ ἀρχαῖον ἀφειλόμην σκῆπτρον, καὶ ἐδίκαζον θεοῖς. ἔχει δὲ νοῦν, κἂν ἀπὸ τοῦ πρώτου ἐπὶ τὸ ἔσχατον ἔρχῃ, ὡς προείρηται. Ἀκμονίδην δὲ λέγει τὸν οὐρανόν. Γαῖα μὲν γὰρ Ἄκμονα ἔπικτεν· ἀπὸ δ' Ἄκμονος ὁ οὐρανός. αὐτὸς δὲ ἐστὶν ὁ ἔρως, ὑπὲρ ἑαυτοῦ λέγων, ὅτι πάντα αὐτῷ εἴκει, καὶ τὰ ἐπὶ τῇ γῇ, καὶ τὰ ἐν τῷ οὐρανῷ.

## ΑΛΛΩΣ.

Τὸ σχῆμα τοῦ πτερυγίου συνέχει ἀπὸ τοῦ πρώτου ἐπὶ τὸ ἔσχατον τὴν ἀνάγνωσιν, ὡς ἐπὶ τοῦ πελέκεως, καὶ τοῦ ᾠοῦ. τὸ μέτρον τοῦ πτερυγίου, καὶ τοῦ πελέκεως, χοριαμβικὸν κατὰ στίχον ὑφαιρουμένης συζυγίας.

ΠΕΡΙ

© Centre d'Études Supérieures de la Renaissance - Tours

## ΠΕΡΙ ΤΟΥ ΠΕΛΕΚΕΩΣ. Ἀνωνύμου.

Δεῖ τὸν ἀναγινώσκοντα καὶ τὸν ἐξηγούμενον μετὰ τὸ πρῶτον κῶλον, τό, Ἀνδροθέα δῶρον ὁ Φωκεύς, τὸ τελευταῖον λέγειν, τό, ὤπασ' Ἐπειὸς πέλεκυν. εἶτα τὸ δεύτερον ἀπ' ἀρχῆς, καὶ μετ' αὐτό, τὸ δεύτερον ἀπὸ τέλους. καὶ οὕτως ἕως τοῦ μέσου. ὥστε τὸ μὲν τέλειον εἶναι. Τὸν πέλεκυν τοῦτον ὁ Ἐπειὸς ἀνατίθησι τῇ Ἀθηνᾷ, κατασκευάσας τὸν δούρειον ἵππον. τὸ μέτρον χοριαμβικόν, ἀρξάμενον ἀπὸ καταληκτικοῦ ἑξαμέτρου, καταλῆγον δὲ εἰς μονόμετρον ἰαμβικόν. τὸ αὐτὸ δὲ μέτρον τῷ πτερυγίῳ, ἀλλὰ διαφέρει, καθότι ὁ μὲν πέλεκυς ἔχει τὸ πρῶτον κῶλον πρὸς τὸ τελευταῖον συναπτόμενον κατὰ διάνοιαν· τὸ δὲ πτερύγιον κατὰ τὸ ἑξῆς τῶν στίχων. δύναταί τις καὶ ἀπὸ τοῦ βραχυκαταλήκτου μέτρου ἄρχεσθαι. εἶτ' αὐτῷ ἀνταποδιδοὺς τὸ ἴσον, καὶ ἀκολούθως τοῖς μετ' αὐτὸ τὰ ἴσα ἐπιφέρεσθαι, καὶ διασῶσαι τὸν νοῦν, ἀπὸ μὲν τοῦ δωδεκάτου ἀναβαίνων, ἀπὸ θατέρου εἰς τὸ δωδέκατον καταχωρῶν. Γέγραπται μὲν εἰς τὸν Ἐπειοῦ πέλεκυν, ὅτι δῶρον τῇ Ἀθηνᾷ ὁ Φωκεὺς Ἐπειός, τῆς τέχνης καὶ ἐπινοίας χάριν ἀπολαύων ἔθηκεν.

## ΠΕΡΙ ΤΩΝ ΚΩΛΩΝ τῆς σύριγγος.

Τὸ πρῶτον κῶλον τῆς σύριγγος, τὸ δεύτερον, καὶ τὸ τρίτον, ἑξάμετρά εἰσιν ἀκατάληκτα.

-- -υυ -- -υυ -υυ υ-

Τὸ δ', καὶ τὸ ε', ἑξάμετρα καταληκτικά· ἤγουν, δεόμενα καταλήξεως, τῆς εἰς μίαν συλλαβήν.

-υυ -- -υυ -υυ -υυ -

Τὸ ς', καὶ τὸ ζ', ἑξάμετρα ἀκατάληκτα· ἤγουν, μὴ δεόμενα καταλήξεως.

-υυ -- -- -υυ -υυ

Τὸ η', καὶ τὸ θ', πεντάμετρα καταληκτικά· ἤγουν, δεόμενα καταλήξεως, τῆς εἰς μίαν συλλαβήν.

-- -υυ -υυ -υυ -

Τὸ ι', καὶ τὸ ια', τετράμετρα ἀκατάληκτα· ἤγουν, μὴ δεόμενα συλλαβῆς. ἀπηρτισμένα γάρ εἰσιν.

-υυ -υυ -- -υυ

Τὸ ιβ', καὶ τὸ ιγ', τετράμετρα καταληκτικά· ἤγουν, δεόμενα συλλαβῆς εἰς τὸ γενέσθαι τέλεια τετράμετρα.

-υυ -υυ -υυ -

Τὸ ιδ', τρίμετρον ἀκατάληκτον. ἤγουν, μὴ δεόμενον συλλαβῆς ὡς τρίμετρον.

-- -υυ --

Τὸ ιε', τὸ ις', καὶ τὸ ιζ', τρίμετρα καταληκτικά· ἤγουν, δεόμενα συλλαβῆς, εἰς τὸ εἶναι τέλεια τρίμετρα.

-- -υυ --

Τὸ ιη', δίμετρον ἀκατάληκτον· ἤγουν, μὴ δεόμενον συλλαβῆς εἰς τὸ γενέσθαι τέλειον.

-υυ --

Τὸ ιθ', καὶ τελευταῖον, πεντάμετρον ἀκατάληκτον· ἤγουν, μὴ δεόμενον συλλαβῆς ὡς πεντάμετρον.

-υυ -- -υυ -- --



© Centre d'Études Supérieures de la Renaissance - Tours

# ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΧΑΡΤΟΦΥΛΑΚΟΣ ΤΗΣ ΠΡΟΤΗΣ Ἰουστινιανῆς καὶ πάσης Βουλγαρίας κυροῦ, ΙΟΑΝΝΟΥ ΤΟΥ ΠΕΔΙΑΣΙΜΟΥ, ἐξήγησις εἰς τὴν τοῦ Θεοκρίτου Σύριγγα.

Δίκαιος ἂν εἴην, οὐχ ἁπλῶς τὰ τῇ ἀληθείᾳ δοκοῦντα, δυσλήπτου γὰρ ἡ ἀλήθεια· τὰ δὲ ἐμοὶ τυγχάνειν ἀληθείας ἐπειλημμένα διὰ τὴν ὑμετέραν λέγειν ἀξίωσιν. εἴη δὲ τὰ ἐμοὶ δοκοῦντα, καὶ ἀληθείας ἐντὸς εἶναι. τὸ δὴ τῆς Θεοκρίτου Σύριγγος, αἰνίγματι μὲν ὅμοιον, διά τε τὴν τῶν μεταλήψεων πύκνωσιν, καὶ διὰ τὸ ἀκροθιγῶς τῶν μνημονευθεισῶν ἱστοριῶν ἔχεσθαι, καὶ τὸ ἐλλιπὲς τῆς συντάξεως. καὶ ταῦτα μὴ κατὰ τὴν Ἀττικὴν συνήθειαν, ἀλλά τινα ἔκφυλον πολλὴν ἐμποιοῦσαν ἀσάφειαν. ἔχει μέντοι τόνδε τὸν τρόπον ἡ ταύτης ἀνάπτυξις ὅσα ἐμοὶ δοκεῖ.

1 Σύριγξ οὔνομ' ἔχεις. ἄδει δέ σε μέτρα σοφίης. Ὁ πρῶτος στίχος, ἀποκεκομμένην ἰδίως ἔχει τὴν ἔννοιαν. ἔστι γὰρ ἐπιγραφὴ τῆς σύριγγος. πρὸς τὴν σύριγγα δὲ αὐτὴν ὁ λόγος, ἀπὸ τοῦ ποιητοῦ λέγοντος, ὡς ἔχεις μὲν ὄνομα αὐτή, τὸ σύριγξ· τουτέστιν, σύριγξ μὲν καλῇ, κατὰ τὰς λοιπὰς σύριγγας.

¶ ἄδει δέ σε. αὐτὶ τοῦ ψάλλει, οὐ τὸ ᾠδικὸν, εἴτουν ἁρμονικὸν μέρος τῆς σοφίας, ἤγουν μουσικῆς, ἀλλὰ τὸ μετρικόν. οὐ γὰρ ἐμπνευστὴ αὕτη ἡ σύριγξ, ἵνα καὶ ᾠδὰς ἔχῃ, ἀλλὰ μετρουμένη τῷ καλλίστῳ τῶν μέτρων δακτυλικῷ. ἢ καὶ ἄλλως. ᾄδει δέ σε, οὐχὶ αἰσθητὸν ἐμπνεύσεις στόματος, ἀλλὰ τὰ μέτρα τῆς σοφίας, ἤγουν, αὐτὴ ἡ σοφία περιφραστικῶς. εἶτα ἀποτείνει τὸν λόγον πρὸς τὴν Πηνελόπην, τὴν τοῦ Ὀδυσσέως ὁμόκοιτον. ἐπεὶ γὰρ τῷ Πανὶ ἀφιέρου τὴν σύριγγα, τοῦ Πανὸς δὲ μήτηρ ἡ Πηνελόπη κατὰ τὸν μῦθον, ἐκεῖθεν ἀξιοῖ τοῦ λόγου κατάρξασθαι. καὶ φησίν.

2 Οὐδενὸς εὐνάτειρα, μακροπτολέμοιο δέ. ὦ εὐνάτειρα καὶ σύζυγε τοῦ οὐδενὸς, ἤγουν τοῦ Ὀδυσσέως (οὕτω γὰρ Ὀδυσσεὺς κεκλῆσθαι προσεποιήσατο, ἡνίκα μετὰ τὴν ἐκ Τροίας ὑποστροφὴν ἀλώμενος, τῷ Κύκλωπι Πολυφήμῳ ἐνέκυρσεν, ὃν καὶ τετύφλωκεν) ἢ οὐδενὸς τῶν μνηστήρων εὐνάτειρα. ἵνα καὶ οἰκείως ἔχῃ ὁ λόγος. Πηνελόπης γὰρ καὶ τῶν μνηστήρων ὁ Πὰν, ἐξ οὐρίων εἴτουν ἀνεμιαίων γάμων, κατὰ τὴν μυθώδη τερατείαν σπαρείς. ἕκαστος μὲν γὰρ τῶν μνηστήρων ὑπισχνεῖτο τὸν γάμον τῇ Πηνελόπῃ. ταῖς δὲ ἀληθείαις, οὐδενὸς γυνὴ γέγονε. μήτηρ δὲ μακροπτολέμου, ἤγουν, τοῦ Τηλεμάχου. τῆλε γὰρ τὸ μακρὸν, καὶ μάχη ὁ πόλεμος. ἐκ μὲν γὰρ Κίρκης, Τηλέγονος· ἐκ δὲ Πηνελόπης τῷ Ὀδυσσεῖ γεννᾶται Τηλέμαχος.

3 Μαίης Ἀντιπάτροιο θοὸν τέκες ἰθυντῆρα. τὸ ἑξῆς, ὦ Πηνελόπη, σὺ τέκες καὶ ἐγέννησας τὸν

© Centre d'Études Supérieures de la Renaissance - Tours

θεὸν καὶ παχὺν ἰθυντῆρα καὶ ποιμένα τῆς Ἀμαλθείας τῆς Μαίας καὶ τῆς τροφοῦ τοῦ Διὸς τοῦ Ἀντιπάτρου, καὶ τοῦ ἐναντιωθέντος τῷ ἰδίῳ πατρὶ, τῷ Κρόνῳ δηλαδή· ἤγουν, τὸν Πᾶνα. οὕτω γάρ φησιν ἀνεῖσθαι Πανὶ, τὴν τῶν ποιμνίων ἐφορείαν. ἀπὸ δὲ μόνης τῆς Ἀμαλθείας, συννοεῖν δεῖ καὶ πᾶν θρέμμα. τινὲς δὲ τὸ Ἀντιπάτρου, ἐκ τοῦ ἀντὶ πέτρας γεγενῆσθαι φασὶν, ἵν' ᾖ, ἀντίπετρος ὁ Ζεύς. ἀνθ' οὗ δηλονότι πέτρα, ἐδόθη τῷ Κρόνῳ, ζητοῦντι τὸν Δία βρέφος ἔτι ὄντα καταπιεῖν. ὡς δὲ παιδοφάγος ὁ Κρόνος, καὶ ὡς λίθον ἀντὶ τοῦ Διὸς καταπέποκεν ὑπὸ τῆς Ῥέας ἀπατηθεὶς, καὶ ὡς ἐκτεθείη ὁ Ζεύς, καὶ ὑπ' Ἀμαλθείας αἰγὸς μαστευθείη, δῆλον ἐκ τῶν ἱστοριῶν, καὶ οὐ δεῖ λεπτομερῶς τὰ περὶ αὐτῶν ἀκριβώσασθαι.

4 Οὐχὶ κεράστην ἄν ποτε θρέψαιτο ταυροπάτωρ. Ἐπεὶ δὲ οὐ κυριωνυμικῶς εἶπε τὸν Πᾶνα, ἀλλὰ ἰθυντῆρα τῶν θρεμμάτων, ἦν δὲ καὶ Κομάτας ποιμὴν ἐπίσημος, ὡς φιλόθεος ἢ φιλόμουσος, ποιεῖται διαστολὴν, καὶ φησίν· οὐχὶ τὸν Κομάταν λέγω τὸν κεράστην τουτέστι, τὸν ποιμένα τῶν κερασφόρων ζώων. οὐ γὰρ αὐτὸς ἦν κεράστης, ἤγουν κερασφόρος. ὅν ποτ' ἐθρέψαντο μέλισσαι, ἥν φησι ταυροπάτορα, τὴν ἔχουσαν δηλαδὴ τὸν ταῦρον πατέρα. γεννᾶσθαι γὰρ ταῖς μελίσσαις ἀρχὴ σῆψις βοείων κρεῶν. Ἱστορία. Ἱστορεῖται δὲ περὶ τοῦ Κομάτα τούτου, ὡς ποιμὴν ὢν, καθ' ἑκάστην ταῖς μούσαις ἐκ τῶν θρεμμάτων ἔθυεν. ἐφ' ᾧ δυσχεράνας ὁ δεσπότης αὐτοῦ, κατέκλεισεν αὐτὸν ἐν ξυλίνῃ λάρνακι, μούσαις ἐπιτρέψας τὴν αὐτοῦ σωτηρίαν, ἃς ὑπερβαλλόντως ἐσέβετο. χρόνῳ δὲ ὕστερον ἀνοῖξαι τὴν λάρνακα, ζῶντα τότε τὸν Κομάταν εὑρίσκει, καὶ κηρία μέλιτος, οἷς περιεσώσατο τὴν ζωήν.

5 Ἀλλ' ἀπέλιπες. οὗ αἶθε πάρος φρένα τέρμα σάκευς. οὐχὶ τὸν Κομάταν σοῦ φησι λέγω, ἀλλὰ τὸν Πᾶνα, ὃν ἀπὸ σοῦ ἡμῖν ἔλιπες. ἀντὶ τοῦ, ὃν γεννηθέντα σοι, δέδωκας ἡμῖν. τὸ δὲ λέγειν ὡς καὶ Κομάτας Πηνελόπης υἱός, μὴ καὶ ταῖς ἀληθείαις ἀνάρμοστον εἴη, σκοπεῖν ἄξιον. Πηνελόπη μὲν γὰρ εἰς Ἰθάκην, Κομάτας δὲ Σικελός· καὶ ἡ μὲν ἐπὶ τῶν Ἰλιακῶν, ὁ δὲ ἐπὶ τῶν Ῥωμαϊκῶν. μεταξὺ δὲ τοῖν τόποιν καὶ χρόνοιν τούτοιν, χάσμα μέγα ἐστήρικται. οὗ Πανὸς αἶθε καὶ ἔφλεγε καὶ ἀνῆπτε τὴν φρένα καὶ τὴν ψυχὴν, τέρμα σάκευς. οὐχὶ μεταληπτικῶς γυνή τις Ἶτυς καλουμένη ὁμωνύμως τῇ ἴτυϊ τῷ τέρματι τοῦ σάκευς, ἀλλ' αὐτὴ ἡ ἴτυς, τουτέστιν ἡ ἀσπὶς, ἀπὸ μέρους τὸ ὅλον. μᾶλλον δὲ ἀπὸ μόνης τῆς ἀσπίδος, καὶ πᾶν ὅπλον. ἵν' ᾖ ἡ ἔννοια, ὅτι ἔρωτα εἶχε τῶν ὅπλων· ἤγουν τῶν πολεμικῶν ἔργων. ἱστόρηται γὰρ ὁ Πὰν, συστρατεῦσαι τῷ Διονύσῳ παρ' Ἰνδοὺς, καὶ ἔργα ποιῆσαι πολεμικά. τὸ δὲ πάρος, ἤγουν πρότερον, σὺν ἐκείνῳ συνήθως τῷ λόγῳ. οὐ γὰρ ἀεὶ ὁ Πὰν περὶ τὰ πολεμικὰ ἠσχολῆσθαι ἱστόρηται· ἀλλ' ὅτε ὁ Διόνυσος

[illegible]

© Centre d'Études Supérieures de la Renaissance - Tours

κατὰ τῆς ἀσίας ἱεράτευσεν.

6 Οὗ ὄνομ' ὅλον δίζωνθ'. ἤγουν, οὗ ὄνομα ὅλον δίζων. τουτέστιν ἐκ δύο ζώων σύνθετον. τὰ μὲν γὰρ κάτω ὁ πὰν τράγος. τὰ δ' ἄνω, ἄνθρωπος. λαμβάνει δὲ ἐν ζῶσι τὸ ὄνομα, ἀντὶ εἴδους τοῦ πανός. οὐ γὰρ τὸ ὄνομα τοῦ πανὸς δίζων, ἀλλὰ τὸ εἶδος. Ὃς τᾶς μέροπος πόθον κούρας γηρυόνας ἆθεν. ὃς ἦθε καὶ ἀνῆπτε πόθον. καὶ ἔρωτα ἕνεκεν τῆς κόρης, ἤγουν τῆς σύριγγος, οὐ γυναικός τινος ὥς φασι κατὰ μετάληψιν, ἀλλὰ τοῦ ἐμπνευστοῦ ὀργάνου. κόρην δὲ φησὶ, διὰ τὸ τερπνὸν καὶ τὸ τῆς ἡδονῆς μαλθακὸν καὶ φιλοτήτων ἐπαγωγόν. οὗ χάριν καὶ ἐπιφέρει, μέροπος γηρυόνης, τουτέστι μεμερισμένης κατὰ τὴν ὄπα. εἰ γὰρ μονόφθογγος, εἴτουν μονόφωνος ἦν ἡ σύριγξ ἦν ἂν ἀνάρμοστος. καὶ μὴν δὲ ψυχὴν ἀνθρωπίνην καλεῖν οἷά τε· ἡ γὰρ ψυχὴ, ἐξ ἁρμονιῶν συνέστηκε καὶ ἐκ μόνων τῶν συγγενῶν ἁρμονιῶν καλεῖσθαι πέφυκεν. ἁρμονία δέ ἐστι πολυμιγέων καὶ δίχα φρονεόντων ἕνωσις. τὸ δὲ γηρυόνης, ἀντὶ τοῦ φωνητικῆς, ἀπὸ τοῦ γῆρυς ἡ φωνή. Ὑστερόφωνα δὲ ἠχοῦς καὶ θυγατέρας φωνῆς, ὡς ἄρτι μοι παρέδραμε.

7 Τᾶς ἀνεμώδεος. ἤγουν, τῆς ἐμπνεύσεως. ἐμπνευστὸν γὰρ ἡ σύριγξ.

8 Ὃς μοίσα λιγὺ πᾶξεν ἰοστεφάνῳ. ὃς, ἤγουν ὁ πὰν τῇ μούσῃ τῇ καλλιόπῃ, μᾶλλον δὲ τῇ μελπομένῃ, καὶ πῆσαι διὰ τοῦ ἑνικοῦ ἀντίθεται ὀνόματος. πῆξε δὲ καὶ κατεσκεύασε λιγὺ καὶ ὀξύφωνον ἕλκος, καὶ σύριγγα κατὰ μετάληψιν. καὶ γὰρ ἡ σύριγξ οὐ μόνον τὸ ἐμπνευστὸν ὄργανον τὸ ποιμενικὸν σημαίνει, ἀλλὰ καὶ τὸ διαβεβρωμένον ἕλκος τὸ μετοῦ δεόμενον. ἀντὶ γοῦν τοῦ ἑτέρου σημαινομένου τῆς σύριγγος, ἤγουν τοῦ ὀργάνου, τὸ ἕλκος παρείληφεν, ὅπερ ἐστὶ μετάληψις. ἰοστεφάνῳ δὲ μούσῃ, ὡς θηλείᾳ διά· θηλείαις γὰρ πρέπον στέφανος. τὸ δὲ λέγειν μοῦσαν ἰοστέφανον τὸ ἔαρ, οὔ μοι δοκεῖ λόγου ἔχεσθαι.

9 Ἕλκος ἄγαλμα πόθοιο πυροσφαράγου. ἔστι δὲ ἡ σύριγξ ἄγαλμα, ἤγουν τέρψις καὶ παραξυσμὸς τοῦ πόθου τοῦ ἐγκαρδίου, ὃν πυροσφάραγον λέγει, ὡς ἐν τῷ πυρὶ τοῖς καρδιακοῖς θέρμης ἀπαρτιζόμενον, καὶ ἀναφλεγόμενον. εἰδέναι δὲ ἄξιον, ὡς ὑποδοχὴν τοῦ τριμεροῦς τῆς ψυχῆς· λέγω δὴ λόγου, θυμοῦ καὶ ἐπιθυμίας, τρεῖς σωματικὰς ἀρχὰς κυριωτάτας ἡ φύσις ἐδημιούργησεν. ἐγκέφαλον μὲν, εἰς ὑποδοχὴν τοῦ λογιστικοῦ· καρδίαν δὲ, τοῦ θυμοειδοῦς· ἧπαρ δὲ, τοῦ ἐπιθυμητικοῦ. ἀρχὴ δὲ πάλιν αὐτῶν ἡ καρδία. διὸ καὶ ἀπαθεστάτη. τοίνυν εἰ καὶ ἐγκάρδιόν τις τὸν πόθον ἐρεῖ, οὐχ ἁμάρτῃ τοῦ δέοντος, διὰ τὸ καὶ ἧπαρ εἶναι τὴν καρδίαν ἀρχήν.

10 Ὃς σβέσεν ἀνορέαν ἰσαυδέα. ὃς, ἤγουν ὁ πὰν, ἔσβεσε τὴν περσι-

L κλὴν

© Centre d'Études Supérieures de la Renaissance - Tours

κλὼ ἀγκρωχίαν ὅτι συνεστρατήγει τῷ διονύσῳ. ἣν καὶ ἰσωσθεῖσα, ἤγουν ὁμώνυμον φησὶ τοῦ παπποφόνου, τοῦ περσέως δηλαδή. ἀπὸ γὰρ περσέως πέρσης, ἐξ οὗ τὸ περσῶν γένος. παπποφόνος δὲ ὁ περσεὺς, καθὼς ἱστορεῖ καὶ Λυκόφρων. τὸν γὰρ πάππον ἀκρίσιον, μετὰ τὸν κατὰ γοργόνης ἆθλον ἀπέκτεινε. καὶ ἀφείλετο, ἀπὸ κοινοῦ τὴν ἰωρέαν, καὶ τὴν περσικὴν ἀλαζονείαν ὑπὸ τῆς τυρίας, ἤγουν τῆς εὐρώπης μετωνυμικῶς ἐν γὰρ τῇ τύρῳ τῇ εὐρώπῃ ὁ ζεὺς ἐμίγη.

11 Ω, τόδε τυφλοφόρων. ὦ τινι πανὶ τὸ πᾶμα καὶ κτῆμα τόδε τῶν τυφλοφόρων, ἤγουν τῶν ποιμένων κατὰ μετάληψιν, τουτέστι πηροφόρων, καὶ σακκοφόρων. πηροφόρος γὰρ καὶ ὁ τυφλοφόρος, τὸ ἐρατὸν καὶ ἐπιθυμητὸν κατὰ ψυχήν. ὁ πάρις, ἤγουν ὁ θεόκριτος κατὰ μετάληψιν, διὰ τὸ καὶ τὸν πριαμίδην πάριν κρῖναι τὰς τρεῖς θεὰς περὶ τοῦ μήλου, καὶ τῆς ἔριδος. καὶ δυνάσθαι καλεῖσθαι Θεόκριτον, θεὸν καὶ ἀνέθηκεν ὁ Σιμιχίδης, καὶ ὁ υἱὸς τοῦ Σιμιχίδου, εἶπε πρὸς αὐτὸν τὸν πᾶνα προσφώνημα

12 Ω βροτοβάμον στάσας. ὦ πᾶν βροτοβάμον, ἤγουν πετροβάμον. ἐκ πετρῶν γὰρ οἱ βροτοὶ κατὰ τὸν παλαιὸν μῦθον. οἵπερ καὶ ἔρως τῆς νυμφαλῆς τῆς στήτης καὶ γυναικὸς, τῆς δέξας καὶ λυδῆς.

13 Κλοποπάτορ τ' ἀπάτωρ. ἤγουν Ἑρμοῦ τοῦ κλέπτου υἱέ. κατὰ τινας γὰρ πάλιν Ἑρμοῦ παῖς ὁ πάν. ἀπάτορ, ἤγουν πολυπάτορ. ἐκ πολλῶν γὰρ τῶν μνηστήρων γεγένηται.

14 Λαρνακόγυιε. ἤγουν χηλόπου κατὰ μετάληψιν. χηλὸς γὰρ τὸ κιβώτιον, καὶ ἡ λάρναξ. καὶ χηλὴ ὁ ὄνυξ.

15 Χαίροις ἡδὺ, μελίζοις ἐν τῇ σύριγγι τῇ ἔλλοπι καὶ τῇ ἀφώνῳ. τῇ ἐλλειπομένῃ δηλαδὴ, ὀπὸς καὶ φωνῆς. αὕτη γὰρ καθ' ἑαυτὴν ἡ σύριγξ μὴ ἐμπνεομένη πρός τινος, ἄφωνός ἐστι. Τῇ κόρῃ πάλιν καθὼς εἶπον, διὰ τὸ τερπνὸν καὶ ἐπαγωγὸν, τῇ καλλιόπῃ, καὶ καλλίστην ἐχούσῃ ὄπα ἐπὰν ἐμπνέηται τῇ νηλαΐστῳ, καὶ ἀθεάτῳ ἀπὸ τοῦ νῆ στερητικοῦ μορίου. καὶ τοῦ λάω τὸ βλέπω. ἀθέατον γὰρ τὸ ἀπήχημα. ἢ νηλαΐστῳ, τῇ ἀλιθοβολήτῳ, ἤγουν ἀθανάτῳ. ἀπὸ τοῦ νῆ στερητικοῦ, καὶ τοῦ λάω τὸ λιθοβολῶ. ὁ λόγος γὰρ οὐ λιθάζεται.

Τέλος τῶν εὑρισκομένων σχολίων εἰς τὰ
Θεοκρίτου εἰδύλλια.

© Centre d'Études Supérieures de la Renaissance - Tours

© Centre d'Études Supérieures de la Renaissance - Tours

© Centre d'Études Supérieures de la Renaissance - Tours